UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Dabidu prophētoi kai basileōs melos ...

Dolscius, Paul

Basileae, 1555

VD16 B 3122

Ψαλμοι.

urn:nbn:de:hbz:466:1-69725

Visual Library

# ΔΑΒΙΔΟΥ ΠΡΟΦΗ-ΤΟΥ ΚΑΙ ΒΑΣΙ-λέως μέλος.

## ΨΑΛΜΟΣ Α.

Ὑπόθεσις.

ὅππως θρησκείης τὶς ἀληθέος ἀντιέχοιτο,
    δυσσεβίης προφόρων τοῖς πλεόνεσσι μέλειν·
ἆθλα διηγεῖται ψάλτης ὅσσ' ἔλλαχον ἐσθλοί,
    καὶ τῶν οὐχ ὁσίων κῆρα μόρον τε βροτῶν.



ὗτος ἔθ' εὐτυχίῃ τ' εὐδαιμονίῃ
    τε, ἁπάντων
ναιόντων ἐφ' ὅλης γῆς πε-
    ρίεστι βροτῶν·
ὃς τοὺς κυδοσυνέων ἀσεβεῖς
    μήστωρας ἀλύξει,
κοὔποτε συμφράδμων σφὶν
    γίνετ' ἶσα φρονῶν.
οὔτε βροτοῖς οἶμον τὸν ἐπίτροχον ὄντα βεβήλοις,
    καὶ τείνοντα πύλας εἰς ἀΐδαο τρέχει.
οὔτε θεοῦ ἀλογῶν, θεομισέϊ θάσσει ἐν ἕδρῃ,
    τῶν χλευαζόντων κὰν καθ' ὅμιλος ἔχει.
αὐτὰρ ἐφημοσύνας τοῦ κυρίου ἥδετ' ὀρσυνῶν,
    καὶ νύκτωρ μελετᾷ τάσδε, καὶ ἦμαρ ἅπαν.
οὗτος πρὸς ῥεέθροις πεφυτευμένῳ ἀενάοισι,

δενδρεῖ ἰσοφυὴς ἀγλαῷ ἤ κεν ἀνήρ.
δενδρεῖ ὡραίους καρποὺς φορέοντι, καὶ ἐσθλοὺς
δαψιλέως, γλυκερὴν τοῖς μερόπεσσι τροφήν.
καὶ φύλλοισι καλῶς πεπυκασμένῳ οὐδ᾽ ἀμαράντοις,
ἀμφί τ᾽ ἀεὶ τέρενας τηλεθόωσι κλάδους.
πάντα κατὰ γνώμην ἐκβήσεται ἀνδρὶ τοίῳ,
ὅσσ᾽ ἂν καὶ πράξῃ, καὶ μετὰ χεῖρας ἔλῃ.
τοίης δ᾽ εὐοδίης σφετέροις ἐνὶ πράγεσ᾽ ἀλιτροὶ,
οὔποτε μέλλουσιν, δύσθεα φῦλα, τυχεῖν.
οὐδέποθ᾽ οἱ ἀσεβεῖς οὕτως σύνημορ᾽ ἔσονται,
οὐ γὰρ ταὐτὰ κακοὺς δεῖ ἀγαθοῖσι λαβεῖν.
ἀλλὰ καθὼς ἄχνην ἄνεμός τις γῆθεν ἀείρας,
ῥίμφα σκορπίζει οὐ κρατερός περ ἐών:
οὕτω πᾶς ἀσεβὴς ἀμενηνὸς, ἰδ᾽ ἄστατος ἔσται,
χώρῃ ἐν οὐδεμιῇ ἔμπεδον οἶκον ἔχων.
τοὔνεκα μήτ᾽ ἀγορῇ μίμνουσ᾽ ἐνὶ κυδιανείρῃ,
ὅσσοις ἄρρητον πῆμ᾽ ἀσέβεια μέλει.
μήτε ὁμηγυρέεσσ᾽ ἐναρίθμιοί εἰσι δικαίοις,
οἱ ὀλοῶν γενέται ἄνδρες ἁμαρτιέων.
ὅττι δίκαιος ἐὼν ὁ θεὸς, τὰ κέλευθα δικαίων
οἶδε, καὶ ἐνδυκέως ἐν φρεσὶ κήδεθ᾽ ἑαῖς.
αὐτὰρ ὁ τῶν ἀσεβῶν οἶμος ξυνάμ᾽ ὄλλυτ᾽ ἐκείνοις,
καὶ μετὰ βαιὸν ἅπας μηδὲν ἔτ᾽ ἐστὶ χρόνον.

## ΨΑΛΜΟΣ Β.

### Ὑπόθεσις.

Θεσπίζει χριστὸν βασιλῆα πανάρχον ἔσεσθαι,

καὶ πρ

καίπερ ἀναινομένου κόσμου οἱ ἦρα φέρειν.
καὶ τοὺς σκηπτούχους οἱ ἀπειθέας ἄνδρας ὀλέσσειν,
σώσειν δ' ὧν αὐτῷ πᾶν ἐναρήρε κέαρ.

Τόσσα τί παντοίης κεχολωμένα μαίνετ' ἐπ' ἄτης
ἔθνεα; κεῖνα βροτοὶ τί θρυλέουσιν ἔπη;
οἱ γὰρ ἐπιχθόνιοι δεινῶς ἐσσεύονται ἄνακτες,
βουλεύοντ' ἄλλων οἱ γὰρ ὑπέρτερ' ἀγοί.
οὔτινος ἀνθρώπων θνητῶν κατὰ, ἀλλὰ κατ' αὐτοῦ
κυρίου, ἀθανάτου ἀενάου τε θεοῦ.
καὶ τοῦδ' ὃν λίπ' ἑοῖ πεφιλημένον ἔξοχ', ἐλαίῳ
κόσμου, ἔχρισεν, ὅλου κοίρανον αὐτὸς ἔμεν.
ῥήξωμεν δεσμὰ στιβαρὰ φράζοντες ἐκείνων,
ῥίψωμέν τε δειρῶν σφῶν ζύγ' ἀφ' ἡμετέρων.
αὐτὰρ ὁ ὑψόροφον γελάει δόμον, οὐρανὸν οἰκῶν,
μαιομένους ἀθρέων σφᾶς ἀτέλεστα τελεῖν.
χ' ὁ πάντων βασιλεὺς βασιλήων κύριος, αὐτοὺς
ἐκμυκτηρίζει τοῖα φρονοῦντας ὁρῶν.
καί ποτ' ἀνηκέστου κραδίην πεπλησμένος ὀργῆς,
θυμοδακῆ μέλλει σφίν τινα μῦθον ἐρεῖν.
κἂμ φρεσὶν ἁψάμενος πῦρ δήϊον οἷο χόλοιο,
δειδίσσειν αἰνοῖς σφᾶς, φοβεροῖς τε λόγοις.
αὐτὰρ ἐγὼ τὸν ἐμὸν βασιλῆα, ὁ αἰθέρι ναίων,
ἵδρυσ' εἰν ἁγίῳ, φησὶ, Σιῶνος ὄρει.
κἀμοὶ σκῆπτρα γέρας βασιλήϊον εὔαδεν ἴσχειν,
ἔμπαλιν ὁ ζάθεος τόνδ' ἀπαμείβετ' ἄναξ.
καὶ κορυφῆς πήξας πόδ' ἐπ' ἀκροτόμοιο Σιῶνος,
ἠπύτα κυριακῶν ἄγγελος ἔσσομ' ἐπῶν.

τοῖον γὰρ μῦθόν ποτ' ἐμὲ πρὸς ὁ κύριος εἶπε·
γνήσιος υἱὸς ἐμοὶ καὶ φίλον εἶ σὺ τέκος.
κἀγὼ ἐξ ἐμέθεν τεχθέντα σὲ ἄχρονον υἱόν,
ἤγαγον αὐγαλέον σήμερον εἰς τὸ φόως.
αἴτεε ὅσσα θέλεις, καὶ ὅσσα σὲ θυμὸς ἀνώγει,
πάντων ὡς μέλλων πρὸς γενέταο τυχεῖν.
παντοδαπῶν σὲ κληρονόμον ποιήσομαι ἐθνῶν,
ἅττ' ἢ ἐπὶ τραφερῆς οἰκέει, ἢ ἐφ' ὑγρῆς.
εἰς τ' ἴδιον δώσω σοὶ κτῆμα τὰ πείρατα γαίης,
βορρῆν, κἀντολίην, καὶ δύσιν, ἠδὲ νότον.
ὄφρα μόνος θνητῶν κρατερῶς γένει ἐμβασιλεύσῃς,
τῶν τε πολυσπερέων κοίρανος ἦσθα βροτῶν.
τοὔνεκ' ἀναινομένους σφῶν σοὶ βασιλῆϊ πιθέσθαι
ἠέ σε τὴν ἀρχὴν οὐκ ἐθέλοντας ἔχειν·
μαρψάμενος σκῆπτρον, πλήξεις σῇ χειρὶ, σιδηροῦν,
συντρίψεις τε ἅπαν σφῶν ἀμογητὶ κράτος.
ὡύτ' ἀρ ἐκ πηλοῦ κεραμεὺς ὅ,τι πέπλακε, χύτρον,
οὐχ ἐρέως κλᾶσαί τις κε δύναιτο θέλων.
νῦν οὖν φραδμοσύνης σκηπτοῦχ' ἅψασθε ἅπαντες,
παιδείην ταμίαι κἂν χθονὶ δέχθε δικῶν.
ἀτηρῆς τε κενοφροσύνης λήξαντες, ἄοκνοι
δοῦλοι ξὺν πολλῷ κυρίου ἔστε φόβῳ.
καὶ δὴ ἀγαλλόμενοι προπάροιθε τρομήσατ' ἐκείνου
ἁζόμενοί τε ἀεὶ τοῦδε γεγήθετ' ὄπιν.
καὶ δοχμώσαντες τοὺς αὐχένας εἰς χθόνα δῖαν,
κύσατε τὸν κρατεροῦ ἄφθιτον υἷα θεοῦ.
μή κεν ἀτιζόμενος πρὸς ὑμῶν, κενοτηότι θυμῷ
σκύζοι.

σκύζοιτο, ζάκοτος καὶ ζαμενής τις ἐών.
κἂν σφετέροις ὑμέες δεινῶς ἀπόλοισθε κελεύθοις
νόσφ᾽ ἡγητῆρος τοῖσδ᾽ ἐνὶ πλαζόμενοι.
αὐτίκα γὰρ βαρέως θυμούμενος, ἤτορος ἔνδον
δηώσουθ᾽, ἅψει πάντα, τὸν ἑὸ χόλον.
ἀλλὰ τρὶς εὔποτμοι καὶ τετράκις, οἵτινες ἄνδρες
οἱ πίσυνοι δι᾽ ὅλου μούνῳ ἔασι βίου.

## ΨΑΛΜΟΣ Γ.

### Ὑπόθεσις.

ἔτλων τοῦ παιδὸς γεγονώς, προλιπὼν τε Δαβίδης
σκῆπτρ᾽, ὀλοφυδνὰ θεὸν τῶς προσέειπεν ἔπη.
τοίοις οὖν χ᾽ ἡμεῖς χρησώμεθ᾽ ὀϊζυῒ ὀχθοῦντες,
χ᾽ ἱξώμεσθα μόνον, χραισμέμεν ἄμμι, θεόν.

Οἴμοι ἐγών, ὅσος ἐσμὸς ἐμοὶ θεὲ λυγρὰ μενοινᾷ,
ὡς μάλ᾽ ἐγείρονται πολλοὶ ἑνὸς κατ᾽ ἐμοῦ.
πολλοὶ ἐμῆς ψυχῆς πέρι μυθίζονται ἀναιδῶς,
οὔ μιν φρουρήσει κάρτεϊ ἑὸ θεός.
ἀλλά σὺ ἀσπὶς ἐμὴ τελέθων φίλε κύριε, κεύθεις
ἰοῖς βαλλόμενον ταρφέσ᾽ ἐμὸν τὸ δέμας.
καὶ μὲ τὸν ὄντα τὸ πρὶν νώνυμον ἀγακλέα ποιεῖς,
καὶ γαίηθεν ἐμὸν κρᾶτ᾽ ἂν ἐς ὕψος ἄγεις.
κεκραυγάζω βωστρῶν κινυρῇ τὸν κύριον αὐδῇ,
ὄφρ᾽ ἀκαχίζομ᾽ ἐμὸν δυσπαθίῃσι κέαρ.
καὐτὸς ἐμῆς ἀΐει πρόφρων τε καὶ εὔνοος ὄσσης,
ἐκ κορυφῆς ἁγίης οὔρεος οἷο Σιών.
κεῖμαι ἐνὶ στρωμναῖς, καὶ πάννυχον ὕπνον ἀωτῶ,

ἠῶθεν τε πάλιν σῶος ἐγείρομ' ἐών.
καὶ γὰρ τηλόσ' ἐμοῦ στυγερὴν ἀπὸ μοῖραν ἀλάλκων,
πιστὸς ἐμῆς ψυχῆς κύριός ἐστι φύλαξ.
τῷ καὶ μυριάδας πλείστας περ δείδια μηδέν,
κἂν περιβάλλωσιν σῶμ' ἐλικηδὸν ἐμόν.
ἀνστάθι σῆς ἀλκῆς χρῄζοντά με κύριε σώσων,
σὺ γὰρ ἀοσσητὴρ, σὺ γάρ ἔμ' ἐσσὶ θεός.
καὶ κακὰ δυσμενέας τοὺς κωτίλλοντας ἔμ' ἄνδρας,
πὺξ κατὰ τάς τε γνάθους, τὰς γένυάς τε δέρεις.
τῶν τε ἁμαρτωλῶν ὀξεῖς στιβαροῖσιν ὀδόντας
χερσὶ καταπλάζων, δείκνυσ' ἔτ' οὐδὲν ἔμεν.
παρ θεῷ ἀϊδίῳ σωτηρί' ἀληθινή ἐστι,
καὶ τοῦ ἀλεξῆσαι κύριος ἔσθ' ὁ κρατῶν.
καὶ πᾶσ' εὐλογίη θεόπεμπτος ἀπ' αἰθέρος ἄκρου,
πρὸς φίλον ὄντα θεῷ ἔρχετ' ἔραζε λεών.

## ΨΑΛΜΟΣ Δ.

### Ὑπόθεσις.

Θαρρεῖν τοὺς ὁσίους κεὐέλπιδας ἔμμεν' ἀνώγει
καὶ μὴ ἀφεστάμεναι, κἄν τι πάθωσι, θεοῦ.
μεμφόμενος τὸν ἀναινόμενον κακὰ πασχέμεν, ὄχλον,
καὶ τὰ λάχον πιστοὶ πίστιος ἆθλα λέγων.

Κλῦθι καλοῦντος ἐμοῦ σὲ θεὸς πολυπενθέι φωνῇ,
καὶ σὰ πρόθυμος ἐμαῖς οὖατ' ἄνοιγε λιταῖς.
κλῦθι δικαιοσύνης ὃς ἐμῆς θεὸς οἷος ὑπάρχεις,
οὔτε παρὲκ μηδὲν πάγχυ δίκαιον ἔχω.
ὅς τε παρηγορέων δυσπλήμον' ἔμ' αὖτε πλατύνεις,

κῦρ μοι ἐπισμυγερῶς ἐν φρεσὶ θλιβόμενον.
ἵλαθ' ἐμοί, μεγάλῳ τῷ σῷ κεχρημένος οἴκτῳ,
καὶ φίλ' ἐμ', εὐχωλῶν τῶνδ' ἐσάκουε, φρονῶν.
αὐτὰρ ὑμεῖς δυνάμει, μεγάλῳ τε πεποιθότες ὄλβῳ
οἳ βούλεσθ' ἄλλων αἰὲν ὑπείροχ' ἔμεν·
ἦ ἄρα κερτομέοντες ἐμὴν ποτε λήξετε δόξαν;
ἦρ' ὑβρίζοντες λήξετ' ἐμὸν τὸ κλέος;
οἷα νόων ἀγαθῶν βεβλαμμένοι, ἀμφαγαπῶντες
καὶ τὰ μάταια μάτην, καὶ τὰ κεν' ἐστὲ κενῶς.
τῆς τε ἐτητυμίης πρὸ κέλευθ' ἀρίσημα λιπόντες
ἔκδηλοι σφαλερὰς διζόμεν' ἐστὶ τρίβους.
ἀλλὰ γένεσθε σοφοὶ καὶ γνῶτε ἐχέφρονι θυμῷ,
κύριον ὧν ὁσίων πομπὸν ἀγητὸν ἔμεν.
ἔσθ' ὅτ' ὄρας' αὐτοὺς καταβάλλει, ἵν' αὖθις ἀέρῃ,
ἔσθ' ὅτε λυπεῖ, ἵν' αὖ ἔμπλεῳ ὦσι χαρᾶς.
αὐτὸς ὅδ' εἰσαΐων ἔθ' ἐμὴν δέχνυτ' οὔασι φωνὴν,
κείν' ἀμύντορ' ἐμοὶ ἔμμεν' ἐν τῇδε κακῷ.
εἴ τις ὑμᾶς ποθ' ἕλῃ χόλος, εὐλαβέεσθε ἀλιτρὸς
μὴ χόλος ἀμπλακιῶν ἢ γενετὴρ τις ἐών.
αὐτὰρ ἐπὶ σφετέροις κοίτοις κατακείμεν' ἕκηλοι,
τὰς ἰδίας κραδίας κρυπτὰ προσείπατ' ἔπη.
καὶ δίχα θυμοβόρων πάντως ἀτρεμεῖσθε μεριμνῶν,
κρείττον' ἀπ' οὐρανόθεν προσδοκόωντες ἀεί.
θῦμα δικαιοσύνην θεῷ ἔξοχα ῥέζετ' ἀρεστὸν,
εἰς τε μόνον πιστῇ ἐλπίδα θέσθ' ἐ φρενί.
πολλοὶ τῶν ἀγαθῶν αὐδῶσ' ἀδαήμονες ἔμπης,
τίς κεν τῶν θνητῶν δεῖξ' ἀγαθ' ἧμιν ἔχῃ;

ἀλλά σὺ μαρμαρυγῇ φίλε κύριε σοῖο προσώπου,
εἰς ὕψος ταύτην, ἄμμε καταύγασ', ἀείρων.
τοῦθ' ἕρδων μὲ εὐφροσύνης ἐπεβήσαο πολλῆς,
τοῦτο ποιῶν κραδίῃ λήθεα δῶκας ἐμῇ.
ἄλλους οἰνόπεδοι τέρπουσι μὲν ἔξοχ' ἀλωαί,
αἳ μέθυ γεννῶσαι ἄφθον' ἐριστάφυλον,
πολλά τε πυροφόρου πλέθρα καὶ μάλα πίον' ἀρούρης,
τῶν ἄπ' ἀμησάμενοι σῖτον ἔχουσι πολύν.
αὐτὰρ ἐγὼ θορύβων κοιμῶμ' ἀμέριμνος ἁπάντων,
καὶ γλυκερὸν κνώσσω ὕπνον ἐν ὄμμασ' ἔχων.
ὅττι σὺ κινδύνων ναίειν ἀπὸ νόσφιν ἔμ' αἰνῶν,
σῷ πίσυνον, ποιεῖς, μοῦνον ἐόντα κράτει.

## ΨΑΛΜΟΣ Ε.

### Υπόθεσις.

οὐδὲν ψευδαλέης διδαχῆς ὀλοώτερόν ἐστι,
τῆς γενέτας πολλοὺς πάντοθ' ὁ κόσμος ἔχει.
τῶνδε καθ' ἱκνεῖται θεὸν εὔγμασι, μήκεν ἐῴη
σφᾶς λωβητῆρας τῶν ὁσίων ποτ' ἔμεν.

Ῥήματ' ἐνώτισ' ἐμῆς οὐ ψευδέα κύριε γλώσσης,
σόν τ' ἀγανὸν πρὸς ἐμοὶ σχὲς βοόωντι νόον.
δέξο βοηθὼ ἐμὴν, καὶ σῷ ἐνὶ κάτθεο θυμῷ,
δέξο προσευχάων ὦσι σέθ' ἦχον ἐμῶν,
ὦ βασιλεῦ κύδιστε, θεός τε ἐν αἰθέρι δίῳ
οἶκον ὃς ἵδρυσας λαμπετόωντα τεΐν.
σοὶ γὰρ ἐπεύξομ' ἐγὼ, σὺ ἐμὴν φίλε κύριε αὐδὴν
πρωῒ ἅμ' ἠελίῳ πεύθεο φαινομένῳ.

ἠῶθι πρὸ ἐπεὶ σοὶ ἔγωγε παρέσσομ', ἀθρήσων
    πράγεα δεξιτερῆς ἀξιάγαστα τεῆς.
οὐ γὰρ ἁμαρτοσύνας φιλέων, καὶ σχέτλια ἔργα,
    οὐ γὰρ ἀλιτροσυνέων ἐσσὶ θεός τις ὁρῶν.
οὐδ' ὁ πονηρὸς ἀνὴρ καὶ ἀτάσθαλος αἴσυλα ῥέζων,
    ἄγχι σέθεν σταθερὸν δηθά τιν' οἶκον ἔχει.
οὔτε οἱ οἰδαλέοι, καὶ ἀλαζόνες ἠδὲ ἀγαυροὶ
    ἔμπεδοι ὀφθαλμῶν πρόσθε μένουσι θεῶν.
αἰνῶς γὰρ πάντας στυγέεις ἀλιτήμονας, αἰνῶς
    ψευδολόγον θείνεις πάντ', ὀλέκεις τε βροτόν.
ὠμόφρων, δολόεις θ' ἑτέρῳ φὼς κῆρα φυτεύων,
    ἔχθιστον πάντων ἐστὶ βδέλυγμα θεῷ.
αὐτὰρ ἐγὼ τὸν σὸν δόμον εἰσαναβήσομαι ἱρὸν,
    θεσπεσίῃ θαρρῶν σῇ ἐλεημοσύνῃ.
πρόσθ' ἅγιον τεὸν ἐρχόμενος κ' ἐρικυδέα νηὸν,
    πλεῖος ὀφειλομένου γουνάσομ' ὢν σέο φόβου.
σῆς με δικαιοσύνης ἐνὶ τέρμασι κύδει' ἀγίνει,
    μὴ με κακῶς ἐχθροὶ ἀμφιέπωσιν ἐμοί.
μήποτε πλαζόμενον φθίσωσί με δήϊοι ἄνδρες,
    ποίει ἔμ' ἰθεῖαν σοῦ προπάροιθεν ὁδόν.
οὔτι γὰρ ἀσφαλέως ἀγορῶνται ἢ ἀξιοπίστως,
    ἀλλ' ἄμυδις ψευδῶν τὸ στόμ' ἅπασι γέμει.
πᾶν σφῶν ἀτηρὴ τὸ φρόνημα πονηρίῃ ἐστὶ,
    πημονέων μυχάται σφὶν πλέ' ἔασι φρένες.
πουλυφάγος τ' αὐτῶν θήκῃ τινὶ εἴδεθ' ὁ λαιμὸς,
    τὴν οὔτ' αἶα χυτὴ κευθάνει, οὔτε λίθος.
εἰδέα βάζουσι σφετέροις στομάτεσσι καὶ ἐσθλὰ,

ἐσθλά, ἢ κρυπταδίων ἐκγεγαῶτα δόλων.
κεῖνον σφᾶς τοίων ὄφρ' ἐκπεσέωσι μενοινέων,
κὤφρ' οἷοί τ' ὦσιν τῶν φράσσαν οὔτι τελεῖν.
πλῆθος ἀτασθαλιέων ἐπεὶ σφίσιν ἄσπετόν ἐστι,
πατάων αὐτοὺς ἐκ θεὸς ὦσον ἑδρῶν.
νόσφιν γὰρ σὲ τέλους ὀρεθίζουσ' ὄργμασι λυγροῖς
καὶ σοὶ ἀπειθοῦσιν δυσμενέοντες ἀεί.
ἀλλ' οἱ πηξάμενοι ἐπὶ σοὶ πολυθαρσέα πίστιν,
εἶεν ἀπειρεσίης ἔμμορ' εὐφροσύνης.
μήτε ἀγαλλόμενοι λήξειαν ἰαινόμενοί τε.
ὅττι σάκος τ' αὐτοῖς, καὶ σκέπας ἐστὶ θεός.
εἴς τε χρόνους δῆλοι καυχώμεν' ἀτέρμονας εἶεν,
σοὶ ἔφ' ὅσ' οὐνόματος σοῦ φιλέουσι κλέος.
ὅττι δὴ σὺ λογέων τελέεις τοὺς οἶσθα δικαίους
κύριε, τῶν τ' ἀπατῶν νήϊδας ἄνδρας ἔμεν.
ὡς δέ τις ἀσπιστὴς στέφετ' ἀσπίδι τερμιοέσσῃ,
οὕτως σφᾶς στεφανοῖς σὺ δοκίῃ σὺ τεῇ.

## ΨΑΛΜΟΣ ϛ.

### Ὑπόθεσις.

ὁπποῖός τις ἔῃ ὁ ὑπερβασίας ἀλεγεινὰς
ἐν φρεσὶν, ἠγάθεον φραζόμενός τε νόμον,
καί τι φραζομένῳ τῶδ' ᾖ ποιητέον ἄμφω,
εἴσεται ἐντύξας πᾶς τις ὁ τοῖσδε νόμοις.

Ὦ ἀπαύστου θε τέλους διάγων, ἀπαύστου θε τε ἀρχοῦς,
κόσμου θεσπεσίου δημιουργὲ θεός. (μον,
πρός σε κρησφύγετον, πρός σ' ὄρχομαι ὥς τιν' ἐφ' ὅρ-

σῆς

σῆς τε φιλοφροσύνης, σῆς χάριτός τε χατῶν.
μή με σέθεν καίπερ πόλλ' ὀρέξαντ' αἴσυλ' ὁρῶντος,
ἐν κότῳ, ἐν θυμῷ δεινὸν ἔλεγχε τεῷ.
μήτε χολωσάμενός μοι ἀτασθάλῳ οὐκ ἀδίκως περ,
ἐν τῇ σῇ μ' ὀργῇ, σῇ τε κόλαζε χολῇ.
ἀλλά με οἴκτειρε, ψυχήν τ' ἐμοῦ ἀδρανέουσαν
σῇ ἐλεημοσύνῃ, σῷ θεράπευε λόγῳ.
ἴασό μ' ἄρρωστόν θ' ὑγιές τ' ἔτι μηδὲν ἔχοντα,
ὀστέα τ' ἐκπάγλως καὐτὰ ταρασσόμενον.
ἴασ' ἐμὴν ψυχήν, ἣ δεινολογουμένη οὐδὲν
εἰ μὴ τάρβος, ἄχος, δεῖμα, φόβος τε μέλει.
εἶτ' ἐφ' ἁμαρτιέων ὧν πλήθει δάκρυα λείβει,
σοῦ πότε κομψότερον κύριε μέλλει ἔχειν:
λῆγε χόλου, καὶ ἐπιστρέψας μιν κύριε ῥῦσον,
ἐκ τ' αὐτῆς τάρβος πᾶν βάλε, πᾶν τε δέος.
καὶ μὲ σάωσον ἐὼν ἐλεήμων ἔξοχα πάντων,
τῆς τε φιλοφροσύνης, εὐμενίης τε γέμων.
οὔτε γὰρ ἐν θανάτῳ σέο μνήμονες ἄνδρες εἰσί,
οὔτε τὶς ἐξολογέων σ' εἰν ἀΐδαο δόμοις.
ἀδηκὼς κεῖμαι στοναχῇσι τὸ πνεῦμα βαρείαις,
κὰμ φρεσὶ λευγαλέαις ἄγριον ἄλγος ἔχω.
παννυχίοισί τ' ἐμὴν λούω τὴν δάκρυσιν εὐνήν,
δάκρυσ' ἐμὸν δεύω ὡς ὑετοῖσι λέχος.
δείματι καὶ λύπῃ ἀμεγάρτῳ ἔγεντο δυσειδὲς
τοὐμὸν, καὶ ῥυσσὸν, γηραλέον τε ῥέθος.
οὕνεκά μοι ζωὴ ἐπίμοχθος, ἐπώδυνός ἐστι,
οὕνεκα δύσμοιρος, καὶ τάλας εἰμὶ βροτός.

φεύ-

φεύξασθ' ἑκὰς, καὶ τηλόσ' ἐμοῦ ἄνομοί τε κακοί τε,
καὶ γὰρ ἐς οὖατ' ἐμὸς κυρίου ἦλθε γόος.
κύριος ἆσσον ἐμῆς ἐπάκουσε δεήσιος ἰὼν,
κύριος εὐχωλὰς ἤπιος ἔλλαβ' ἐμάς.
ἐχθροὶ ταραχθεῖέν, μ' αἰσχυνθεῖέν τε φρονοῦντες,
αἰσχυνθεῖεν ὅμως αἶψ' ἀναχασσάμενοι.

## ΨΑΛΜΟΣ Ζ.

### Ὑπόθεσις.

Κερτομίαις Ἰεμινίδεω βεβολημένος αἰναῖς,
οὕτω δακρυχέων ἐλλιτάνευσεν ἄναξ.
ἤδε κεν εὐσεβέων γνῶμας ἀνδρῶν τοῦθ' ἅμα πάντων
λοιδορίας ἀΐειν, καὶ θεὸν ἀντιβολεῖν. (πάντων,

Ἀρχέγον' ἐσθλὲ θεὸς, μένος ἄσχετε, κοίρανε
σῷ μόνον ἐλπὶς ἐμὴ πᾶσ' ἐνάρηρε κράτει.
τύ με πεποιθήσαντα τεῒν, σὸν ἐόντα τε λάτριν
σῶζε, διωκτάων ἐξ ἀδίκων με βροτῶν.
αὐτ' ἐμέθεν τε λαβοῦ, καὶ σάς μοι χεῖρας ὀρέξας,
τῶν με λοχησαμένων χερσ' ἀπὸ δεινὸν ἐλοῦ.
μήποτε χηρωθεὶς σέθ' ἀρηγόνος οἷα ἐμ' ὄντος,
τοῖς με γένωμ' ὀλέκειν ἐσσυμένοισιν ἕλωρ.
καὶ τοὶ ἐμὴν ψυχὴν μάρψωσιν ὀδοῦσιν ἑλόντες,
ἠΰτε λὶς ἀδινὴν ὀρεσίφοιτος ὄϊν.
καί μιν τῇ σφετέρῃ μονοεικέα γαστέρι βρῶσιν
τεύξωσι, βρῶμ' ὡς χ' ἤδε λέοντι πέλει.
οἷοί τ' εὐμαρέως λίην τόδε ῥεξέμεν ὄντες,
οὔτ' ἂν ἄκικυς ἐὼν οὐδέν' ἀμύντορ' ἔχει.

ἀτό-

εἰ τόδ᾽ ἔρεξα θεὸς, καὶ ἤλιτον, ὥς με φατίζει
  ἐχθρὸς ὑπερβολάδην ἔμμεν᾽ ἀλιτρὸν ἀνήρ:
εἴ ῥα παλαμναῖος τελέθω, καὶ τῆσδε σ᾽ ἀλάστωρ
  εἰμί τις, οὐχ ὁσίως χέρεσι χρησάμενος.
εἰ ἀπέδωκα κακὴν τοῖς ἡσυχάσασιν ἀμοιβὴν,
  εἰ ἀδίκησ᾽ ἐχθροὺς προικὸς ἐόντας ἐμούς:
δὴ τόθ᾽ ὑπευθύνου τ᾽, ἐνόχου τ᾽ ἐγκλήμασι τόσσοις,
  τἄμ᾽ ἐπιτηρείτω ἴχνι᾽ ὁ ἐχθρὸς ἀνήρ.
καὶ κατ᾽ ἐμὴν λαβέτω ψυχὴν, θηρώμενος αὐτὴν,
  καὶ πολύωπ᾽ αὐτῇ δίκτυα πολλὰ τιθῶν.
λάξ τε ἐμῆς ζωῆς ἐπιβὰς, κατὰ τήνδε πατείτω,
  ὑψόθεν ἐξαπίνης εἰς χθόνα βαλλομένην.
καὶ τὴν δόξαν ἐμὴν κονίῃσιν ἀεικελίῃσιν
  ἐσσάθω, κλειτὸς καὶ μέγας αὐτὸς ἐών.
ἄνσταε χωόμενος, μένεός τε μέγ᾽ ἀμφιμελαίνας
  πίμπλασ᾽ ἐπ᾽ ἀνδράσ᾽ ἐμοὶ λυγρὰ φρονοῦσι φρένας.
καὶ χαλεπαινόντων φρεσὶν ἐν σφετέρῃσί περ αἰνῶς,
  μείζονα τὸν σὸν ὅμως ὄνθ᾽ ὑπέραιρε χόλον.
ἅ τε παρὸς πρώτην λειτουργίῃ ἧς τε κέλευσας
  τὸ πρὶν ἔμ᾽ εὐθυντῆρ᾽, ἠδὲ κύβερνον ἐμόν:
τήνδε μοι ἐγχείριζε πάλιν, τήνδ᾽ ἴσχεμεν αὖθις
  τῷ σῷ ὑπουργῷ ἐμοὶ ἐγγυάλιζε θεός.
ὄφρα περιπλύξῃ σε θεόφρων ἔμπαλιν ἐσμὸς,
  ὄφρ᾽ ἁγίων στέψῃ φῦλά σε πολλὰ λεῶν.
τῶν χάριν ἁψάμενος σκήπτροιο, καὶ ὑψόθ᾽ ἀερθεὶς,
  δείκνυσο συμπάντων ὄντα θεόν σε κρατεῖν.
κύριος ἐνναετῶν λαῶν χθονός ἐστι δικαστὴς,

μοῦνο

μοῦνος τῶν θνητῶν κύριός ἐστι κριτής.
κἀμὲ δικαιοσύνην κατ' ἐμὴν παγκοίρανε κρῖνον,
καὶ τὸ ἀθῶον ἐμοὶ ἐν φρεσὶν ἦτορ ἐόν.
παῦσον ἀλιτροσυνῶν σφετέρων ἀλιτήμονας ἄνδρας,
ὥστε γενέσθ' ὀλοῶν λῆξιν ὑπερβασιῶν,
τούς τε δικαιοσύνης ἐτεῆς εἰδήμονας, ἐσθλούς,
ἰθείης παλάμαις σαῖς ἐπίβησον ὁδοῦ.
ὅττι δίκαιε θεὸς σὺ καθὼς ἐκ τἆλλα ἐτάζεις,
τοὺς ξυνάμ' ἱστορέεις ταῖς κραδίαισι νεφρούς.
παρ' θεῷ ἀσπὶς ἐμοί, καὶ τεύχεα πολλὰ τέθειται
χάλκεα, τῶν χρήζῃ μαρνάμενός κεν ἀνήρ.
παρ' θεῷ, ὃς πᾶσιν τοῖς κηρόθι σύνθεσ' ἀρήγει,
ἠδὲ φίλ' ἀνθρώποις τοῖς ἀκάκοισι φρονεῖ.
ἔνδικός ἐστι κριτὴς ὁ θεός, καὶ ὁσημέρ' ἀπειλεῖ
τοῖς ἐργαζομένοις ἔργ' ἀθέμιστα κακοῖς.
εἰ μὴ ἀλιτροσύνης λήξας, ὁ ἀβέλτερος ὄχλος
κοῦφον ἔθεν στρέψῃ πρὸς τὰ δίκαια νόον:
ἀμφίτομον καὶ ἀφειδῆ ἑὴν ἀκόνησε μάχαιραν,
καὶ τόξ' ἀμφοτέρῃ καμπύλ' ἔτεινε χερί.
καὶ τάχ' ὀϊστεῦσαι μεμαώς, ἐπέθηκεν ἐκείνοις
παντολέταο μόρου σκεύεα, πικρὰ βέλη.
φαρμάκῳ ἀνδροφόνῳ χρίσας ξυνάπαντας ὀϊστούς,
ὄφρ' ἐχθροῖς λυγρὸν τοὺς ἐπὶ πότμον ἔῃ.
κὐίδ' ὅμως κάχ' ὁ ἐχθόμενος, φρεσὶν ᾗσιν ὀρέασει,
ὠδίνει τ' αἰνοὺς ἐν πραπίδεσσι δόλους.
ἀλλ' ἔκτρωμ' ἔμπης ὥς, ψεῦδος τέξετ' ἀεικές,
αἶσχος προστείβων, καὶ μέγ' ὄνειδος ἑοῖ.

ἐκ μὲν ὄρυξε βόθρον, καὶ πυθμένος ἤνυσ᾽ ἀπ᾽ αὐτῆς,
    εἰς ὃ τὸ ὧν ἄφρων κάππεσ᾽ ὄρυγμα χεροῖν.
εἴς τε τὸ κρᾶς αὐτῷ ὃν ὑπότροπ᾽ ἀφίξεθ᾽ ἅπαντα,
    οἷς τισ᾽ ἐμοὶ μέλλειν ἤλπισε κῆρα φέρειν.
ὕβρις τ᾽ οὐλομένη τῇ ἐμ᾽ ἄθλιον ἤθελ᾽ ὀλέσσαι,
    τὴν ἰδίην καθ᾽ ἑοῖ βύσεται εἰς κορυφήν.
αὐτὰρ ἐγὼ χάριτας τῷ κυρίῳ, ὅττι δίκαιος
    ἐστὶ, προσηκούσας οὔποτε λήξομ᾽ ἰδών.
οὔνομά τ᾽ ἀρχεγόνοιο θεοῦ, ὑπάτοιό τε πάντων,
    τῆσδε διὰ γλώσσης θέσκελον ἔξομ᾽ ἀεί.

## ΨΑΛΜΟΣ Η.

### Ὑπόθεσις.

Κεῖσιν τοῦ χριστοῦ τοῦ ἱλαστῆρος ἁπάντων,
    νόστον τ᾽ ἐκ νεκύων τοῦ ἀΐδαο δόμων.
καὶ τὴν δεσποσύνην, τὴν πάσῃ ἐπικρατέουσαν
    τῇ κτίσει, ἐκ τούτων τῶν ἐπέων κε μάθῃς.

Κύριε ὃς κόσμῳ σῷ κτίσματι ἐμβασιλεύων,
    εἷς μόνος ἡμέτερος κύριος, ἠδὲ θεός.
ὡς ὄνομ᾽ εὔδοξον, καὶ ἀριπρεπὲς, ἠδ᾽ ἀγακλειτὸν
    ἐστ᾽, ἐνὶ τῆς γαίης πείρασ᾽ ἅπασι, τεόν.
καὶ δὴ γῆθεν ἰὼν σὸς ἔπαινος ἐς οὐρανὸν αἰπὺν,
    οὐρανὸν ὑψόροφον σὸν θεὸς ὤρχεθ᾽ ἕδος.
ἐκ στόματος τῶν ἀρτιγόνων ἔτι νηπιαχόντων,
    τῶν τ᾽ ἐπιμαστιδίων παναπάλων τε βρεφῶν.
σοὶ κράτος ἄδμητον, καὶ ὀβριμόεν κεύτυες ἀλκὴν,
    τῶν σε θλιβόντων εἵνεκεν ἀντιβίων.

ἔφρα

ὄφρα διαῤῥαίσῃς φθίσῃς τε τὸν ἀνδρ' ἀπεχθῆ,
τόν τε φρέσ' ἐκδικίης ἧσι λιλαιόμενον.
καὶ γὰρ τηλεφανοῦς πτύχας οὐρανοῦ ὄψομ' ἀολλεῖς,
δάκτυλοι ὧν ζάθεοι τέκτονές εἰσι τεοί.
καί φάε' ὀρφναίης νυκτὸς, πολυειδέα μήνην
ἄστρα τε, τοῖς στεῤῥὸν θεμελιώσας ἕδος.
τίπτε βροτὸς πέλεται, αὐτοῖο σε ὥστε μεμνῆσθαι,
ὥραν τ' οὐρανόθεν σῆς ἀφ' ἕδρης τιν' ἔχειν;
τίπτ' ἐστ' ἀνθρώπου βρότεον παῖς αἷμα λελογχὼς,
ὡς τοῦδ' ἀθανάτῳ σοὶ θεῷ ὄντι μέλειν;
ἤματα παῦρα θεοῦ μέν ἑ ἐνδεᾶ εἶναι ἐάσεις,
τρυχόμενον δεινοῖς, ἀργαλέοις τε πόνοις.
δόξῃ καὶ τιμῇ ἢ τάχ' ἔμπαλιν αὐτὸν ὀρέψεις,
ὥστε μιν ἔνδοξον καὶ περίτιμον ἔμεν.
ἔργα καταστήσεις ἐπὶ πάντα τε, ὅσσα ποίησαν,
αἵ σέθ' ἀμιμήτῳ δεξιότητι χέρες.
πάντα τὰ κόσμος ἔχει ὁ ἀπείριτος, ὁ τροχοειδὴς,
τῶν αὐτοῖο καλῶν θῆκας ἔνερθε ποδῶν.
ὅσσα πόλιν θαλεροῖς βοσκήματ' ὀρέπτετ' ἐν ἀγροῖς,
εἰροπόκους τ' ὄϊας, ζατρεφέας τε βόας.
πρὸς τούτοις θῆρας μονοφόρβους τ' ὠμοβόρους τε,
ὅσσους εἴτε δρυμοὶ, εἴτε φέρουσιν ὄρη.
καὶ τῶν ἠερίων τανυσιπτέρα φῦλα πετεινῶν,
ἰχθῦς τ' ἀτρυγέτου ἐνναετῆρας ἁλός.
χ' ὅσσα παρὲξ τούτων νέμετ' ἠεροειδέα πόντον,
ἐν χείρεσσιν ἑῇς πάνθ' οἱ ἔδωκας ἔχειν.
ὦ ἄνα, ὃς πάντων κρατέεις, καὶ κοίρανος ἡμῶν

εὐρείης ναετῶν τῆς χθονὸς ἐσσὶ βροτῶν.
ὡς πολυκυδάλιμον κυρέεις, καὶ ἀοίδιμον ἴσχων
οὔνομ᾽, ἐν ἀνθρώποις, γῆς τ᾽ ἐν ἅπασιν ὅροις.

## ΨΑΛΜΟΣ Θ.

### Ὑπόθεσις.

Χρησμῳδεῖ τλήσειν κακὰ τὸν θεόκλητον ὅμιλον,
ἔν τε κακοῖς ῥύστην κύριον ἐξέμεναι.
τοὔνεκα νῦν χάριτας μὲν ἑοῖ ἐνὶ τῷδε προσάπτει
ᾄσματι, νῦν δὲ πάλιν λίσσεθ᾽ ὁ θεῖος ἀνήρ.

Τοῦτο δὴ οἷον ἐμὸς μενεαίνει ὁ θυμὸς ἐέλδωρ,
τῖσαι ὀφειλομένας κύριέ σοι χάριτας.
ἡδυθρόοις μοῦσαι ἐμαὶ ὑμνήσουσιν ἀοιδαῖς,
θαύματ᾽ ὅσα, βροτοῖς χρήσιμά τ᾽ ἔργα τελεῖς.
γηθόσυνος τὸ κέαρ τελέθω, καὶ ἀγαλλιόωμαι
ἐν σοί, ὅθ᾽ ἵλαον τοῦ σέ μοι ἔμμορ᾽ ἔχειν.
ἠδὲ λιγυφθόγγοις, ψάλλων, ἐπέεσσι γεραίρω
τοὔνομα, ὦ πάντων ἔξοχα κυδρέ, τεόν.
σεῖο διώκοντος γάρ, ὁμῶς φυγάδ᾽ αἶψα τράπησαν
πάντες, ὅσ᾽ ἀσπερχῶς ἐχθοδοποῦσιν ἐμοί.
σῶν τε ὀπωπάων προπάροιθεν ἀολλέες εἰς γῆν
ἤριπον, αἰψηρῶς ξύνθ᾽ ἅμ᾽ ὄλοντο μόρῳ.
σὺ γὰρ ἐμ᾽ οὐκ ἀδίκως κρίνεις, σὺ δίκην τε δικάζεις,
ὡς καλόν, ὡς νόμιμον, χ᾽ ὡς θέμις ἐστίν, ἐμήν.
ὅττι δίκαιος ἐπὶ θρόνου ἥμενος ἐσσὶ δικαστὴς
τοῦ τεοῦ, ἀμπλακίης τ᾽ ἔμμορος οὐδεμιῆς.
ἄφροσι ῥιγεδανῇ ἐπιτιμήσας ἔθνεσ᾽ ὁμοκλῇ,

τὸν δ' ὁσίης κτάνεις οὐκ ἀλέγοντα λεών.
καὶ τῶν δυσσεβέων πάντων ἐξ οὔνομ' ἀλείφεις,
εἰς ἀτελεύτητόν τ', ἀΐδιόν τε χρόνον,
δυσμενέεσσι θεὸς σὺ ἀπὸ ξίφε' ἀνδράσιν εἷλες,
ὅπλων γυμνώθη δήϊος ἐσμὸς ἑῶν.
τάς τε εὐκτιμένας, τὰς εὐπύργους τε πόληας,
κάρτει ἀΐστωσας σῷ, καὶ ὄλεσας ἑλών.
σφῶν τε τὸ μνημόσυνον γαίης ἄπο ἦρας ἅμ' αὐτοῖς,
ὥστε διὰ μνήμης σφᾶς ἔτι μηδὲν ἔμεν.
αὐτὰρ ὁ ἀέναος θεὸς ὤν, καὶ ἐφήμενος ἄστροις,
πρὸς τὸ δικαζέμεναι τὸν θρόνον εἷσεν ἑόν.
ἔν τε δικαιοσύνῃ κρινέει πάντ' ἔθνεα γαίης,
ἰθείην τε δίκην ἄνδρ' ἀπὸ παντὶ νεμεῖ.
καὐτὸς ἀλεξίκακος τελέθων, χεῖρας ἀμφιτίθησι
τοῖς πενιχροῖς, ἀλκῆς δευομένοισι βροτοῖς.
κρησφύγετόν τ' αὐτοῖς ἐνὶ δηϊότητι τέτυκται,
εἴτε ἀμηχανιέων σφᾶς ἄγει, εἴτε δυέων.
τῷ ὄνομ' εὐθαρσῶς τὸ τεὸν δεδαημένοι ἄνδρες,
σῇ πίσυν' εὐνοίῃ, σῷ πίσυν' εἰσὶ μένει.
οὐ σὺ γὰρ αὐχέν' ἔχων λοξόν, τοὺς δ' ἐγκαταλείπεις.
οἵτινες ἔλδονται σοῦ θεὸς ἄσσον ἴμεν.
αἰνεῖτ' ἐνναέτην τὸν κύριον ὄντα Σιῶνος,
βάζετε παντοδαποῖς ὄβριμ' ἔθ' ἔργα βροτοῖς.
οὐ γὰρ δίζεσθαι ἀμνηστεῖ αἷμα τὸ κείνων,
οὔτε βοῆς ἀμελεῖ τὴν ὁ ἄποτμος ἵει.
ἵλαος ὦ φίλ' ἐμοὶ μεγαλοίτῳ κύριε ἴσθι,
κὤιδε δυσμενέσι θλῖψιν ὑπ' ἀνδράσ' ἐμήν.

κὤιδ'

κῆδ' ὑπὸ κρατερῶν με λίην ἀτώμενον ἐχθρῶν,
 καὶ τάλαν' ἀργαλέης κάρτα, λαχόντα τύχης.
ὃς πολυκωκύτων, ἐμὲ ἐξ ἀΐδαο πυλάων
 εἰς βίον, ἀσκηθῆ, καὶ σάον αὖθις ἄγεις.
ὄφρα τεῆς δόξης συμπάσης ἠπύτα κῆρυξ,
 ἄγγελος ὄφρα τεοῦ κύδεος ἡδὺς ἔω.
σοὺς ἐνέπων, σοὺς τ' ἀγγέλλων πάντεσσιν ἐπαίνους,
 τοῖσι σιωνείας ναιετόωσι πύλας.
σῇ τε βοηθείῃ ἔπι πόλλ' ἐνὶ φρεσὶ γεγηθώς,
 πλεῖον ὑπερχόντως χάρματος ἦτορ ἔχω.
ὤλετο εἰς κάπετον τὸν σκάψε πεσόντα τὰ ἔθνη,
 οὓς τε κρύψεν, σφέτεροι ἔλλαβον αὐτὰ βρόχοι.
καὶ διὰ τοῦτο κριτὴς ὅτι κύριός ἐστι δίκαιος,
 ἔξαφνος θνητῶν οὔτις ἔκικε βροτῶν.
ἄμμορος εὐσεβίης τις ἐὼν ἐνὶ ἔργμασι χειρῶν
 αἱρεῖτ', ἐν τ' ὀλοοῖς κήδεσ' ἀπόλλυτ' ἀνήρ.
οὐ βίῃ ἀντιβίην οἱ μαρναμένοιο τοῦ ἐσθλοῦ,
 ἀλλὰ θεόρρητον φραζομένοιο λόγον.
αἴθ' ὤφελλον ὁμῶς ἀϊδόσδε βεβηκέν' ἀλιτροί,
 ἔθνεά τε σφετέρου παντ' ἀμβριμνα θεοῦ.
ἔσται ἄτ' ἠρώμην, ὅτι οὐκ ἐπιλήσετ' ἐς αἰεὶ
 πάμπαν, ὁ παντοκράτωρ τοῦ μογεροῖο βροτοῦ.
οὔτ' ἐς ἀεὶ σφετέρης ψευσθήσοντ' ἐλπίδος, αἴσης
 οἱ πειρηθέντες δαιμόνι' οὐκ ἀγαθῆς.
ὄρσεο κωλύσων, ἵνα μὴ γῆς ἐκγεγαώς τις,
 κάρτεος ἀντιθέου χείρεσιν ᾗσι τύχῃ.
ἔθνεα κρινέσθω σοῦ ἅπαντα πάροιθε προσώπου,

ὅσ' ἤτ' ἀντολίη, ἠὲ ἡ ἑσπέρ' ἔχει.
δός σφισι παιδεύειν, δός τ' ἰθυντῆρά τιν' αὐτοῖς,
ὄππως εἰδῶσι θνητὸν ὅτ' εἰσὶ γένος.

## ΨΑΛΜΟΣ Ι.

### Ὑπόθεσις.

ᾧ κατὰ τοῦ χριστοῦ πολεμήϊα ἔργα μέμηλε,
καὶ τῶν ῥεξόντων πιστά οἱ ἱρὰ βροτῶν·
ἀλλὰ τὸν ἀντίχριστον ὁμοῦ προέχοντα δόλῳ τε,
ψαλμογράφος δηλοῖ ἐνθάδε πᾶσιν ἄναξ.

Τίπτ' ἀναχασσάμενος φίλ' ὀπίσσω κίνει ἀφ' ἡμῶν
τῶν τε ταλαιπώρων, αἰνομόρων τε ἄπει;
τίπτε τεὴν κεύθεις κρύπτεις τε πρόσοψιν, ὁρῶν περ
κάρτα βοηθείης ἄμμ' ἐπιδευομένους;
τρύχετ' ἀτλήτοισιν γὰρ ἀνὴρ φίλον ἄλγεσι θυμόν,
κῆδος ὑποκραδίον τις πανάποτμος ἔχων·
μείζονος ὄφρ' ἀσεβὴς κράτεός τε, βίης τε λελογχὼς
μαίνεθ', ἑοῖ δηνέων κοίρανος οἷος ἔμεν.
ἄνδρες ὑπέρφιαλοι καὶ ἀνάρσιοι, οἷσιν ἀπεχθὴς
ἐστιν ἡ εὐσεβίη τ', εὐσεβίης θ' ὁ φίλος·
λυγρὸν ὑφαίνουσι ξυνὸν ὕφασμ' ἅμα κερδοσυνάων,
ῥάπτουσίν τ' ἀπάτας, παντολαποὺς τε δόλους.
καὶ γὰρ ὁ ἀῤῥήτων αὐτουργὸς ἁμαρτοσυνάων
αὐχεῖ ἀτασθαλίαις καὶ μέγ' ἐφ' ἧσι φρονεῖ.
χ' ὁ συνωτίλλων πλούτου τις ἑαυτὸν ὀραστὴς,
δεινοῖς κυδάζει κερτομίῃσι θεόν.
καὶ τόσ' ἀλαζονίης ἀσεβὴς, ἐπί τ' ἤλασε λύσσης,

ὥσθ'

πόθ' ὤρην αὐτὸν μηδενὸς οὔτιν' ἔχειν.
μήτ' ἐποπίζεσθαι θεὸν ὑψιμέδοντά περ αὐτὸν,
καὶ πολλῷ μείζον κάρτος ἔχοντα βροτῶν.
ἀλλά μιν οὐδὲν ὅλως δύναμίν τε φύσιν τε τετύχθαι,
οὐκ ἐν οἰέμεναι δεύεσθ' ἅπασι νόου.
τυγχάνει ἐνδρομίης ἐργάζεσθ' ὅσα μενοινᾷ,
αὐτὰρ ὅμως κρίσεων τηλόθ' ἄπεστι τεῶν.
ἶφι ἑῶν κρατέων ἐχθρῶν, καὶ ὕβρει πολλῇ
σφᾶς λωβῶν, τὸ ἑὸν σφόδρα γέγηθε κέαρ.
οὐδέποτ' οὐδεμιῇ γὰρ ἔσεσθ' ὑποχείριον ἄτῃ
οἴεθ' ἑὴν κραδίῃ πάγχυ πέπεισται ἐῇ.
οὔτε τιν' ἀργαλέως μέλλειν κακότητι παλαίειν,
εἰς τοῦ ἔτ' ἐσσομένου ἤματα πάντα χρόνου.
χείλεα ἀράων, ἀπατῶν τε γέμοντα, χολῆς τε,
γλῶσσαν ἀμηχανιέων δημιουργὸν ἔχει.
λάθρῃ ὑπωροφίαις λοχόωμενος ἵζετ' ἐν αὐλαῖς,
λάθρῃ ἀθῷον ἑλεῖν χερσὶν ἔθ' ἄνδρα φονεῖ.
τοῖς τε ἀμοιροῦσιν τὼ ὄσσε προσίσχει ἀμύνης,
ὄφρ' ἐπὶ κῆρ' αὐτοῖς, ὄφρ' ἐπὶ πότμον ἔῃ.
πάντας ἐπηρεφέων ἄπρουπτος ἐποίχετ' ἀπ' ἄντρων,
ὡς ἀπὸ σήραγγος λὶς προϊών τις ἑῆς.
ἵζανει ἐμμαπέως ἀπορίσατον ἄνδρα δοκεύων,
εἰσόκεν ἀγχίμολον χερσί μιν ἧσιν ἕλῃ.
καὶ μὴν ὡς αὐτὸν θηρώμενος ἄρκυσιν αἱρεῖ,
σύν τε μιν αἰφνιδίως λαμβάνει οἷσι βρόχοις.
θλίβει, συντρίβει, κατ' ἔραζε πεσόντα τε βάλλει,
καὶ τόδε μηδεμιῇ ἐν δίκῃ, ἀλλὰ βίῃ.

ἔκλινον οὐ δεδιὼς θεοῦ ὄμμ', οὔτ' αὐτὸν ὀΐων,
τοῖά τιν' ὄσσεσθαι ὑψόθεν ἔργα, θεόν.
φησὶ γὰρ ἣ κραδίῃ ὀαρίσας ἄφρονα μῦθον,
λήσατο πάγχυ θεὸς τῶν ἐποίησα μέλειν.
ὄμμα κάλυψεν ἑόν, παλάμῃς ὃν ἔκρυψε πρόσωπον,
εἰς μὲ κακὸν ποτ' ἐόντ' οὔποτε λευσόμενος.
αὖ τάχ', ἔγειρε τεὴν παλάμην, παγκοίρανε λαῶν,
μνώεό τε χραισμεῖν τοῖς ταλαύεσι θεός.
τίπτε σε δεννάζει κεῖν' ἀνὴρ νηποινὶ βέβηλος;
τῶν τ' ἐπὶ γῆς ὀρέειν φροντίδος ἐκτὸς ἔμεν;
ἀλλὰ σὺ ἐνδυκέως σφέων ἐν στήθεσι κύδεαι,
καὶ τὰ βρότεια φρένεος ἐν κατὰ σῇσι τίθης.
καὶ γὰρ τοὺς καμάτους καθορᾷς, καὶ ὀϊζύας αἰνάς,
σῇσί τε παμβασιλεῦ πάντ' ἐνὶ χερσὶ φορεῖς.
ἐγκαλέει μοῦνον σὲ βοηθοῦ πᾶς ὁ χατίζων,
πᾶς σὲ ἀρηγόν ἑοῖ ὀρφανὸς ἔλλαχ' ἑῶν.
κλάσσον ἀταρτηροῦ ἀλιτροῖο βραχίονας ἀνδρός,
πρᾶξον ἑ αἰνοτάτου μύσεος ὦκα δίκην.
οὐδ' ἄρ ἀτασθαλιέων τέλος ἔσεται, οὐδέ τις αὐτὰς
εὑρήσει πάσης γῆς ἔπι διζόμενος.
ἀΐδιος βασιλεύς, βασιλεὺς ἐς αἰῶνας αἰώνων,
καὐτοκράτωρ ὁ θεός, παντοκράτωρ τε πέλει.
ἔκ τε ἑῆς βαλέειν βασιλείης ἔθνεα μέλλει,
ὀλλύμενα σφετέρων εἵνεχ' ἁμαρτιέων.
πεύθεαι ἵμειρον, πολυπενθέα ὄσσαν ἀκούεις,
κύρεις τῶν λυγροῖς ἄλγεσι τηκομένων.
καί σφισιν ἐλπωρὴ κατὰ κῆρ ἤδ' ἔμπεδός ἐστι,

ταῖς

ταῖς σφῶν ἐν χωλαῖς ὅττι πρὸς οὖατ᾽ ἔχεις.
καὶ ὅττ᾽ ἐπιτιμήτωρ τοῦ ὀρφανοῦ, ἠδὲ πενιχροῦ
ἔσσ᾽, ἵν᾽ ἐῆς λήξῃ ὕβρεος ἐν χθον᾽ ἀνήρ.

## ΨΑΛΜΟΣ ΙΑ.

### Ὑπόθεσις.

Ταῦτ᾽ ἐπαλαστήσας τοῖς ψευδολόγοισι πιφαύσκει,
ἱερουργοῖς διδαχῆς ἀνδράσιν οὐρανίης.
οἷσιν τῶν θείων μέλεται τὰ βρότεια προτιμᾶν,
τοὺς τε διδάσκοντας κρείττονα κερτομέειν.

Πᾶν τοὐμὸν θάρσος, πάντων ἐνάρηρε κρατοῦντι
κυρίῳ, οὐ θνητῷ ἀσθενεῖ ὄντι βροτῷ.
πῶς οὖν ψυχῇ ἐμῇ τοῖόν τιν᾽ ἐνίσπετε μῦθον,
βάσκ᾽ ἴθι, ἠμέτερον ὡς στρουθίον εἰς τὰ ὄρη:
κὠίδε οἱ ἀσεβεῖς τανύουσι παλίντονα τόξα,
καὶ τῇ νευρείῃ ἐντιθέασι βέλη.
ταῦτ᾽ ἀριαλλέμεναι μεμαῶτες ἐπ᾽ ἄνδρας ἐσθλούς,
ἐκ κρυφίων, ἐν τοῖς ἱζόμεν᾽ εἰσὶ, λόχων
ὅττι κατασκάψαι τὰ θέμεθλ᾽ ἐύπηκτά περ αὐτοῖς,
κρηπῖδάς τε κατὰ φροντὶς ἔνεστι βαλεῖν.
τίφθ᾽ ὁ δικαιοσύνης βάζουσι συνηγόρος, ἀνὴρ
νήπιος, ἢ ποιεῖν ἤκε δύναιτο λέγειν;
ἀλλ᾽ αἰπύδμητόν θ᾽, ἅγιόν θ᾽ ἑὸν νηὸν ἐνοικεῖ
κύριος, ἐν δίῳ τ᾽ αἰθέρι θῶκον ἔχει.
ἀκλήστοισιν τὰ ἐπὶ χθονὶ ὄμμασι λεύσσων,
καὶ ἰσορέων βροτέας οἷς βλεφάροισι φρένας.
πάντα ταλαντίζων ἰσοζύγῳ ἀνδρὰ λίτρῃ,

κἄν τις ἔῃ ἀγαθὸς, κἄν ἄδικός τις ἔῃ.
καὶ τὸν μὲν φιλέει δοκιμάσας ὄντα δίκαιον,
τὸν δ' ὁσίης στυγέει μηδὲν ἔχοντα, κακόν.
μισεῖ ἐκ θυμοῦ τὸν δυσσεβῆ, ἠδὲ πονηρὸν,
καὶ τὸν ἀλιτροσύνῃ ἐνδοκέονθ' ἐν ἔῃ.
οὐρανόθεν παγίδας στρεπτὰς ἀσεβέεσιν ἐφύσει,
καὶ φλογερὸν θεῖον, καὶ πυρὸς ἠῢ μένος.
ὄρσετ' ὀριπνσούστους ἀνέμους, κραιπνούς τε κεραυνοὺς,
κρύψει ὁμιχλάων πλήθει ὃν αἰθέρ' ἔδος.
καὶ τοῦδ' ὡς οἴνου σφείων τὰ κύπελλα γεμίσσει,
τόν δ' αὐτοῖς δώσει μισθὸν ἁμαρτοσυνῶν.
νᾶμα δικαιοσύνης, πηγή τε ὁ κύριός ἐστι,
καί μιν ὑπερβολάδην ἐν φρεσὶν ἧσι φιλεῖ.
ἔξοχα τοὺς ἀγαθοὺς φιλέει, ἀτενιζέμεν αὐτοὺς
εἰς τὰ δίκαι' ὅσσοις εὐλαβέεσσιν ὁρῶν.

## ΨΑΛΜΟΣ ΙΒ.

### Ὑπόθεσις.

εἰσί τινες, τοῖς ἀνθρώπων ἐν ῥήματ' ἀρέσκει,
μᾶλλον ἐπουρανίων, οὓς θεὸς εἶπε, λόγων.
τοὺς δ' ἐπεὶ τῆς εὐσεβίης ληλήμονές εἰσι,
κέκλεθ' ὁμῶς λοιμῷ, ἰοβόλῳ τε φυγεῖν.

Δεῦρο βοηθρομέων τοῖς σοῖς πάτερ ἤπιε τέ- (κνοις,
χθὼν γὰρ τῶν ὁσίων πλῆθος ἔτ' οὐ μέγ' ἔχει.
παῦροι ἐπιχθονίοις ἔτι πιστ' ἐναρίθμιοί εἰσι,
παῦροι ζῶσ' ἀγαθοὶ ἄνδρες ἠδὲ καλοί.
κωτίλλων πᾶς τις πρὸς ἐτώσια πλησίον ἄλλον,

αἱμυλίοις αὐτὸν ῥήμασιν ἐξαπατᾷ.
οὕτεγ' ἀφηγύας φρένας ἀλλήλοισιν ἔχουσιν,
οἱ ῥὰ διδασκαλίης νυῶϊ προϊστάμενοι.
φασκούσας ὀλέσειας ὁμῶς ἀπατήλια γλώσσας,
καὶ μεγάλ', ἐν γαίης πείρασι πᾶσι θεός.
τούς τε δοκεῦντας ἔπη κρατερ' εἰπέμεν ἔμμεν' ἀρίστους,
μήτ' αἰσχυνομένους ἀμφαδὸν ὧδε λέγειν·
ἡμετέρην γλῶσσαν πασῶν δεῖ ὑπείροχον εἶναι,
ἡμετέροισι μόνον χείλεσ' ἔοικε λαλεῖν.
τίπτε, θεῷ χ' ἡμῖν· τίς κύριος ἄμμι κεν εἴη,
εἴτε ἐν ὑψίστοις, εἴτ' ἐπὶ γῆς πη ἐών;
αὐτὰρ ἐπεὶ μέλεοι ἀτῶνθ', ὑποχείριοι ἐχθροῖς,
χ' οἱ πενιχροὶ ἀδινῶν ἐκ στοναχοῦσι φρενῶν·
βούλομ' ἀνεστάμεναι, μυθεῖται ὁ πᾶσιν ἀνάσσων,
καί σφισιν ἀνστάμενος τλήμοσ' ἀρωγὸς ἔμεν.
ὄππως ἐνθαρσῶς καὶ ἄτερ κρυεροῖο φόβοιο,
οἷοί τ' ὦσ' ἄλλοις ῥῆτα θεόσφατ' ἔρειν.
ὅσσα θεός φησιν καθαρώτατα πάντα πέλονται,
καὶ λευκοῦ πολλῷ λευκότερ' ἀργυρίου:
ἀργυρίου, τὸ ἀκηραιφνὲς ἐνὶ φλογὶ σύμπαν ἔγεντο.
κἀμ πυρὶ ἐνδόκιμον τρὶς τετράκις τε φανῇ.
ἀλλὰ σὺ ὦ εὔσπλαγχνε θεὸς σὸν πῶϋ φυλάξαις,
σοῦ γὰρ τοῦθ' ἔρδειν βέλτερος οὔτις ἔφυ.
ἔκ τε φύτλης ἡμᾶς σκολιῆς τῶνδ' ἔξελε ἀνδρῶν,
οἷσιν ἁμαρτήσεις, οὐλοά τ' ἔργα μέλει.
μεστὰ γὰρ ἀνθρώπων ἀσεβῶν ξυνάπαντα γίνονται,
εὖτ' ἂν φλαυρότατοι σκῆπτρα φορῶσι βροτοί.

## ΨΑΛΜΟΣ ΙΓ.

### Ὑπόθεσις.

ὅστις βέβριθας περίλυπον κήδεσι θυμόν,
    ὅστις ὀϊζυρῶς καὶ χαλεπῶς φρεσὶν ἔχεις·
τῆσδε μεθ' ἱκόμενος σῶος θεὸν ἔσσεαι εὐχῆς,
    καὶ χάριν οἱ πάντων εἴσῃ ἄμοιρος ἀχῶν.

Ἤματα πόσσ' ἄρ' ἐμοῦ ὡς παντελέως ἐπιλήσεαι,
    ὄμμα σέθ' αἰγλῆεν κύριε κρυψάμενος;
ἤματα πόσσα τ' ἐμὴν τὴν ψυχὴν δινύεσι λυπροῖς
    τήν τε φρεσὶν ἀργαλέοις ἄλγεσι μέλλω ἔδειν;
μέχρι τοῦ ἐχθρὸς ἀνὴρ βλοσυρὸς, μεγάλαυχος, ἀπηνὴς
    ὑψηλοφρονέειν μέλλει ἐμεῖο κρατῶν;
ἄθρει ἐπιβλέψας με ἐπόψιε ὦ θεὲ ἁπάντων,
    οὔασί τ' εὐχωλὰς τάσδε δέδεξο τεοῖς.
ὅππως μὴ ἄτροπον, καὶ ἀνέγρετον ὕπνον ἰαύσω,
    ἰοῖς δαμνασθεὶς λευγαλέοισι μόρου·
φωτὶ ἀκοιμήτῳ τὼ ἐμεῖο καταύγασον ὄσσε,
    φῶς τ' ἄσβεστον ἐμαῖς ὤψι ἀΰπνοισι δίδου.
μήτε που ὀσσόμενός με ἀνὴρ ἐρρόνθ' ὁ κακόφρων,
    δυσμοίροιο ἐμοῦ φαίη ἐ κρέττον' ἔμεν.
οἵ τε καὶ ἀρτύοντες ἐμοί, καὶ ἀδευκέ' ὄλεθρον,
    τέρφθωσι σφετέραις ἐν φρεσ' ἀγαλλόμενοι.
εἴ με ὀλισθηροῖς μάλ' ἀεικῶς κλινέα ταρσοῖς,
    δευόμενον χάριτος σῆς, κατίδωσι πεσεῖν.
αὐτὰρ ἐμὴ τῇ σῇ ἐπαρήρ' ἐλεητύϊ ἐλπὶς,
    ἐλπὶς τειρομένης ἔστ' ἀνάπαυμα φρενός.

καὶ

καὶ πρόφρον' εἶδος ἔμεν σὲ ἀφηγέμεν αἰνομόροισι,
    χαίρει ἐμὸν μυχάταις ἐν πραπίδεσσι κέαρ.
θέσπιν ἀπουρανίῳ παγκοιράνῳ ᾄσομ' ἀοιδὴν,
    ὅττ' εὐεργετέων τόσσα δὴ ἄμμε τελεῖ.

## ΨΑΛΜΟΣ ΙΔ.

### Ὑπόθεσις.

Τῶν νῦν γιγνομένων οὐδεὶς κεν μάντις ἀφείων,
    τοῦ τάδε γράψαντος τοῦ βασιλῆος, ἔῃ.
ἄττ' ἀναγνώτωσαν, καὶ ἐπιγνώτωσαν ἑαυτοὺς,
    γαστρὸς ἀμφίπολοι οἱ βορέθροιο κακῶν.

Μαίνεται ὃς γαῖαν καὶ οὐρανὸν, ἄλλα τε πάντα
    μὴ γενέσθ' ἀθεεὶ οἴεται, μὴ μένειν.
καὶ θεὸν οὐδὲν ἔμεν βροτέων ἐπίστορα ἔργων,
    τὸν φιλέοντ' ἀγαθοὺς, τὸν στυγέοντα κακούς.
τόσσην δ' ἀφροσύνην ἐφ' ὅμως τινὲς ἄνδρες ἵκοντο,
    ὥστε τύχης αὐτοῖς ἔμμεν' ἅπαντα δοκεῖν.
καὶ γὰρ ὁ μηδεμίην ὁσίης μοῖριδ' ἐν φρεσὶν ἴσχων,
    οὐδεὶς παντελέως, μυθέετ', ἐστὶ θεός.
πάντες ὁμῶς βδελυροὶ, μοχθηροὶ, ἀχρεῖοί εἰσι,
    πᾶσ' ἐν ἁμαρτωλοὶ πρήγεσι, πᾶσι λόγοις.
οὐδ' εἷς ἐξ αὐτῶν ἀγαθόν τε καλόν τε τι ῥέζει,
    εὐσεβίην ἀσκῶν, μὴ σαοφροσύνην.
παντοκρατὴς χαμάδις πανδερκὲς ἔθ' ὄμμα τανύσσας,
    οὐρανόθεν θνητῶν εἴσιδε φῦλα βροτῶν.
συνιέμεναι μεμαὼς εἴ τις πεπνυμένος εἴη,
    ἄφθιτον ἀζόμενος, διζόμενός τε θεόν.

ἀλλ'

ἀλλ' ἄμυδις πάντες πόσ' ἀλώμενοι ἀειπλανέεσσι
    εἰς πλάγι' ἐξ ὀρθῆς ἴχνεα βῆσαν ὁδοῦ.
λοιμῷ νηκέστῳ φθίμενοι τ', ἔτι τ' ὠφέλιμ' οὐδὲν,
    ὄργμ' ὀργαζομένου μηδὲ τινός τι καλόν.
οὐκοῦν κινεκέως οἱ ἀτασθαλέοντες ἀφραίνειν
    μέλλουσι, σφετέραις ἐν ματίαις τε μένειν;
ἦ ποτε λειψάμενοι τάσδ' αὖθι φρενήρεα θυμὸν
    εἰδυίαις σφείων ἐν πραπίδεσσιν ἔχειν;
οἱ τρύχοντες ἐμὸν σφιν ἐπήρατα εἴδατα δῆμον,
    οἱ κατέδοντες ἐμὸν σῖτον ἅτ' ὄντα λεών.
οὔτ' εὐχὰς σφέτερον πρὸς κύριον, οὔτε δεήσεις
    κόσμου ποιοῦντες κτίστορ' ὅλοιο θεόν.
ἔμφοβοί εἰσιν, ὅπου φόβου αἰτίη οὐδεμί' ἐστὶ,
    καὶ τρομέουσιν, ὅθι σφᾶς ἔδει ἀτρεμέειν.
ἀλλὰ φιλοφρονέων ἄνδρεσσι πάρεστι δικαίοις,
    καὶ σφῶν εἰσαΐει λισσομένων ὁ θεός.
μήτιν ὑμεῖς προπετῶς ἀνδρὸς μωμεῖσθε πένητος,
    αὐτάρ οἱ ἐλπωρὴ θεὸς καὶ ὄρυμα πέλει.
αἴθ' ὄφελεν Σολύμοις ἱδροῖς σωτηρίη ἐλθεῖν,
    οὔρεος ἐξ ἁγίης θεσπεσίοιο Σιών.
αἴθε λεὼν ὄφελεν πεπεδημένον, εἷο πεδάων
    λῦσ' ὁ ὑπερμεγέθη κύριος ἰσχὺν ἔχων.
τουτάκ' ὁ Ἰσακίδης ἥσθη τὸν ἑὸν ἔξοχα θυμὸν,
    καὶ πλέος Ἰσραὴλ γηθοσύνης κεν ἔῃ.

ΨΑΛ-

## ΨΑΛΜΟΣ ΙΕ.

Ὑπόθεσις.

εἰκόνα τῆς ὁσίης ἡμῖν περικαλλέα πάσης,
τῷδε διέγραψεν θεῖος ἐν ᾄσματ' ἀνήρ.
πρῶτα θεὸν τιμᾶν, θεραπευέμεναί τε κελεύων,
εἶτα κακῶς ἔρδειν οὐδένα, ἠὲ λέγειν.

Τίς ζαθέοιο τεοῦ σκηνώματος ὦ θεὸς ἔσται,
τίς σέθεν ἐνναέτης ἔσσεθ' ἁγίοιο ὄρευς;
ὃς βίον ἄψεκτον διάγων δίχ' ὑπερβασιάων,
σύμφρων ἰθείῃ ἔρδει ἅπαντα δίκῃ.
μήτ' οὖν μοῦν βάζει, κακὰ δὲ φρεσὶ βυσσοδομεύει,
ἀλλ' ἔτυμ' ἐκ κραδίης γῆρυν ὄρουσαν ἵει.
μήτε ἑῇ γλώσσῃ δικασύρει ἐπεσβόλῳ ἄλλον,
μήτε κακορραφίῃ τὸν πέλας ὄλλυσ' ἑῇ.
μήθ' ἑταρόν τισι λοιδορίαις ἑὸν ἄνδρα βλάπτει,
μήθ' ὤρην ἀνδρῶν τῶν ἀσεβῶν τιν' ἔχει.
τοὺς δὲ θεοῦ τίει τελέθοντας λάτριας, ἐσθλούς,
πάντα τ', ὄμοσσεν ἑὸν τῷ πέλας ὅσσα, ποιεῖ.
μήτε τόκῳ τιν' ἔπι, χρήζουσι χρήματα κιχρᾷ,
μήτ' ἐπ' ἀθώῳ, ἑοῖ λαμβάνει εἴ τι δοθῇ.
ᾧ τινι ἀνθρώπων ταῦτ' ἐν φρεσὶν ἀνδάνει ἔρδειν,
οὗτος ἐν εὐτυχίῃ ζήσετ' ἄσειστος ἀεί.

## ΨΑΛΜΟΣ Ιϛ.

Ὑπόθεσις.

Νικητὴν θανάτου, νοστησέμεν εἰς βίον αὖθις

υἷα

ἦ' ατὸν ἀενάου χριστὸν ἐόντα θεοῦ
καὶ τὴν Μωσῆος τοῦ νομοθέταο λατρείην
ληξέμεναι, σαφέως ταῦτα πιφαύσκει ἔπη.
Φρουρεῖον οὐδὲν ἐμοῦ, μηδέν μου ῥῦμα λαχόντος
πλὴν σεο, ὦ πάντων δημιουργὲ θεός:
σῶζε πολύτλητον τόν σοί με πεποιθότα μούνῳ,
τήρει ἔμ' ἐν κάρτει ἐλπίδ' ἔχοντα τεῷ.
τοῖον γάρ σε ἔπος ποτ' ἐμὸν πρὸς κύριον εἶπον,
ἦτοι μοῦνος ἐμὸς κύριος εἶ σὺ θεός.
κἀγὼ παντλήμων σέθεν εἵνεκ' ὀϊζύας αἰνάς,
ἀργαλέους τε φόβω, παντοδαποὺς τε πόνους.
τοῖσδε μέγ' ὠφελέων ἁγίους τοὺς ζῶντας ἐπ' αἴης,
τούς τε ἀριπρεπέας τ', ἐκπρεπέας τε βροτῶν.
οἷς ἐνὶ συνδοκέω, οἷς τέρπομαι ἔξοχα χαίρων,
οἵ τε γάνος κραδίης, χ' ἵμερός εἰσιν ἐμῆς.
αὐτὰρ οἳ αἰψηροῖς βαίνουσι μετ' ἴχνια ταρσοῖς,
ἄλλου μὴ ὄντος, πλασσομένου ἢ θεοῦ:
ἄλγεα τλήσουσιν ταλαπείριοι ἄλλα ἐπ' ἄλλοις,
δαινύμεν' ἀλλήκτοις σφῶν στοναχῇσι κέαρ.
οὐ πείσω τὰ βοῶν σπένδουσι μεθ' αἵματος αὐτοί,
οὐ τὸ σφῶν χήσω ἐν στόματ' οὔνομ' ἐμῷ.
ὄλβος ἐμὸς, λάχος οἷος ἐμὸν, πανυπέρτατός ἐστιν
αἴπεος οἰκητὴρ οὐρανίοιο θεός.
χ' ὁ ἀναφαίρετ' ἐμοὶ τὰ κεκληρονόμηκα φυλάττων,
ἐνθακέων ὑπάτῳ κύριός ἐστιν ἕδει.
ὡς ἐθήρα κίχον κτέαν' ὡς ἀγαθ' ἠδὲ καλ' εὗρον,
τιμῆς τε πλείστης ἄξι' ἐόντα λάχη.

ἀμβρο-

ἄμβροτον ἐμμενέως καὶ ἀπαύστως κύριον ὑμνῶ,
    συντυχίην ἀγαθὴν δόντα μοι, ἠδὲ φρόνιν.
πρὸς τούτοις δνοφερὴν διὰ νύκτ' ἐπιβάντα με κοίτης
    παιδεύουσι νεφροὶ σώματος ἔνδοθ' ἐμοῦ.
πάντοτ' ὀπιπτεύω, καὶ πάντοτ' ἐν ὄμμασιν ἴσχω
    κύριον, ἀρχηγὸν, πομπὸν, ἀρηγόν ἐμόν.
κἀμῆς δεξιτερῆς ἑστήκει παρχεδὸν αὐτὸς,
    τῷ με σαφῶς μέλλειν οἶδ' ἀσάλευτον ἔμεν.
χαρμοσύνης τε φίλον πέπλησμαι ἐν ἦτορι θυμὸν,
    ἐν τ' ἀνυπερβλήτοις σοῦ διὰ τέρψεσ' ἄγω.
καὶ ἡ συνελάδοις μάλα κυδαίνουσά σε ὕμνοις
    ἔντοσθεν στόματος γλῶσσ' ἄμ' ἀγάλλετ' ἐμή.
σάρξ τ' ἀμέριμνος ὅλως, ἀμπαύσετ' ἐπ' ἐλπίδ', ἐοῦσα
    ἤδε, κελεύοντος τὴν ἀνὰ σεῖο λάβον.
οὐ γὰρ ἐν οἷς ἀχλὺς νὺξ ἠερόεσσά τε ναίει,
    λείψεαι ἐμεῖο ψυχὴν εἰν ἀΐδαο δόμοις.
οὔτε καταφθίσθαι ὁσίοιο τὸ σῶματεοῖο,
    γῆς ὑπένερθ' ἐάσεις, σητὸς ἐδητὺν ἐόν.
ἀλλά με πρὸς ζωὴν τείνοντα κέλευθα διδάξεις
    ζωὴν οὔτ' ἀρχῆς ἔμμορον, οὔτε πέρως.
σοῦ γὰρ εὐφροσύνη ἀμέγαρτος ἐνώπιον οἰκεῖ,
    ξύν σοι ἐπουρανίους ναιετόωσα δόμους.
καὶ σῆς δεξιτερῆς τερπωλὴ ἐγγὺς ἀτέρμων,
    οἵην μ' εἴληχον λαμπρὸν ἐς αἰὲν ἔχειν.

ΨΑΛ-

## ΨΑΛΜΟΣ ΙΖ.

### Ὑπόθεσις.

αἰσχρόβι ἡδονέων φίλ᾽, ἑτώσιά τ᾽ ἄχθε᾽ ἀφύρης,
τῶν τε θεορρήτων ψευδοδιδάσκαλ᾽ ἐπῶν:
τῶνδε καταράων εἴσ᾽ ἄξιοι, αἰνοτόρων τε,
πάσης ἀσκηταὶ οἱ μοναχοὶ κακίης.

Κλῦθι δικαιοσύνης κινυρὴν πάτερ ἤπιε φωνήν,
καὶ σὰ πρόθυμος ἐμῇ οὔατα πέλαζε βοῇ.
καὶ φίλ᾽ ἐμοὶ φρονέων ταύτην ἐσάκουε προσευχήν,
ἣν νόος, ἣν κραδίη οὐ δολόεσσα φύει.
κρῖνον ἐμεῖο δίκην σάφα τήνδε δίκαζε γινώσκων,
εἴς τε τὸ ἰθὺ ἐὸν καὶ τὸ νόμαιον ὅρα.
ἴστωρ εἶ κραδίης σὺ ἐμῆς, τῶν τ᾽ ἔνδοθι κείνης,
νύκτα δὲ ἀμβροσίην ἐγγὺς ἐμοῦ σὺ πέλῃ.
αἰθομένοιο δίκην δοκίμασσας ἔμ᾽ ἀργυρέοιο,
καὶ καθαρειὸς ἅπας ὡς τὸ πάροιθε φάνην.
καὶ νῦν εὐλαβέως τόδε φράζομ᾽ ἐνὶ φρεσ᾽, ὅπως μὴ
χείλεσ᾽ ὑπερβαίνω τοῦ σέο τέρμα νόμου.
καὶ πάντ᾽ ἐγκαταθεὶς τῷ ἐμῷ τὰ σὰ ῥήματα θυμῷ,
τοῖσδε μόνοις φράττω τοὐμὸν ὅπλοισι δέμας.
ἀνδρομέων ἔργων κατ᾽, ἀρισφαλέεσσιν ἐν οἴμοις
δεινὸς ληιστάων τοὺς καθ᾽ ὁ ἐσμὸς ἔχει.
ἀσφάλισον, καὶ σῶσον ἔμ᾽ ἐν σαῖς ἴχνι᾽ ὁδοῖσι,
ἴχνος ὀλισθαίνῃ τοῦσδ᾽ ἔνι μήκον ἐμόν.
αἰτίζω σὲ βοηθείην θεὸν ἠθάδι φωνῇ,
κλῖνον ἐμῇσι πρόφρων οὖν πρόσεχ᾽ οὔατα λιταῖς.

πυλύκ-

πουλυάγαστα τεῆς ἐλεητύος ὄργματα δεῖξον
    παντόθι, καὶ κόσμῳ δῆλα ποίησον ὅλῳ.
ὦ σωτὴρ τῶν σοὶ πισύνων θεός, ὄφρα τόδ' εἰδῇ
    ὅστις ἐναντίβιος δεξιῇ ἐστὶ τεῇ.
φρούρησαί με τεῷ ἀγαπώμενον ἔξοχα θυμῷ,
    ὀφθαλμοῖο καθὼς αὐγαλέοιο κόρην.
καὶ πτερύγων ὑπένερθε τεῶν σκέπασαί με, ἑκηλῶς
    ὕπνου ἄνευ πάντων δῶρον ἑλόντα κακῶν.
κεῦσον ἐμέ, σχὲς ὕπερθεν ἐμοῦ σὰς ὡς πτερὰ χεῖρας,
    ἄμμορος εὐσεβίης ὄφρ' ἐμ' ἐνοχλεῖ ἀνήρ.
ὄφρα τέ οἱ ἐχθροὶ λοχόωσιν ἔνθα καὶ ἔνθα
    ὥς τιν', ἐμὴν ψυχήν, θῆρα μεμῶτες ἑλεῖν.
τῶν παχέων συμπνειόντων, καὶ ὁμοφρονεόντων,
    ὧν τε βίη μεγάλη, ὧν τε μέγ' ἐστὶ κράτος.
καὶ μέγ' ἀπειλούντων στομάτεσσιν ὑπερφιάλοισι
    πολλά τε βαζόντων τοῖς δίχα κόμψα φόβου.
ὅπποι ἂν στείχω, στεφανηδὸν ἐμ' ἀμφιθέοντες,
    εἶθαρ ἐν ἡμετέραις δῆλοι ἔασιν ὁδοῖς.
ὄμμασ' ἅπαντα πέριξ σφετέροις σκοπέουσιν, ἀθροῦν-
    ὄφρα με κρημνίζειν σφῇ κε δύναιντο βίῃ. (τες
ἠΰτε λὶς πεινῶν ὀρεσίτροφος ἠϋγένειος,
    καὶ λείην κενεῆς γαστρὸς ἔδεσμα ποθῶν.
ἢ ὡς λαθραίοις ἴζων τις σκύμνος ἐν ἄντροις,
    πᾶν τὸ παρερχόμενον θηρίον ὥς κεν ἕλῃ.
ὄρσεο, χ' ὁρμηθεὶς στρεπτήν οἱ ἀφαίρεε νίκην,
    χ' ἡττηθέντ' αὐτὸν μέτρει' ἔθιζε φρονεῖν.
ῥύνυσο, καὶ ψυχὴν ἀπ' ἐμὴν ἀβροτήμονος ἀνδρός,

φασγανῳ ἀμφήκει τῷ σέθεν ἄφνυσ' ἐλῶν.
ζωῇ ἐνὶ σφετέρῃ τοῖς χρήματα πασσαμένοισι,
θησαυρῶν πληροῖς σπλάγχν' ἀμέγαρτα θεῶν.
χ' οἱ πολύπαιδες ὁμῶ, καὶ ἀγλαόπαιδες ἐόντες,
λείπουσι σφετέροις λείψανα πολλὰ γόνοις.
ἀλλὰ δικαιοσύνης ἐγὼ ἠΰτε πλούτου ἀφνειὸς,
τηλεφανὲς μέλλω σὸν τὸ πρόσωπον ὁρᾶν.
σόν τε ἀκοιμήτοις τὤγαλμα ἐν ὄμμασιν ἴσχειν,
καὶ πάντων ἀγαθῶν ἔμπλεος ἔμμεν ἀεί.

## ΨΑΛΜΟΣ ΙΗ.

### Υπόθεσις.

Θύειν σῶστρα θεῷ μεμαὼς, τῷ ὕβριος ἐχθρῶν,
τοῦτε Σαοῦλ δεινῆς, ἐκ μιν ἑλόντι βίης:
τοῖον ὁ Ισαΐδης μέλισμα μελιπνόῳ ὄσσῃ
ἦσεν, καὶ χαρίτων οἱ ἀπέτισε χρέος.

Ἔσσεαι αἰὲν ἐμῷ πεφιλημένος ἔξοχα θυμῷ,
ὦ τέκτον πάντων, ἠδὲ κυβερνὲ θεός.
ἀδρανὲ ἠγαθέῃ ὅς ἐμ' αὖ περὶ ἰσχύϊ βάλλεις,
ὅς σώζουσα πέτρη ἐσσί με ἠλίβατος.
ἀκρόπολίς τ' ἄρ ἐμὴ, πύργος τε μάλ' ὑψιθέμεθλος,
ῥύστης τ' ἐν χαλεποῖς, ἀργαλέοις τε πόνοις.
ὦ θεὸς, ὦ φίλ' ἐπίῤῥοθ' ἐμοῦ, τῷ ἐν ἐλπίδα μούνῳ
ἄσμεν' ἅπασαν ἐμῆς τῆς βιοτῆτος ἔθην.
ὅς τε καὶ ἀσπὶς ἐμοὶ, καὶ δὴ σωτήριον, αἰεὶ
εἶ κέρας, ὀῤῥωδεῖν οὐδὲν ἐμ' ἐχθρὸν ἐῶν.
ἀγκαλέσω κλείων τὸν κύριον, ἀγκαλέσας τε

οὐκέτι ἐχθοδοποῖσ' ἔσομ' ἐν ἀνδράσ' ἕλωρ.
δέσματα γὰρ θανάτου βροτολοιγοῦ ἔμ' ἀρραγῆ ἔχεν,
τῆς στυγὸς ὁ ζοφερός τ' ἐκ με ταράξε ῥόος.
τοῦτ' ἀϊδωνῆος μοιρῶν τε πέδαι με πέδησαν,
καὶ τὸ μόροιο ἐμὴν ἄπαρτον ἔδησε δέρην.
λυπρὸν ἀνιηροῖς δ' ἀχέεσσι κινώμενος ἦτορ,
πενθάδα παντάρχον πρὸς θεὸν ὄσσαν ἕω.
καὶ μετὰ θεσπεσίης αὐτὸν λιτανεύω αὐτῆς,
κἀυτὸς ἄφαρ φωνῆς ῥήματα πεύθετ' ἐμῆς.
ὑψόθεν αὐγαλέου νηοῦ ἄπο, ἦχι θαάσσων
πρόφρων οὔας ἐμὴν δέχνυθ' ἑοῖσι βοήν.
ἔσθ' ὅτε πιμπλάμενος μένεος φρένας ἀμφιμελαίνας
δεινοῦ, ἀνῆψε χολῆς πῦρ ἀΐδηλον ἑῆς.
τουτάκι γαῖα τρομοῦσ' ἡ ἀκίνητός περ ἐσείσθη,
κρηπῖδας βαρῶν τ' ἔλλαβε παλμὸς ὀρῶν.
λυγαῖος καπνὸς ῥινῶν ἄπ' ἐς ὕψος ἀέρθη,
παμφάγον ἐκ χειλῶν πῦρ τε ἂν' αὐτοῦ ἔβη.
ὥστε ἀναφθῆναι, μαλερῇ τε φλόγ' ἄνθρακας εὐθὺς
αὐτόθεν αἰθομένους, ὡς ξύλον αὖον ἑλεῖν.
κλινομένου χθαμαλὴν κατάϊσσεν ἐς αἰθέρος αἶαν,
καὶ ζόφος αὐτοῦ ἔην πολὺς ἔνερθε ποδοῖιν.
τοῦ τε χερουβ' ἐπιβὰς, πωτώμενος ἔνθα καὶ ἔνθα
φαίνετο, καὶ πτήλων τοῦ ἀνέμου ἐπ' ἐλῶν.
ἡ κλισίη αὐτοῖο πέριξ νεφέεσσι κελαινοῖς
κεύπλετο, καὶ νυχίοις ἐν σκοτόεσσιν ἔην.
αὐτὰρ ὑπ' ἀγλαΐης τῆς κείνου πρόσθεν ὀπωπῶν,
ἄνδιχα τεμνόμενον κραιπνὰ διῆλθε νέφος.

ἦτε χάλαζα πολὺ σμαραγοῦσα ἐν αἰθέρι δίῳ,
κ᾽ ἀστραπὴ αἰθομένας ἀμφιχυθεῖσα φλόγας.
καὶ τότ᾽ ἀπ᾽ οὐρανίης βρόντησεν ὁ κύριος ἕδρης,
ὅν τε κεραυνὸν ὄβραζ᾽ ἧκεν ὁ ὑψόθ᾽ ἐών.
ξύν τε χάλαζαν ἅμα ξυνάμ᾽ ἄνθρακας ἔμπυρον ὄγκον
τῇδε διάττοντας καὶ τάχα τῇδε γέης.
οὐρανόθεν τε βαλὼν ἃ βέλη φθισήνορας ἰοὺς,
φθῖσε πολυσπερέων μυρία φῦλα βροτῶν.
καὶ στεροπῶν πληθὺν πέμψας ἀμέγαρτον, ἐνοίκων
τῆς χθονὸς ἀνθρώπων πᾶν ἐτάραξε γένος.
τηνίκα λαβροτάτους προΐηκαν οἱ οὐρανοὶ ὄμβρους,
γυμνά τε τῆς γαίης θεμέλι᾽ ἔσκεν ὅλης.
δεινῶς γὰρ δείμαινε τεὴν ὦ κύρι᾽ ἐνιπὴν,
καὶ τὴν πνείουσαν σὴν βαρὺ ῥῖνα μένος.
ἔλλαβ᾽, ἑὴν παλάμην ἀπὸ ἀστερόεντος ἰήλας
οὐρανοῦ, ἐκ τ᾽ αἰνῶν εἵλετ᾽ ἔμ᾽ ἶφι ῥόων.
ῥύσατο δυσμενέων ἀπ᾽ ἐμὲ κρατερῶν περ ἐόντων,
καὶ τῶν δυναμένων μεῖζον ἐμεῖο κακῶν.
τῶν θ᾽ ἠτίζησάντων ἐν ὀϊζυΐ ἐσθ᾽ ὅτ᾽ ἔμ᾽ ὄντα,
θάρσος ἐμὸν γεγονὼς κρησφύγετόν τε ἐμόν.
κἀμὲ ἐς εὐρεῖαν ῥυσθέντα μάλ᾽ ἤγαγε χώραν,
καὶ γὰρ ἔμ᾽ εὐφρονέων, καὶ γὰρ ἔμ᾽ ἐστὶ φιλῶν.
καὶ πάλιν εὖ ἔρδει με, ὅτ᾽ αἴσιμα ῥέξα καὶ αὐτὸς,
οὐδ᾽ ἄρ ἐμὴν λυγρῷ χεῖρα μίηνα φόνῳ.
ἐν ζαθέοισιν ἀεὶ τοῦ κυρίου εἶμι κελεύθοις,
οὐδ᾽ ἀσεβής τις ἔω εἰς τὸν ἐμεῖο θεόν.
ὅττι τὰ κέκλετ᾽ ἐμῆς ἰνδάλλεται αἰὲν ὀπωπῆς,

οὔτε ἀπ' ὀφθαλμοῖιν ῥιπτῶ ἃ βούλετ' ἐμοῖιν.
ἀλλὰ ψεκτὸν ἔχων οὐδέν, ζῶ ἐνώπιον αὐτοῦ,
κεὐλαβέως σκοπέω μή με ἁμαρτὰς ἕλῃ.
τῷ με δικαιοσύνης ῥεκτῆρ' ἐπαμείβετ' ἀέθλοις,
ἔμπροσθεν καθαρὰς αὐτοῦ ἔχοντα χέρας.
τῶν ὁσίων ὅσιος μετ', ἀθώων δ' ἔνδον ἀθῷος,
ἀνθρώποις καθαρὸς παρ' καθαροῖσι πέλῃ.
τοῖς στρεβλοῖς δὲ παρὼν στρεβλὸς πάλιν ἐσσὶ καὶ αὐτός,
ἔν τε κακοῖσι κακὸν φαίνεαι ἦθος ἔχων.
καὶ γὰρ λαὸν ὁρῶν σώζεις τὸν ἐόντα ταπεινόν,
τοὺς δὲ ὑπερθύμους ἀπελᾷς σφετέρων ἀφ' ἑδῶν.
καὶ τὸν ἐμὸν λύχνον φωτίζεις ἔμπαλιν ἅψας,
ἔκ τε ἐμῶν σκοτιέων φῶς μέγ' ἐμ' αὖτε ποιεῖς.
σοῦ πομποῖο τυχὼν δηΐους διατμήξομαι ἴλας,
τούς τε ἀρηιφάτους φῶτας, ἰδ' ἀγχεμάχους.
καὶ σοῦ ἐμοὶ χραισμοῦντος ὑπερπηδήσομ' ἐλαφρῶς,
κρήδεμνα πτόλεων μακρά περ εὐκτιμένων.
πάμπαν ἄμεμπτος ἔης ἐν ὁδοῖσιν ὁ κύριός ἐστι,
καὶ πάντ' ἀκραιφνῆ τυγχάνει, ἅττα λέγει.
καὶ σάκος ἀμφίβροτον, χάλκειον, ἅπασι τέτυκται
αὐτὸς ὅδ', εἷς μιν ὅλῃ ἐλπομένοις κραδίῃ.
τίς γὰρ ἄνευτ' ἐκτός τε θεὸς τοῦ κυρίου ἐστί;
πλὴν θεοῦ ἡμετέρου τίς κράτος ἐστὶν ἔχων;
κεῖνος ὅδ' ἐστὶ θεὸς κρατερόν με ὃς ἔξοχα ποιεῖ,
κἀμοὶ ἰθυπόρους ἡγεμονεύει ὁδούς.
οἷά τ' ἔχουσ' ἔλαφοι διδόει μοι γούνατ' ἐλαφρά,
εἰς τε τὰ αἴπη ἐμοὺς τ' ἅμα τίθησι πόδας.

χεῖρα διδάσκει ἐμὴν κρατερῶς τε καὶ ἶφι μάχεσθαι,
καμπύλ' ἐμ' εὐθύξει τόξα βραχίον' ἐλεῖν.
ἀσπίδι μαρνάμενον σωτηρίῳ ἀμφί με βάλλεις,
δεξιτερῆς παρ' ἔχω σῆς, σθένος ὅσσον ἔχω.
ὁσσάκι παιδεύων με κακώσαο, τοσσάκις αὖτις
κλειτὸν ποίησάς μ', ἐκ κακότητος ἑλών.
νέρθεν ἐμοῖν ποιεῖς ὁμαλόν τε πλατύν τε ποδοῖιν
οἶμον, ὅπως στερρῶς μιν κε διέλθω ἰών.
δυσμενέας καταλήψομ' ἐμοὺς μετόπισθε διώξας,
οὔτε πρὶν ἀγκάμψω, σφᾶς ἀνὰ πάντας ἑλεῖν.
πλήξομ' ἀεικελίως χατέοντας κάρτεος αὐτοὺς,
καὶ ταρσοῖν πεσέειν νέρθε βιήσομ' ἐμοῖν.
τύ με στησόμενον θωρήξεις φύλοπιν ἐχθροῖς,
ἀνσταμένους θ', ὑπ' ἐμοί, τοὺς κατ' ἐμεῖο τιθεῖς.
ἀντιβίων σὺ ἐμῶν φοβέεις τε, τρέπεις τε φάλαγγας,
τῶν τε με μισούντων κρείττον' ἔμεν με ποιῇ.
κράζουσιν δὴ ἀτὰρ σωτῆρος ἄμοιροι ἔασι,
λίσσοντ', ἀλλὰ λιτῶν οὐκ ἀΐοντα θεόν.
ὡς ἄνεμος κονίην, σφέας ἔνθα καὶ ἔνθα κεάσω,
χ' ὡς πηλὸν ῥίψω σφᾶς ἄπο, πρόσθε θυρῶν.
ῥύσῃ ἀπ' ἀνθρώπων ἐμὲ νείκεα λυγρὰ φιλούντων,
ἐθνῶν ποιήσεις παντοθρόων με κάρη.
λαὸς ὃν οὐκ ᾔδειν τὸ πάρος, μοι ἴδρα ῥέζων
δουλεύσει, σφετέρῳ δεσπότῃ ἐσσομένῳ.
πειθομένοισί τ' ἐμὰς προσδέξεται οὔασ' ἐφετμὰς,
ψευδομένων παίδων τῶν ἐμοὶ ἀλλοτρίων.
τέκνα κατεσκλήκασ' οὐ γνήσια, ἠύ τε νόσῳ

δμηθ

δμηθέντ', ἐν σφετέραις τ' ἔντρομ' ἔγεντο πέδαις.
ζῇ δ' ἐν αὐγαλέῳ μούναρχος ὁ αἰθέρι ναίων,
ὃς σωτὴρ οἷος, καὶ κράτος ἐστὶν ἐμόν.
δόξαν ἀείμνηστον τῷ πάντ' ἀπὸ φῦλα νέμοιεν,
ἰσχόντων γαίης δῶμαθ' ὑπέρθε βροτῶν.
οὗτος ἐμ' ἐκδικίην, καὶ ἀμύνην ἐγγυαλίζει,
κἀμοὶ ἀναγκάζει ἔθνε' ὑπηκό' ἐμεν.
κἀμὲ ἀπ' ἀνθρώπων τῶν μοι ῥύετ' ἐχθρὰ φρονεόντων,
καὶ πάντων κατ' ἐμοῦ παντόθεν ὀρνυμένων.
τόν τε ταπεινωθέντα πάρος, πάλιν ὑψόσ' ἀείρει,
καὶ μέγαν, ὑβριστέων ἐξ, ἐμὲ ποιεῖ, ἑλών.
τοὔνεκά σοι χαρίτων ἀπὸ χρεῖος ἐν ἔθνεσι δώσω,
οὐνόματ' ἀείδων ἄσματα καλὰ τεῷ.
ὃς σωτηριέων βασιλῆα σὸν ἔμμορον ἐσθλῶν
εἶν' εὐεργετέων νιν τὰ μέγιστα, ποιεῖς.
οἰκτίζεις τε τεὸν χριστὸν παρὰ πάντα Δαβίδην
ἤματα, καὶ παῖδας, καὐτοῦ ὅλον τὸ γένος.

## ΨΑΛΜΟΣ ΙΘ.

### Ὑπόθεσις.

Ἡ τῆς χριστοσεβοῦς διδαχῆς θεόπνευστος αὐτή,
ἣ θεσ' ἐνηχήτει κόσμου ἅπασιν ὅλου.
οὐρανίων αὐτῶν κινεόντων γῆρυν ἰόντων,
τῶν τε πανημερίων, παννυχίων τε χρόνων.

ΟΣσατὶ ἀρετῇ δόξῃ τε κεκασμένος εἴη,
τεχνήμων κόσμου, χ' ὑψιμέδων ὁ θεός.
αὐταὶ αἱ οὐρανίαι, αἳ τῇ χθονὶ ἀμφιπέχωνται,

οἷαί τ' ἀμφαδίην ἀψῖδες εἰσὶν ἐρεῖν.
δόξαν ἐνισποῦσαι σφετέρου περικαλλέα κτίστου,
ἔργα τε δαιδαλέων αὐτοῦ ἀγαστὰ χερῶν.
δῆλα δὲ νωλεμέως τάδε καὶ νυχθήμερόν εἰσι
πᾶσιν ὁμῶς, αἴης τοῖς ναέτῃσι βροτοῖς.
ἀγγέλλει γὰρ ἐκεῖν' ἐπεὶ ἡ τὰ πρῶτα φαάνθη
ὠκεανοῦ προλιποῦσ' ἠριγένεια ῥόον.
καὶ τὸ ἐφεσπόμενον τῇ ἠοῖ ἐπιχερῶ ἦμαρ,
χ' ἕσπερος, ἢ ἑξῆς τοῦδ' ἵνα νὺξ κεν ἴδῃ.
καὶ τῶν συνεχέως ὡρῶν περιερχομενάων,
καλὰ φιλανθρώπου ἔργα φάτ' εἰσὶ θεοῦ.
οὐδένες ἀντολίην, ἢ πρὸς ζόφον οἰκία θέντες,
ἠὲ πρὸς βορέην ζαέα, ἠὲ νότον:
οὐδένες εἰσὶν ὅλως βροτοὶ, ἀλλόθροοί περ ἐόντες,
τῆσδ' ἀΐδρεις φήμης, τῆσδε ἄπυστοι ἰῆς.
οὐδεμίη τ' ἐνοπὴ, πλείστων περ ἂν αἶαν ἐουσῶν,
ἐστὶν ὅλην, ταύτης ἄμμορος ἀγγελίης.
τόσσα διηγοῦνται τὸν τοῦ θεοῦ οὐρανοὶ αἶνον,
τόσσον σφῶν ἦχον πάντοθ' ἵησι βοή.
εἰς χθόνα σύμπασαν σφείων ἐκτείνεθ' ὁ γνώμων,
σφῶν ῥῆσις κόσμου πείρατ' ἐποίχεθ' ὅλου.
οἷσιν ἐνὶ σκηνὴν χρυσῷ περικαλλέα φοίβῳ
θῆκεν, μαρμαρυγῇ παμφανόωντα δόμον.
ἐξ οὗ, ἔθ' ἀστράπτων ῥέθος ἠΰτε νυμφίος ἠΰς,
ἐκ πάστου νύμφης ἀρτιγάμοιο μολεῖ.
ᾗσιν ἀγαλλόμενος μεγάθυμος ἅτ' ἐν φρεσὶν ἥρως,
καρπαλίμως οὐδὸν ποσσί τιν' οἷσι δραμεῖν.

τῇ μὲν

τῇ μὲν ἀπ' ὠκεανοῦ ποταμοῖο βαθυῤῥόου ἀνίσχων,
 τῇ δὲ πάλιν κύανον τοῦδ' ὑπὸ λαῖτμα δύων.
καὶ δὴ ἀπ' ἐσχατίεων ὡς βαλβίδος αἰθέρος ἄκρου,
 αὖθις ἐπ' ἐσχατιὰς τέρμ' ἅτε κείνου ἰών.
πάντα καταυγάζων τὰ ἐπὶ χθονὶ, πάντα τε καίων,
 πᾶσι φίλον τε σέλας θερμασίην τε φέρων.
καὶ γὰρ τὴν αὐτοῦ δύναμιν δύνατ' οὐδὲν ἀλύξαι,
 καὶ γὰρ ἐκείνου ἔφυ τὰς φλόγας οὔτι λαθεῖν.
θεσμὸς ἀκίβδηλος τοῦ κυρίου, ἰθὺς, ἄχραντος,
 καὶ μομφῆς πέλεται ἄξιος οὐδεμιῆς.
θυμὸν ἀναψύχων, συνάζων πᾶσαν ἀνίην,
 ἣ θνητὸς ψυχὴν τίς κεν ὀρέχθη ἐήν.
μαρτυρίη θείη τοῦ κυρίου ἔμπεδός ἐστι,
 δοῦσ' ἀσόφοις σοφίην, δοῦσ' ἀφρόνεσσι φρόνιν.
εὐθέες εἰσὶ θεοῦ χρησμοὶ, καὶ εὐθέες ὄντες,
 ἐν φρέσ' ἰαίνουσιν κῆρ βροτέησιν ἅπαν.
αἰγλήεντα θεοῦ θεσπίσματα πάντα τέτυκται,
 ὄμμασι τῶν ἀλαῶν φῶς παρέχοντα βροτῶν.
καὶ τὸ θεὸν πεφοβῆσθ' ἁγνόν τι χρῆμα μάλ' ἐστὶ,
 εἴς τε χρόνον μίμνει μηδὲν ἔχοντα τέλος.
χ' ὅσσα δίκαια θεὸς κρίνει, τάδ' ἐτήτυμ', ἰδ' ἐσθλὰ,
 τῆς τε δικαιοσύνης ἔμμορ' ἅπαντα πέλει.
φέρτερα ἰμερτοῦ, καὶ τιμηέστερα χρυσοῦ,
 φέρτερα μαργαριτῶν τοὺς κεν ὁ Ἰνδὸς ἔχοι.
καὶ τοῦ ὀβρύζου χρυσοῦ περ ἀπέφθου ἐόντος,
 ἠδ' ὡραιοτάτου πρὸς τὸ ἐς αὐτὰ ἰδεῖν.
χ' ὑβλαίου μέλιτος βροτέων γλυκερώτερα λαιμῷ,

καὶ τοῦ ἡδυτάτου κηρίου ἡδύτερα.
κἀγὼ σὸς γενόμην δοῦλος διὰ τῶνδε νοήμων,
πάνθ' ὁ φύλαξ αὐτῶν ἆθλα μέγιστα φορεῖ.
τίς κεν ἴδμῃ παρβὰς ὁσάκις πῆ γίγνετ' ἀλιτρός:
λῦσ' ἐμ' ἁμαρτοσυνῶν, ὧν δύναμ' οὔ τιν' ὁρᾶν.
κἀμὲ τεὸν δοῦλον σῶσον, μὴ ἀλαζονίης τις
τὴν φρένα πλεῖος, ἐμοῦ κοιρανέῃ κεν, ἐῶν.
οὕτω σοῦ καθαρὸς, σοῦ ἐναντίον ἔσσομ' ἀθῶος,
παμμεγάλης γεγονὼς ἐκτὸς ἀλιτροσύνης.
ὅσσα λάλησεν ἐμὸν, καὶ ὅσσ' ἐς ἔπειτα λαλήσει
τὸ στόμα, σοὶ μούνῳ κηρόθι εὔχομ' ἀδεῖν.
εἴη σοὶ ἀρετὸν, δεκτόν σου πρόσθε γένοιτο,
πᾶν τὸ ἐμὴ κραδίη ἐν πραπίδεσσι φρονεῖ.
ὦ θεὸς, ὦ στιβαρὸν κακότητος ἐμ' ἕρκος ἀπάσης,
ὦ ῥύστα ψυχῆς καὶ μοῦνε σῶτερ ἐμῆς.

## ΨΑΛΜΟΣ Κ.

### Ὑπόθεσις.

Τοὺς ὑπὲρ ἀρχόντων τοῖς ἀρχομένοισιν ἔοικε,
πάντων ἱκνεῖσθαι τὸν κρατέοντα, θεόν.
ὄππως τῶν κοινῶν σφισὶν ἡνιοχοῦσιν ἀρήγῃ,
καὶ κακὸν δυσμενίῃ πότμον ἀπείργῃ ἑῇ.

Ἠνίκ' ἐποιχόμεναί σε δϊζύες ἄλλαι ἐπ' ἄλλαις
τεύξουσ', ἀργαλέης ἥττον' ἐόντα τύχης:
τηνίκα λισσομένου σέθ' ὁ κύριος ἄσμεν' ἀκούοι,
τηνίκ' ἄρ Ἰσακίδου σοῦ ὕπερ ἀμύν' ὁ θεός.
ἀλλὰ βοηθείην ἁγίης σοὶ ἰάλλοι ἀφ' ἕδρης,

ἐκ τοῦ

ἔκ τε Σιῶνος ἑοῦ ἀντιλάβοι σέθ' ὄρους.
μνησθείη θυέων πάντων σέο, ὅσσ' οἱ ὄρεξας,
καὶ τὰ σὰ πίον' ἑοῖ εἶν ὁλόκαυστα δοκοῖ.
δώῃ σοὶ ὅσσων ἡ σὴ κραδίη ἐπιθυμεῖ,
δώῃ σοὶ ἐσθλὴν βουλεύεσθ' ἅπασι τεοῖς.
σοὶ ἐπ' ἀγαλλόμενοι σωτῆρι ὀβριμοσθενεῖ ἡμῶν,
καὶ μὲν σοὶ νικῶντες κύριε τυγχάνομεν.
κύριος εὐχωλὰς προσδεξάμενος σέθ' ἁπάσας,
ὅσσα μενοινήσεις πληροῖ ἅπαντα τεΐν.
νῦν ἔγνων χαλεπαῖς ἐνὶ θλίψεσιν ὅττ' ἐπαρωγὸς
κύριος ᾧ χριστῷ οὔποτε παύετ' ἐών.
καί μιν ἐπουρανίῳ ἀίει ἐνὶ ἥμενος αἴπει,
καὶ ῥώμῃ σώζει δεξιτερῆς νιν ἑῆς.
ἄλλοι μὲν πίσυνοι ἵπποις τε δίφροις τε μάχονται,
κυριακοῦ δ' ἡμεῖς μνήμονες οὐνόματος.
καὐτοὶ μὲν πεδηθεῖς προπεσόντες ἔραζε πέφανται,
ἡμεῖς δ' αὖ ὀρθοὶ σῷοι ἔθ' ἱστάμεθα.
ἐλθὲ, βοηθήσων φίλε κύριε, ὦ ἄνα ἐλθὼν
εὔνοος ἡμετέρας ὠσὶ δέδεξο λιτάς.

## ΨΑΛΜΟΣ ΚΑ.

### Ὑπόθεσις.

Οἰσέμεναι σκῆπτρον βασιλήϊον ἤματα πάντα,
ἠγαθέης χριστὸν κῦδος ἔχοντα βίης·
λυγρά τε πείσεσθαι τοὺς κείνου ἀεικέλι' ἐχθροὺς,
τοῖσδε σαφηνίζει ἔνθεος ᾄσμασ' ἀνήρ.

Κύριε σῆς ἀρετῆς μέγ' ὀνήμενος ἔξοχα χαίρει,

σοὶ

σοὶ σωτῆρ' ὦναξ κάρτ' ἐπαγάλλεθ' ἑῷ.
πάντων ὅσσα ποθεῖ μιν ἐπήβολον ἔμμεναι ἔρδεις,
πάνθ' ἑοὶ αἰτίζει χείλεσ' ὅσ' οἷσι δίδοις.
καί μιν προφθάσας σῆς εὐλογίησιν ὀφέλλεις,
χρυσοῖς τ' ἀμφιδέεις οἱ στεφάνοισι κάρη.
δηναιὴν ζωὴν καὶ ἤματα πολλά σε αἰτεῖ,
ἤμαθ' οἱ ἀϊδίου πολλὰ βίοιο δίδως.
εὔτιμος γίνεταί σε ἀοσσητῆρα κιχήτας,
καὶ μεγαλοπρεπέως σοῦ δι' ἕκητι ἄγει.
καὶ δὴ ἐς εὐλογίην τιθέεις μιν, ἄτερμον', ἄληκτον,
ὄψιν ἰαινόμενον τὴν σέθ' ἐς αἰὲν ἰδεῖν.
ὅττι πεποιθήσας ἐλεήμονι κυρίῳ ὦναξ,
τοῦδε διαμπερέως ἔσσεθ' ἕκητι μόνων.
σὴ χεὶρ εὑρήσει πάντας τεὴν ἐχθρὰ φρονοῦντας,
τῶν τε σὲ μισούντων δύσθεα φῦλα βροτῶν.
καὶ σφᾶς ὡς ἰπνὸν μεστὸν πυρὸς ἔνδοθι θήσεις,
ἤματι τῷ ἄψεις σὸν φλογόεντα χόλον.
αὐτὸς ἑοὺς ὀλέσει δεινῶς κεχολωμένος ἐχθροὺς
κύριος, ὃς μαλερὸν πῦρ κατὰ τοῦσδε πιών.
γῆς ἄπο αἱρήσεις φθίσας τὸν καρπὸν ἐκείνων,
κοὐδέν σφιν λείψεις ἐν μερόπεσσι τέκος.
καὶ γὰρ βούλευσαν κακὰ μέν σοι ἐπίφρονι θυμῷ
πόλλ', αὐτὰρ μηδὲν σφῶν ἐδυνάσαντο τελεῖν.
ἄχθεσι ποιήσεις ὦμον βεβαρημένον αὐτοὺς,
σφᾶς ἔπ' ἀκοντίσσεις αὖ τὰ τιτυσκόμενος.
ἔγρεο σῇ πάντων κρατεούσῃ χρώμενος ἀλκῇ
κύριε, καὶ ἀρετῆς ψάλλομεν ἔργα τεῆς.

## ΨΑΛΜΟΣ ΚΒ.

### Ὑπόθεσις.

ὡς ὁρόων πάσχοντα θεὸν τὰ τραύματα κείνου,
 καὶ δάκρυ᾽, ὁ ψάλτης, καὶ τὸ ὄνειδος ὁρεῖ.
ὅστις ἔπη δύναται ἀναγνῶναι ἀδακρυτὶ ταῦτα,
 ἐν πραπίδεσσι κέαρ λάϊνον ἧσιν ἔχει.

Ὦ Θεός, ὦ ψυχῆς μελέης μου ἔρεισμα καὶ ἐλπίς,
 ὦ κρατερὲ ζωῆς καὶ φίλε σῶτερ ἐμῆς.
ὦ θεὸς ἐν τόσσαις τί με τὸν δύστηνον ἀνίαις,
 τί προλίπες δεινοῖς τειρόμενόν με κακοῖς;
ὡς ἀμελῶς πάντως μου ἔχεις, καὶ μηδὲν ἀκούεις
 καίπερ κλαίοντος, καὶ περ ὀδυρομένου.
ἦρι μὲν ἀρξάμενος μέχρι νυκτὸς ὁσημέρ᾽ ἐρεμνῆς,
 κράζω, σοῖς κραυγῆς δ᾽ οὔασιν οὔ τι μέλει.
καὶ πάλιν ὀρφναίην διὰ ἐγρήσσων νύκτ᾽ ἐλεεινῶς,
 καὶ τῇ φωνῇ ἐμὸν, κὰμ φρεσὶ μύρομ᾽ ἄχος.
αὐτὰρ ὅμως ἅγιος σὺ θεός, καὶ ἀληθινὸς ἐσσί,
 κὰμ Ἰσραῆλος δόξαν ἐπαίνῳ ἔχεις. (τρες,
ἄς σε θέσαν σφετέρην τὸ πάλ᾽ ἡμετέρ᾽ ἐλπίδα πά-
 οὔτε βοηθείης ἐλπὶς ἔρημος ἔην.
κάρτα πιεζόμενοί σ᾽ ἐπ᾽ ἀμηχανίῃσι κάλεσσαν,
 οὔτ᾽ ἐλεημοσύνης ὑστερέοντο τεῆς.
σῇ χάριτ᾽ ἐλπόμενοι ζωὴν ἐπέτρεψαν ἑαυτῶν,
 οὔτε κατῄσχυνεν πιστοσύνη τιν᾽ ἑή.
αὐτὰρ ἐγὼ σκώληξ χάμ᾽ ἑῇ ἐπὶ γαστέρι ἕρπων,
 οὐ ῥά τις αὐδήεις, ὡς πάρος, εἰμὶ βροτός.

πάγκοινον πάντων μερόπων ἄγος, αἶσχος, ὄνειδος,
ξυνὸς θ᾽ ὁπλοτέροις, γηραλέοις τε γέλως.
καὶ οἵ ἐμ᾽ ὀσσόμενοι ἄμυδις μεγάλοι τε μικροί τε,
πάντες ἀποτμοτάτῳ ἐγγελόωσιν ἐμοί.
οὐχ ἅλις, ἀλλά χ᾽ ὕπερ τὰ κεφηνότα χείλεα γλώσσας,
σειομένης δεινῶς, ἐκπροφέρουσι κάρης.
ὡς δ᾽ αὐτῶν τις ἔειπ᾽ εἰς πλησίον ἄλλον ἀθρήσας,
κυρίῳ εἰ δοκέει νυνί οἱ, ἐγγὺς ἴτω.
καὶ τῷ δ᾽ κεν γοερῇ φωνῇ ἀγγέλλοι ὀϊζύν,
ὄφρα μιν ἐξ αὐτῆς ᾗ χερὶ σώζῃ ἑλών.
εἰ τόσα τὸν πάντων μιν ἀκιδνότατόν περ, ἐκεῖνος
ἀνθρώπων θνητῶν κήδεται ἠδὲ φιλεῖ.
ἀλλὰ φίλης σὺ ὅμως μ᾽ ἐκ νηδύος εἵλεο μητρὸς,
εἴς τε σὲ θηλάζων, ἐλπίδα, μαζὸν, ἔθην.
εἴς τε σ᾽ ἀνερρίφθην ὡς πρῶτον ἐς αἶαν ἐτέχθην,
αἰγλῆεν δέρκων ἠελίοιο φόως.
καὶ σὺ θεὸς, μοῦνος θεὸς ἐσσί μου, οὐδέ τιν᾽ ἄλλον
σεῖο βοηθὸν ἐμοὶ εὔχομ᾽ ἀπευκτὸς ἔμεν.
μὴ ἀποχωρήσαις, μὴ ἀποσταίης ἀπ᾽ ἐμεῖο
τηλόσε νῦν, ὅτ᾽ ἐμοῦ ἐγγύθι θλῖψις ἔβη.
καὶ μὸν γυιοβόροι κατὰ θυμὸν ἔδουσι μέριμναι,
καὶ μηδεὶς σκέδασιν τῶνδε πάρεσθ᾽ ὁ ποιῶν.
κυκλώσαντο πέριξ με πέλωροι καὶ εὐρυμέτωποι
ταῦροι, καὶ λιπαροὶ ζατρεφέες τε βόες.
οἴγουσιν τ᾽ ἐπ᾽ ἐμὲ στόματ᾽ ὄντα πέλωρα καὶ αὐτὰ,
ὥς ῥά τις ὠμηστὴς βρυχαλέος τε λέων.
ὡς ὕδατ᾽ ἐξεχύθην, καὶ νῦν ῥέω ἔνθα καὶ ἔνθα,

τῶν τὸ

τῶν τε ἐμῶν ὀστῶν ἅμμαθ᾽ ἅπαντα λύθη.
ὡς πυρὶ ἀκαμάτῳ μαλακὸς κατατήκεθ᾽ ὁ κηρὸς,
ὣς κατ᾽ ἐμὸν τήχθη ἐν πραπίδεσσι κέαρ.
χ᾽ ὡς ἐξηράνθην τὸ μένος, καὶ ἰσχὺν ἅπασαν,
ὀστρακὸν αἰγιαλῷ ὡς ἐνὶ κεῖται ἐόν.
διψαλέῳ προσκολλᾶται τῷ γλῶσσα λάρυγγι,
καὶ κατ᾽ ἐμὲ κρύπτεις τῇ θανάτοιο κόνει.
ἀμφὶ γὰρ ἴσχουσίν με κύνες πόλλ᾽ ὑλακόμωροι,
πᾶς γὰρ ἔμ᾽ ὑβρίζων ἀμφὶ πονηρὸς ἔχει.
ἀμφοτέρας παλάμας δι᾽ ἔμ᾽ ὠρύξαντο σιδήρῳ,
ἀμφοτέρους δι᾽ ἐμοὶ νύξε τρύπημα πόδας.
πάντα δυνηθείην κε τάλας τἄμ᾽ ὀστέ᾽ ἀριθμεῖν,
σφὶν δὲ τόδ᾽ ὀσσομένοις ἡδὺ θέημα πέλει.
μοιρήσανθ᾽ αὐτοῖς τὰ ἐμ᾽ εἵματα ὥς τινα λείην,
καὶ ὑπὲρ ἀμπεχόνης λαχμὸν ἔηκαν ἐμῆς.
ἀλλὰ σὺ ὀτρύνης μοι φίλτατε κύρει ἀρωγὴν,
μήτ᾽ ἀπ᾽ ἐμεῖο μακρὰν σοῦ θεράποντος ἔης.
μὴ θανατωθῆναι ζωήν μου νηλέϊ χαλκῷ,
μὴ ψυχὴν ἐάσῃς τοῖς κυσὶν ἔμμεν᾽ ἕλωρ.
ῥῦσον ἀπὸ στόματός μ᾽ ὠρυομένοιο λέοντος,
μήτε ὁ μουνοκέρως θὴρ κέραθ᾽ ὧ με κανῇ.
δῆλον ποιήσω σὸν ἐμοῖσι τὸ οὔνομ᾽ ἀδελφοῖς,
ἐν τε μέσῃς ὕμνους σοὶ ἀλίνῃσιν ἐρῶ.
κλείετε φῦλα βροτῶν θεὸν ὅσσα φοβεῖσθέ μιν αἰνοῖς,
πᾶν Ἰακωβογενὲς σπέρμα γέραιρε θεόν.
μήτ᾽ ἂρ ὀπιζόμενος παύοιτό μιν, ἁζόμενός τε,
τοῦ Ἰσραῆλος πᾶς τις ὅς ἐστι γένος.

οὐ γὰρ

οὐ γὰρ ἀμηχανίην ἀθέριξε χατοῦντος ἀρωγῆς,
 οὔτε ἀπ' ὄμμα κακῶς στρέψεν ἔχοντος ἑόν.
οὔθ' ὡς κωφὸς ἐὼν λυπρὰς ἀθέτησε δεήσεις
 τὰς τοῦδ' ἀλλ' οἰκτρῆς αἶψ' ἐπάκουσε βοῆς.
σοὶ κλέος ἐν μεγάλῃ ἐκκλησίῃ ἐσθλὸν ἀροῦμαι,
 σὸν πουλὺς δι' ἐμοῦ τοὔνομ' ἵν' ὄχλος ἴδῃ.
τάς τε ἐμὰς εὐχὰς ἀποδώσω τῶνδε παρόντων,
 οἷς ἔνι χ' ἡ ὁσίη, χ' ὡ σέβεν ἐστὶ φόβος.
μέλλουσιν φαγέειν, σφετέρην τε πάσασθαι ἐδωδῆς
 γαστέρ', ἀνιηροὶ πάντες, ἰδ' οὐτιδανοί.
καὶ οἱ ζητοῦντες τὸν κύριον, ἄσμασιν αὐτὸν
 ᾄσουσ' ἀϊδίου ἤματα πάντα βίου.
ἤματα γὰρ ζωῆς μέλλουσ' ἐς ἄληκτα μετίσχειν,
 ὄντες ἐπουρανίων ἐνναετῆρες ἐδῶν.
οὐδ' ὑπὲρ εὐρεῖαν φήμη πωτωμένη αἶαν,
 κόσμου ἐπ' ἐσχατιάς, καὶ τέραθ' ἵκοι ὅλου.
εἰς τὸν ἄπαντ' ὄντως θεὸν ὄνθ' ἵν' ἐπιστραφῇ ἔθνη,
 ὅσσα πρὸς ἀντολίην, ὅσσα πρὸς ἐστὶ δύσιν.
πρός τε κυνήσωσι ξύμπασαι ἐνώπιον αὐτοῦ
 πρηνέες, αἱ ἐθνῶν παντοδαπῶν πατριαί.
αὐτὸς γὰρ βασιλεύς, αὐτὸς γὰρ κύριός ἐστι,
 ἔθνεσι σημαίνων, ἔθνεσι κοιρανέων.
πλούσιοι, ἐνναέται πιείρης πίονες αἴης,
 καὶ σφετέρῃ πίσυνοι οἱ μεγάλοι δυνάμει:
τοῦ παραλήψεσθαι μέλλουσιν εὔφρονα βρῶσιν,
 πρός τε κυνῆσ' ἐκ τῆς βρώσιος ἔντες ὅρον.
οἵ τε χαμ' ἐν κονίῃ ῥυπαροὶ γῆς κείμεν' ἀν' οὖδας,

ὧν τ' ὀλίγον δειλαὶ θυμὸν ἔχουσι φρένες.
ἐσσομένου γενεή τις οἱ ἐκγεγαῦα λατρεύσει
σπέρματος, ἀενάου ἴδρις ἐοῦσα θεοῦ.
καὶ παίδων παῖδες διδαχῆς εἰδήμονες ὀρθῆς
τοῦδε περ, αἰπὺ ἑοὶ πάντες ἀροῦσι κλέος.
αὐτοῦ τ' ἐρχόμενοι ὁμοθυμαδὸν ἀγγελέουσι
τήν τ' ἐλεημοσύνην, τήν τε δικαιοσύνην.
λαῷ τ' ὀψιγόνῳ τόδε δηλώσουσι δίδαγμα,
ὅττι τὸ πᾶν οἱ κυρίου ἔργμα πέλει.

## ΨΑΛΜΟΣ ΚΓ.

### Ὑπόθεσις.

οὐρανοδώρητον φρεσὶν ἧσιν ὃ ῥῆμα κιχήσας,
προσδέετ' οὐδεμιῆς ὀλβιοδαιμονίης;
καὶ γάρ μιν προβάτοιο δίκην θεὸς εἰροπόκοιο,
ἐν λειμῶσι καλοῖς, μυδαλέοις τε νέμει.

Οὐδέποτ' οὐδεμιῆς ἐπιδευὴς ἔσσομ' ἐδωδῆς,
αὐτὸς ἐπεὶ πιστός μοι θεός ἐστι βοτήρ.
ἐν χλοερῷ βόσκων πεδίῳ, κὰμ εὐθαλέεσσι
βοσκήσιν, καὶ πρὸς καλά με νάματ' ἄγων.
κὰμ' ἀναψύχων, ἵνα μοὶ σθένος ἔμπεδον εἴη,
ἠδὲ δικαιοσύνης ἧς μοι ὁδηγὸς ἐών.
καὶ τόδ' ἐὸν διὰ τοὔνομ', ὅπως μιν ἐς ἤματα πάντα
νητρεκέ', ὑμνήσω οἶμον, ἐπ' αὐτὸν ἰών.
τῷ κἂν ἐν σκιεροῖσι τύχω που ἄγκεσ' ὀδύνων,
οὔτι, παρόντος; ὅμως, σεῖο δέδοικα κακόν.
ἡ γὰρ σὴ ῥάβδος, τὸ τεόν τε λαγωβόλον αὐτὸ,

παντόθ' ἐμοὶ πιστὴ ἐσὶ παρηγορέειν.
τεύχει δυσμενέων μοι ἐμῶν προπάροιθε τράπεζαν
πολλοῖς ἀρτύνεις εἴδασι βριθομένην.
ἄφθονά τε ξύνολόν μοι κρᾶς λίπ' ἐλαίῳ ἀλείφεις
ἀκράτου κύαθον πλεῖον ἐμ' ὄντα διδούς.
ὀλβιοδαιμονίη, κ' ἐλεημοσύνη μοὶ ὀπηδεῖν
μέλλετον, ἔμψυχον τοῦτ' ἔσετ' ὄφρα δέμας.
κἀμοὶ ἐνδημήτοις τοῦ κυρίου ἐν μεγάροισι,
οἶκος χ' ἱμερόεις, καὶ φίλος ἔσετ' ἀεί.

## ΨΑΛΜΟΣ ΚΔ.

### Ὑπόθεσις.

αἴδιον τὴν τοῦ χριστοῦ βασιλεῖαν ἔσεσθαι,
κόσμου ἐν εὐρυτάτου πείρασι πᾶσι λέγει.
καὶ τὰς τῆς γαίης βασιλείας εἰκέμεν αὐτῷ,
τὰς σφετέρας κέλεται οἰγέμεναί τε πύλας.

Δεσπόζει γαίης ὁ θεὸς, κὰμ χόρσιν ἐκείνου.
ἐστὶν, ὅσ' οἰκητὴ πανταχῆ αἶα φέρει.
κύριος εὐρείης χθονὸς ἤθεσ' ἅπασιν ἀνάσσει,
ξύνθ' ἅμα πᾶσ', αὐτῶν τοῖς ναέτησι, βροτοῖς.
καὶ γὰρ ἔης αὐτὸς χείρεσσι κτίσατ' ἐκείνην,
ἠδ' ἐπὶ κυανέης θεμελίωσεν ἁλός.
καὶ δὴ καὶ ποταμῶν, πολλῶν τε ὕπερθε ῥεέθρων,
πάντοθι τοῖς σφετέροις ἀμπέδον εἰσὶ πόροι.
τίς τοῦ κυριακοῦ ἀναβήσετ' ἐς οὔρεος αἶπος;
τίς ποσὶν ἐν ἁγίῳ στήσεθ' ἑοῖσι τόπῳ;
ὁ κραδίην καθαρὴν, ὁ λελογχὼς χεῖρας ἀθώους,

χ' ἀ

χ᾽ ὡ μὴ κεινὰ φρονῶν, οὔτ᾽ ἐπίορκος ἐών.
οὗτος ἄρ᾽ εὐλογίης παρὰ κυρίου ἔμμορος ἔσται,
καὶ μέτοχος πάσης ζήσετ᾽ ἀπημοσύνης.
οὗτος ἄρ᾽ ἐκ θεόθεν παρ᾽ ἑοῦ σωτῆρος ἀληθοῦς,
λήψεται ἠγαθέης δῶρα δικαιοσύνης.
τοῦτο γένος μερόπων τελέθει, τὸ ζητέον αὐτὸν,
τὸ ζητοῦν ὄψιν κυδρὲ Ἰάκωβε τεήν.
οἴγετ᾽ ἐς εὐρὺ πύλας, σὰς κόσμε πύλας κρατερὰς οἴγε,
ὄφρα ὁ ἔνδοξος σφᾶς κεν ἐσέλθῃ ἄναξ.
τίς βασιλεύς; τίς ἄναξ οὗτος τέλεθ᾽; ὀβριμοεργὸς
κύριος, ἴφθιμος κύριος ἐν πολέμοις.
αἴρετε κληῖθρα πύλας, στιβαραὶ πύλαι εἴκετε κόσμου,
ὄφρ᾽ ὁ κλέος βασιλεὺς δεῦρό κεν ἔλθῃ ἔχων.
τίς βασιλεὺς κλέος ἐστὶν ἔχων ὅδε; ὁ ἀγχιμαχητῶν
κύριος, σύγκλειαν οὗτος ἄρ᾽ ἔσθ᾽ ὁ λαχών.

## ΨΑΛΜΟΣ ΚΕ.

### Υπόθεσις.

Θυμὸν ὅλον στυγερῶν ὁ πεπλησμένος ἀμπλακιάων,
καὶ δὴ μηδὲν ἑῆς ἐν φρεσ᾽ ἀθῷον ἔχων:
τῇδε δυσωπείτω τὸν παμμεδέοντα, δεήσει
χρώμενος, ἐν πίστει τῇ ἀτινάκτῳ, ἀνήρ.

Κτίστορ τοῦ κόσμου νωμητά τε πανσθενὲς αὐτοῦ,
ἄμβροτ᾽, ἄμοιρ᾽ ἀρχῆς καὶ μονόσεπτε θεός:
σοῦ περὶ κῆρι ἐγὼ πάτερ ἔλδομαι, ἔκ τε ὅλοιο
στήθους, καὶ ψυχῆς τῆσδ᾽ ἐπιθυμῶ ἐμῆς.
ἐλπὶς ἐμὴ σὺ πέλεαι, μὴ ἀτίζεσθαί με ἐῴης,

μήτε γέλωτα βροτοῖς δυσμενέεσσιν ὀφλεῖν.
τῶν γάρ σοι πισύνων καθ' ὅλως αἰσχύνεται οὐδείς,
  τοῖσδ' ἀνόμοις αἶσχος σφῶν πέλεθ' ἡ ματίη.
γνώρισον οἶμον ἐμοὶ σόν κύριε, δεῖξον ἐμοῖσιν
  ὄμμασιν, κὴν στείχεις ποσὶ τεοῖσι τρίβον.
στῆ με σὺ ἀτρεκίῃ ἄγε, σῶζε, δίδασκε, κυβέρνα,
  ἦμαρ γὰρ μοῦνον προσδοκόω σε ἅπαν.
μέμνησ' οἰκτιρμῶν σῶν κύριε τῶν πάλ' ἐόντων,
  οὓς ἀπ' ἔγεντο τεὸν κόσμος ὁ δ' ὄργμα χρόνου.
μὴ μνήμων εἴης τῶνδ', ὅσσα νέος ποτ' ἀπευκὴς
  γινόμενος παρέβην δράμασ' ἐν, ἠὲ λόγοις.
ἀλλ' ἐλεητικὸν ἐμοῦ κατὰ σὴν μιμνήσκεο πολλήν,
  χρηστὸν ἐπεὶ μάλα, καὶ μείλιχον ἦτορ ἔχεις.
οὐ δολόεις, ἀλλ' εὔσπλαγχνος καὶ εὔνοός ἐστι
  κάρθ', ὁ ἐν ἀτρυγέτῳ κύριος αἰθέρ' ἐών.
τοὔνεκα χερσὶν ἄγων ἀλιτήρια φῦλα διδάσκει,
  βιῦχι ἐφ' οὐχ' ἁλιῶν, τὰς λίπον, αὖτε τρίβων.
ὀρθὸν τοῖς αἰνὰς ὀχέουσιν ὀϊζύας οἶμον
  δεικνύει, ἧς τε πέλει πομπὸς ἰδ' ἀρχὸς ὁδοῦ.
πάντα θεοῦ τὰ κέλευθ' ἔλεος, καὶ ἀληθίη ἐστὶ,
  τοῖς τηροῦσ', ἃ ἔφη, καὶ τὰ δι' ἔαδ' ὅτ' ἔθη.
σὸν διὰ τὸ θνητοῖς θρησκευτέον ἀθανάτοις τε
  τοὔνομ', ἐμαῖς πολλαῖς ἵλαθ' ὑπερβασίαις.
τίς πραπίδεσσι βροτῶν ἐνὶ κύριον ἦσι φοβεῖται;
  τίς θεὸν αἰδεῖται; τίς μιν ὀπίζετ' ἀνήρ;
αὐτός οἱ ἡγητὴρ ἐξαιρέτου ἔσσετ' ἀγυιῆς,
  αὐτὸς τῷδε σαφῶς κὴν ἀποδείξεθ' ὁδόν.

οὗτος

οὗτος ἑὴν ψυχὴν κτεάνων κεκορημένος ἔσται,
τοῦδε οἱ ὀψίγονοι πλοῦσι' ἔσονται ἀεί.
τοῖσδε τὰ θεῖα μόνοις μυστήρια δῆλα πέλονται,
οἵτινες ἅζονται, καὶ τρομέουσι θεόν.
τοῖσδε σαφηνίζει διαθήκην αὐτὸς ἑθ' ἱρὴν,
σοῦ, τε θεοπροπίας ἐκ ῥα τίθησιν ἑάς.
ὀφθαλμοῖσιν ἐμοῖς ἐπὶ κύριον αἰὲν ἀθρήσω,
ἐκσπάσει ταρσοὺς ἐκ παγίδων ὃς ἐμούς.
οἴκτειραί με, τεὸν πρὸς ἔμ' ὄμμα τὸ σεῖο τιταίνων.
ὅττι δίχ' ἀνθρώπων ζῶ, πανάποτμος ἐών.
μυρί' ἐμὸν κήδουσι δύαι, καὶ θλίψιες ἦτορ,
ἔξαγε συμφορέων χερσί με σῇσιν ἐμῶν.
λῦσον ὀϊζὺν ἐμὴν, καμάτους μου ἐπίβλεπε πολλούς,
ἵλαον ἦτορ ἐμοῖς πᾶσ' ἀλιτήμασ' ἔχε,
πληθὺν ἀμύθητον τῶν δέρκε μοι ἐχθρὰ φρονούντων,
τῶν ἐμὲ μισούντων προῖκ' ἐς ὅμιλον ὅρα.
τῆς τε ἐμῆς ψυχῆς ῥύστης τε ἅμ' ἴσθι, φύλαξ τε,
μή κε τὸ ἐλπίζειν, σοὶ ἔπ', ἔμ' αἰσχρὸν ἔῃ.
εἴην καὶ ἄκακος, καὶ ἄψεκτος, καὶ ἀμύμων.
ὅττι σοὶ ἐλπωρὴ πᾶσ' ἐνάρηρεν ἐμή.
τοῦ τ' ἰσραῆλος φῦλ' ἐκγεγαῶτα φύλαξον
πάντα, καὶ ἐκ πασῶν ἔξελ' ἀμηχανιῶν.

## ΨΑΛΜΟΣ Κϛ.

### Ὑπόθεσις.

Λοιμῷ ὑποκρίσεως νηκέστῳ ὁ κόσμος ἀάσθη,
ὥστ' ὀλίγους τὸ τρανὲς, καὶ τὸ ἀκραιφνὲς ὁρᾶν·

ὅ,ττι νόμοις ἐνὶ μαρτυρέων τοῖσδ᾽, εὔχετ᾽ ἀλύξαι
    ποινὴν ὀλομένης ψευδοδιδασκαλίης.

Δός με δίκης τυχέειν, κεῖνον φίλε κρίνει ἀθῶον
    ὄντα με, ἐν πάσαις τοῦ βιότοιο τρίβοις.
κύριος ἄλκαρ ἐμόν, καὶ ἔρυμ᾽ ὀχυρώτατόν ἐστι.
    τοὔνεκ᾽ ἔμ᾽ οὐ μέλλει σφάλμα τι γοῦναθ᾽ ἑλεῖν.
ἰχνεύσας δοκίμαζε φρενῶν ἐμὸν ἔνδοθι θυμόν,
    καὶ πυρὶ ὡς βασάνῳ τοὺς μου ἔταζε νεφρούς.
καὶ γὰρ ἐνωπιδίως τὴν σὴν ἐλεητὺν ἐταθρῶ,
    τῆς τε ἐτητυμίης σῆς στρέφομ᾽ ἐντὸς ἀεί.
ἄγχι ματαιοφρόνων οὐδεὶς θρόνος ἐστί μοι ἀνδρῶν,
    οὐδεὶς ἠπεροπεὺς ἔσθ᾽ ἕταρός μοι ἀνήρ.
ἀνθρώπων ἀλιτρῶν στυγέω περὶ κῆρι βεβήλων,
    τῶν τε βροτῶν ἀσεβῶν τηλόθ᾽ ἔδεθλον ἔχω.
λούω ἐμὴν μύσους καθαρὴν κυρέουσαν ἅπαντος,
    ὕδασιν ἀγλαέοις, χεῖρα, δικαιοσύνης.
παντόθι τ᾽ ἀμφιχυθεὶς τὸν σὸν φίλε δέσποτα βωμόν,
    ᾧ ἔπι ἱρὰ τεῒν ῥέζεται, ἀγκὰς ἔχω.
ὄφρα γόρας σὸν ἔπαινος ἐμῶν κε γένοιτο δι᾽ ὤτων,
    χειρὸς ὄφρ᾽ ὑμνήσω θαύματα πάντα τεῆς.
ἐκ κραδίης φιλέω ζαθέοιο σέθ᾽ ἔδρανον οἴκου,
    κεῖνόν θ᾽ ὃν ναίει ἡ σέο δόξα δόμον.
μή με σὺν δυσσεβίης φθίσῃς ἄνδρεσιν ἀμοίροις,
    μὴ μετ᾽ ἀπορρίψῃς αἱμοχαρῶν με βροτῶν.
ὑβριστῶν, καὶ ἀτασθαλίης τὼ χεῖρε γεμόντων,
    χ᾽ ἡδομένων παλάμαις δῶρ᾽ ἀδίκοισι λαβεῖν.
αὐτὰρ ἐγὼ ζωὴν ὁσίην ζῶ, ἀμεμφέα τ᾽ οὖσαν,

λῦέ με

λῦέ με ἀμπλακιῶν, ἤπι' ἐμοί τε φρόνει.
ὀρθοποδῶ φοιτῶν σοῖς ἀπλανέεσιν ἐν οἴμοις,
τοὔνεκα κινήσω εἰν ἀγύρει σε λεῶν.

## ΨΑΛΜΟΣ ΚΖ.

### Ὑπόθεσις.

Πολλὰ καὶ αἰνὰ παθὼν ταλασίφρονι πήματα θυμῷ,
τῆς ἐχθαιρομένης κόσμῳ ὑπεὶρ ὁσίης·
ἐχθροῖς ἐγγελάᾳ πίσυνος θεῷ ἠδὲ βοηθὸν
λίσσετ' ἐμόν μιν ἔοι κεἰς τὸν ἔπειτα χρόνον.

Πάντα καταυγάζων τῇ ἑῇ ὅσσ' ἔκτισεν αἴγλῃ,
καὶ φῶς τοῦ κόσμου ἀχλυόεντος ἐών·
λαμπὰς ἐμῆς ψυχῆς θεὸς αἰγλήεσσα τέτυκται,
αὐγή τε κραδίης, καὶ σέλας ἐστὶν ἐμῆς.
κἀμὲ φρονέεσσιν ἑῇς ἀγαπητὸν ἐόντα σαώζει,
τίς τοίνυν δύσνους κέν με δύναιτο φοβεῖν;
ἔσθ' ὑπερασπιστὴς ζωῆς μου ὁ κύριος ἠΰς,
καὶ πῶς ἀπειλήσας τίς με τρομεῖν κε ποιῇ;
τοὔνεκ' ἂρ ἐχθρὸς ἀνήρ τις ἐμεῖό ποτ' κἂν σχεδὸν ἔλθῃ,
τοὐμὸν ὅπως μάρψας πᾶν κατὰ σῶμα φάγῃ·
οὔτι με πημανέει, προσκόψας δ' ὡς ἀλαός τις,
πρόσθε ποδοῖιν ἐμοῖν μέλλει ἔραζε πεσεῖν.
κἂν στρατὸς ἀντιβίην ἐμοὶ ἐγχεσίμωρος ὁρίζῃ,
οὐκ ἔμπης κραδίην δύσει ἐμήν τι δέος.
κἂν πολεμίζῃ ἐμοὶ ἀνδρῶν κλόνος ἀγχιμαχητῶν,
πᾶσα ἐπ' αὐτῷ ἐμὴ κείσεται ἐλπὶς ὅμως.
ἓν ῥά τι αἰτίζω, τὸ ποθῶ, τὸν κύριον, αἰνῶς.

αὐτοῦ ἐνοικῆσαι ἤματα πάντα δόμον.
ὥς κε θεωρήσω τὰ ἐκεῖ κάλλιστα πέλονται,
ναὸν ἐπισκέπτων τὸν κατ᾽ ἐκεῖνος ἔχει.
καὶ γὰρ ἐνὶ σκιαρῇ σκηνῇ αὐτοῖό με κεύθει,
ὁσσάκις αὐτὶ ἐμοὶ ἶς ἀνέμοιο πνέει.
κἄνδοθ᾽ ἑῆς κλισίης με ἄφαντον ἐόντα καλύπτει,
καὖτις ἐς ἠλίβατον πέτραν ἐμ᾽ ὑψόσ᾽ ἄγει.
καὶ νῦν τοὐμὸν κρᾶς ὑπὲρ ἄνδρας ἐμ᾽ ἐχθρὰ φρονοῦντας,
τούς τ᾽ ἐμὲ κυκλοῦντας πάντοθ᾽ ἐς ὕψος ἀρεῖ.
κἀγὼ ἐνὶ σκηνῇ αὐτοῦ ἐπιβώμια ῥέξω
οἱ ἀρεθ᾽, ὑμνείων ἄσματ᾽ ἐκεῖ μιν ἐμοῖς.
καὶ γὰρ ἐν ἠδυθρόοις αὐτὸν μελέεσσιν ἀείσω,
κἀν λιγυρῶν ψαλμῶν δοξολόγοισι νόμοις.
κλῦθι δυσωποῦντός τε θεός μευ ἰδ᾽ εὐχομένοιο,
δειλὸν ἐμ᾽ οἰκτιρσον τ᾽, εἴς τ᾽ ὄπ᾽ ἄκουσον ἐμοῦ.
τοῖον γάρ σε ὁ θυμὸς ἐμὸς πρὸς μῦθον ἐνισπεῖ.
δίζεσθ᾽ ὀτρηροὶ πάντες ἐμὸν τὸ ῥέθος.
τοὔνεκα μαστεύω κἀγὼ σὴν ὦγαθ᾽ ὀπωπὴν,
τοὔνεκά σου κἀμοὶ κύριε πολλὰ μέλει.
τύνη δ᾽ αὖ τὴν σὴν μὴ ἀποκρύψοιο πρόσοψιν,
μήτε με χωσάμενος δμῶ᾽ ἀπὸ σεῖο βάλοις.
ἐκτὸς ἐπεὶ σέθεν οὔτις ἐμοὶ ἐπιτάῤῥοθός ἐστι.
σεῖο παρὲξ ἐπεὶ οὔτις ἔμ᾽ ἐστὶ φύλαξ.
μὴ τοίνυν προλίποις, μὴ οὖν ἀπ᾽ ἐμὲ σκορακίσαις
ὦ θεὸς, ὦ ψυχῆς κύριε σῶτερ ἐμῆς.
ἐγκαταλείπει ὁμῶς μήτηρ τε φίλη με, πατήρ τε,
ἀλλὰ θεὸς μήτηρ μοι γίνετ᾽, ἠδὲ πατήρ.

δεῖξον

δεῖξόν ἐμοὶ ἰθεῖαν, τὴν κεν στείχοιμι, κέλευθον,
καὶ διὰ τοὺς ἐχθροὺς τὴν ἐμοὶ ἄγουσαν ὁδόν.
μήτε με παρδώῃς τῇ ἐχθρῶν ὕβρεϊ ἀνδρῶν,
μὴ ταῖς σφῶν ψυχαῖς κῦρμ᾽ ἐάσειας ἐμεῦ.
καὶ γὰρ πολλοὶ ἐμοῦ κάτα μαρτυρέουσιν ἀναιδῶς
στύγν᾽ ἄνδρες, θανάτου, ψεύδη, ἐμοῖο ποθῇ.
ἀλλὰ πέπεισμαι ὅμως, καὶ ἐνὶ φρεσὶ τοῦτο νόημα
ἀστυφέλικτον ἀεί, κἄμπεδόν ἐστιν ἐμαῖς.
ὅττ᾽ ἄγαθ᾽ ἀθρῆσαι γανόων τὰ σὰ κύριε μέλλω,
ᾗχι ζώοντας πάντοθ᾽ ἡ αἶα τρέφει.
προσδέχου ὅστις ἄρ᾽ εἶ τὸν κύριον, ἄλκιμον ἦτορ
καὶ μεγάθυμον ἔχων ἐν πραπίδεσσι κέαρ.
ἴσθι ἀτάρβητος ταλασίφρων, θυμολέων τε
κύριον ἀτρέπτῳ πίστει προσδοκόων.

## ΨΑΛΜΟΣ ΚΗ.

### Ὑπόθεσις.

Ταῦτ᾽ ἄρα τοῦ τε Σαοὺλ, κατὰ τῶν θ᾽ οἱ ἐλίσσαθ᾽ ὁμοίων,
ἐσθλ᾽ ἀγορευόντων, καὶ κακὰ μηδομένων.
οἷς νῦν ἡμετέρους χ᾽ ἡμεῖς χρησώμεθ᾽ ἐς ἐχθροὺς
τοῖς στόμα μὲν πέλεται ἡδὺ, πικραὶ δὲ φρένες.

Ὅσσάκις αὖ πέτραν σὲ ἐμὴν ἔτι κύριε κλήσω,
οὔποτ᾽ ἐμὰς σιγῶν ἂψ ἀπόπεμπε λιτάς.
μή κε σιωπήσαντος ἐγὼ σέθεν εἴκελος εἴην,
εἰς τοῦ πλούτωνος τοῖς κατιοῦσι δόμους.
δέξο προσευχάων, καὶ ἄκουσον πενθάδα φωνὴν
τῶν μου, σύ τε κακῶς σεῖο δεήσομ᾽ ἔχων.

τάς τε ἐμὰς παλάμας ἐξ, ἀντιβολῶν σέ, τανύσσω,
πρὸς τὸν πανθάγιον τῆς σέο θῶκον ἕδρης.
μή με σὺν ἀνθρώποις ῥαίσῃς τ᾽, ὀλέσῃς τε βεβήλοις,
μήτε μετ᾽ ἂρ τούτων τοῖς ἄδικ᾽ ἔργα μέλει.
βάζειν δ᾽ αἱμυλίους ποτὶ πλησίον ἀνδρα μύθους,
καὶ κάκ᾽ ἐνὶ κραδίαις βυσσοδομευέμεναι.
δὸς σφετέρων αὐτοῖς ἔργων ἀντάξιον ἆθλον,
δὸς σφετέρας μισθὸν σφὶν κατ᾽ ἀτασθαλίας.
ἠδὲ κατ᾽ αἰσχρουργῶν ἀπὸ δεινὰ τελέσματα χειρῶν,
σφὶν τὸ ὀφειλόμενον νεῖμον, ἰδ᾽ ἴσον ἐόν.
καὶ γὰρ θεσπεσίων ἀλογοῦσιν ἐνὶ φρεσὶν ἔργων,
χειρὶ ὅσ᾽ ἐν θνητοῖς κύριος ἔρξεν ἑῇ.
τῷ σφᾶς συντρίψει, τῷ σφᾶς κατ᾽ ἐκεῖνος ἂρ ἄξει,
οὐδ᾽ ἀποριτρέπτους, οἰκοδομήσει ἔμεν.
ἔμμορος εὐλογίης, καὶ ἐπαίνου ὁ κύριος εἴη,
ὅς ῥα δεήσιν ἑοῖς οὔασι δέχνυτ᾽ ἐμῶν.
πάντα κρατῶν οἷός μοι ἀρωγὸς ὁ κύριός ἐστι,
ἠδ᾽ ὑπερασπίζων χειρί με κύδει ἑῇ.
καὐτὸν ἐπ᾽ οἷον ἑκὼν τοῦ μὸν κέαρ ἐλπίδα βάλλει,
τῆς τε βοηθείης τυγχάνει, ὥς κε θέλῃ.
ἐξ οὗ εὐφροσύνης ἀπολαύει, καὶ μὲ ἀνώγει
αὐτ᾽ εὐεργεσιῶν, ᾆσαί οἱ ἡδὺ μέλος.
κύριος ἀκρόπολις λαῷ σφισὶν εὖ τέτυκται,
καὶ κρατερὸς σώζει χειρὶ τὸν ἤλιφ᾽ ἑῇ.
σῶζε τεὸν λαὸν τὸν κύριος ἔλλαχες οἷος,
ὧν τε καὶ ἀενάον τ᾽ εἰς χρόνον ἐσσόμενος.
καὶ βόσκ᾽ ἐμπλήσας ὀρατεινῆς αὐτὸν ἐδωδῆς,

καὶ

καὶ περικυδάλιμον ποίει ἐς αἰὲν ἔμεν.

## ΨΑΛΜΟΣ ΚΘ.

### Ὑπόθεσις.

Ὅττ' εὐαγγελικῆς διδαχῆς σωτήριος ἠχὴ,
　πάντα περᾶν κόσμου πείρατα μέλλει ὅλου·
φῆσ', ἀλληγορίαις ἱρ' ὡς αἰνίγμασι κεύθων
　θέσφαθ', ὁ μαντοσύνης ἐν φρεσὶν ἴδρις ἀνήρ.

Τῷ κράτει εὐδόκιμοι, πολλῶν τε ἀρείονες ἄλλων,
　κἀνδρες οὐ θνητοὶ ὔμμι δοκοῦντες ἔμεν·
ἔνεπετε δουλοπρεπῶς τῷ θεῖον κάρτος ἔχοντι,
　καὶ τῷ τοῦ παντὸς κτίστορ' ἐόντι θεῷ.
ἔνεπετε, καὶ δόξαν καὶ ἅπασάν οἱ οἴσετε τιμὴν,
　καὶ πάντων αὐτὸν μοῦνον ὁρᾶτε κρατεῖν.
οὔνομα δοξολόγοις τὸ ἐκείνου κλείετ' ἐπαίνοις,
　πρός τε κυνεῖθ' ἁγίοις αὐτῷ ἐν οἷσι δόμοις.
φωνὴ κυριακὴ ὑδάτων ἔπι δοῦπον ἵησι,
　κυδρὸς ἐπ' ἀμφιλαφῶν κύριος ἔσθ' ὑδάτων.
φωνὴ κυριακὴ ἀρετῇ τε βίῃ τε κέκασται,
　καὶ μεγαλοπρεπίην ἀμφὶ ἅπασα χύθη.
φωνὴ κυριακὴ ἄγνυσ' εὐώδεα κέδρους
　δένδρα, κέδρους κλάζει κύριος ἐν Λιβάνῳ.
σκαίρειν σφᾶς ποιέων, ἀδμῆτά τιν' ἠΰτε μόσχον,
　κοῦπω θέντα ὑπαὶ τῷ ζυγῷ αὐχέν' ἑόν.
καὶ δὴ τὸν Λίβανον Σιριόν τε μάλ' οὔρεα μακρὰ,
　ἠΰτε ἕν τι μόνον θηρὶ ἔχοντα κέρας.
φωνὴ κυριακὴ διακόπτει ἅτ' ἀκάματον πῦρ,

φωνὴ

φωνὴ κυριακὴ σείει ὄρη μάλ' ὄραν.
σείει κυριακὴ ἡ ὄσσα καδηΐδ' ἔρημον,
κἄντρομον αἰφνιδίως οὖθα καὶ οὖθα ποιεῖ.
φωνὴ κυριακὴ ἐλάφων τῶν θηλυτεράων
δειμαλέας κραδίας, γοῦνατ' ἐλαφρὰ τιθεῖ.
τοὺς τε πυκαζομένους τανυφύλλοις δένδρεσι δρυμοὺς
γυμνοῖ, ἀπὸ χλοερὰς σφισιν ἐλοῦσα φόβας.
πᾶς τις μειλιχίῳ στόματ', ἔνδοθι κύριον ἱροῦ
δοξολογεῖ, τοῦ ἑοῦ ὑψορόφοιο δόμου.
ἐντυνέειν κόσμῳ κατακλυσμὸν ὁ κύριος ἷζε,
σκῆπτρον ἀεὶ βασιλεὺς κύριός ἐστι φορῶν.
κύριος ἄλκαρ ἑῷ λαῷ πολὺ ἐγγυαλίζει,
εἰρήνης τε φίλης ἔξοχον εὐλογίην.

## ΨΑΛΜΟΣ Λ.

### Ὑπόθεσις.

ἐκ θεόθεν γεγονὼς κακότητος ἐλεύθερος αἰνῆς,
τῆς ὑφ' ὁ δύστηνος θυμὸν ἐτείρεθ' ἑόν.
τῷ μὲν ῥυσαμένῳ χάριν ὑψιμέδοντι προσάπτει,
ταὐτὸ παραγγέλλων πᾶσι καὶ ἄμμι ποιεῖν.

Ὑψώσω τὸ σέθεν μονόσεπτον ἐς αἰὲν ἐπαινῶν
τοὔνομα, ὦ κόσμου κύριε τέκτον ὅλου.
καὶ γάρ ἐμ' εἰς ζωὴν τὸν πάμμορον ἐκ θανάτοιο
ἤγαγες, ἠγαθέῃ σῶσον αὖτε βίῃ.
μήτε μοὶ ἐγγελάαν ἔασας κεχρημένῳ ἀλκῆς,
φθιέμεναι ζωὴν τοὺς μεμαῶτας ἐμήν.
τραῦμα δυσαλθὲς ἔχων πρὸς σὲ κράτερ' ὄσσαν ἴαλλον,

κύριε,

κύριε· καὶ στυγερῆς λύσας ἔμ' αἶψα νόσου.
ἐξ ἀΐδαο πυλῶν, ἐν ταρτάρου ἀχλυόεντος,
    εἰς βίον αὖθις ἐμὲ ζῶντ' ἐφύλαξας ἄγων.
ζῶντά με τήρησας, καὶ ἄμοιρον ἐόντα μόροιο,
    δυσομένων ἄλλων εἰς στυγὸς αἰνὸν ὕδωρ.
τοὔνεχ' ὁμηγορέες μετ' ἐμεῖο, θεόφρονι φωνῇ
    ψάλλετ' ἀείδοντες κυρίῳ ἡδὺ μέλος.
καὶ χάριν οἱ μεγάλην ὁσίης ἴδετ' ἔμμορ' ἅπαντες,
    μνωόμενοι ἔργων ἅττα τέλεσσ' ἁγίων.
οὐ κότον ἀργαλέον δὴν ἐν φρεσὶν ἧσι κατίσχει,
    ἀλλὰ καταλλαχθεὶς, ὦκ' ἀπὸ τόνδε λύει.
κ' αὐτὸς ἀείζωος τελέθων οὐχ ἥδετ' ἀεικεῖ
    πότμῳ, ἀτὰρ πάντων τῇ βιοτῆτι βροτῶν.
ἔμμορε μὲν στοναχῶν δακρύων τε τὸ δείελον ἦμαρ,
    πολλὴν δ' εὐφροσύνην ἠριγένεια φόρει.
φαίδιμον ὄμμα τύχης πότ' ἐμοὶ πρὸς ἔειπον ἐχούσης,
    οὔτις ἔμ' αὖτε πόνος λήψεται, οὔτι κακόν.
ὅττι κατ' εὐδοκίην σὴν κάρτος ἔμ' ἐγγυάλιξας
    στεῤῥὸν, ἅτ' ἀπρόσιτον χ' ὑψικάρηνον ὄρος.
αὐτὰρ ἐπεὶ σὸν ἀπεστρέψω ἀπ' ἐμεῖο πρόσωπον,
    αἶψα μέγα κραδίην ἔλλαβε τάρβος ἐμήν.
πρὸς σὲ κραυγάσσω, σὲ γουνάσσομαι ὦ φίλε μοῦνον
    κύρι', ἄλητα θεοῦ σεῖο δεήσομ' ἐμοῦ.
τί πλέον δὴ ὠφελέειν τοὐμὸν θεὸς αἷμά σε μέλλει,
    ἄϊδος κὴν φθίμενος δώματ' ἐς αἰνὰ μόλω;
ἦρα χρέος χαρίτων σοὶ χνοῦς ἀποτίσει ἄναυδος;
    ἦρα τεῆς ἔσται ἄγγελος ἀτρεκίης;

εἰς ἔμ' ἄκουε θεὸς χατέοντ' ἐλέαιρέ τ' ἀρωγῆς,
 καί μοι ἀοσσητὴρ τῷ ταλαν' ὄρχου ἐών.
εἰς χορὸν ἤλλαξας τὸν ἐμὸν κοπετόν τε, γόον τε,
 ἀντί τε λυπάων δῶκας ἔμ' ἦδος ἔχειν.
σάκκινον ἀμφὶ δέμας τὸ φόρεον ἔῤῥηξαο ἔσθος,
 καὶ πλευρὴν πὸρ' ἐμὴν ζῶσας εὐφροσύνην.
ὄφρ' ἡ δόξα ἐμὴ, ὄφρ' ἐμή σε γλῶσσα γεραίρῃ,
 μή τε τὸ σὸν λήγῃ πᾶσ' ἐνέπουσα κλέος.
πάντοτε δοξάζειν λιγυρῇσί σε βούλομ' ἀοιδαῖς,
 ὦ φίλε, μοῦνον ἐμοὶ, κύρι', ἐόντα θεόν.

## ΨΑΛΜΟΣ ΛΑ.

### Ὑπόθεσις.

Θυμὸς ὁποῖος ἔῃ ὁ ἀμηχανίῃσι παλαίων,
 νυνὶ μὲν ἀντιβολῶν, νυνὶ κλέων ᾗ θεόν:
τῇδε καθὼς κλυτότεχνος ἐὼν τις ζωγράφος ὠδῇ
 ζωγραφεῖ, ὠφελίμῳ τοῖς ἀγαθοῖσι τύπῳ.

Ω ἄνα, ὦ πάντων γενέτ' αὐτόφυθ' ὅσσα πέφυκα
 καὶ βροτέαις ἡμῶν χόρσ' ἀκίχυτε θεός:
σεῖό μοι ἐλπωρὴ ἐπὶ καρτεῖ πᾶσα τέθειται,
 σῇ με βίῃ σῶον μελλέμεν ἔλπομ' ἔμεν.
μή με βοηθείης οὖν τῆς ἀπορεῦντα πόθεινῆς,
 αἶσχος ὀφλῆς ἐχθροῖς πᾶσ' ἐάσειας ἐμοῖς.
ἀλλὰ δικαιοσύνης τῆς πρόσθ' ἔτι μνήμονα τηρῶν
 θυμὸν, ἐμὲ στυγερῆς ἐκ κακότητος ἕλοις.
ἄγχι σὰ σὺ χάων ἐχ' ἐμῶν ὦθ', οἷσιν ἀκούεις
 πάντων, τοῦ κόσμου γίνεθ' ὅσ' ἐντὸς ὅλου.

καὶ

καὶ τάχ᾽ ἀφιξόμενός με προσέρχεο, ἔκ τε με δεινῶν
    τοῖς περιίσχομ᾽ ἅπας νυνὶ σαωσόμενος.
ἔσθι μοι ἀστυφελὴς σκόπελος, σκόπελός τ᾽ ἀτρόμαμος,
    ἴσθ᾽ αἰπύδμητος τλήμονι πύργος ἐμοί.
εὐτειχής τε τις ἀκρόπολις, τὴν δήϊος οὐδεὶς
    ἰσχύοι ἐκπραθέειν βουλόμενός περ ἀνήρ.
σεῖο παρὲξ πέτρην ἐπεὶ οὔτινα, κοὔτινα πύργον,
    καὶ δὴ μηδεμίην ἔλλαχον ἀκρόπολιν.
τῷ διὰ συμπάσης τὸ σὸν ἄξιον οὔνομα δόξης,
    πομπὸς, ἰδ᾽ ἡγητὴς λάτρει ἐμ᾽ ἴσθι τεῷ.
δικτύου ἐκ κρυφίου, κρυφθέντος, ἐμ᾽ ἐξέλ᾽, ὑπ᾽ αὐτῶν,
    οὕνεκ᾽ ἐμὴ ἰσχὺς πᾶσαν ἐὶ ἰσχὺν ἔχων.
εἰς παλάμας τοὐμὸν τὰς σὰς παρὰ πνεῦμα τίθημι,
    πίστει παρδιδόω τοὐμὸν ἄημα τεῇ.
καὶ γὰρ ἄποινα διδοὺς λύτρωσας ἔμ᾽ ἱρὰ σεαυτὸν
    ὦ πιστ᾽, ὦ ψευδῶν πάμπαν ἄμοιρε θεός.
τοὺς παρατηροῦντας τὰ μάταια διδάγματα μισῶ,
    ἐλπίδα βαλλομένην εἰς σὲ ἅπασαν ἔχων.
ἀλλ᾽ ἔτ᾽ ἐμοὶ γανόων μεγαλωστὶ ἐνὶ φρεσὶ θυμὸς,
    σκαίρει χαρμοσύνης ἔμπλεον ἦτορ ἐμοί.
καὶ τόδε σῆς χάριτος τ᾽ ἐλέοιό τε εἵνεκα πολλοῦ,
    τῶν πεῖραν σφοδρὴν καὶ μὲ ἔγεντο λαβεῖν.
ἐπειδὴ ἔτ᾽ ἐμῆς ἴσχεις τιν᾽ ὀϊζύος ὤρην,
    ψυχῆς οὐκ ἀμελεῖς στεινομένης περ ἐμῆς.
μήτε κατακλείεις παλάμῃσι με παντόθεν ἐχθραῖς,
    ἀλλὰ ποιεῖς πλατέην ποσσὶν ἐμοῖσιν ὁδόν.
ἱλάσκου φίλε δέσποτ᾽ ἐμοὶ, ἐλέαιρέ με δειλὸν,

καὶ

καὶ γὰρ κῆρ λυπρὸν καὶ πολυκηδὲς ἔχω.
μορφὴ ἄμορφος ἐμή, εἶδός μου ἔγεντο δυσειδές,
λυπεύντων τόσσων νωλεμέως με κακῶν.
ἔρρει ἐμὴ ψυχὴ κατ' ἄρ' ἐσκληκυῖα καὶ αὐτή,
οὐδ' ὑγιές τι ἐμὴ κοιλίη ὥς ποτ', ἔχει.
καὶ δὴ καὶ ζωὴ φθινύθει μου κήδεσι λυγροῖς,
κήδεσι τοῖς παύλη οὐ πάρα, τειρομένη.
κἀμὸς ἐνὶ στοναχαῖς φθίει μινυώριος αἰὼν
κἀμὴ ἡλικίη ὠκέα πάρ με θέει.
κῖκος ἄκικυς ἐμοὶ γίνετ' ἀμπλακίῃσιν ἐπ' αἰναῖς,
οὐδέ τις ἐν ὀστοῖς μυελός ἐστιν ἐμοῖς.
πᾶσιν ἀπόπτυστον τοῖς δυσμενέουσι ὄνειδος,
χρῆμ' αἰσχρὸν γενόμην γείτοσ' ἅπασιν ἐμοῖς.
δειμαλέον τε τέρας τοῖς γνωστοῖς, τοῖς τε θυράων
πλαζόμενον σφετέρων πρόσθεν ἔμ' ὀσσομένοις.
πάντες γάρ με ἀλεύασθαι τροχόωσι μεμαῶτες,
οὐδέ τις ἐγγὺς ἐμοῦ σφῶν ἀνέχοι κεν ἴμεν.
ἐκ σφετέρων κραδιῶν πάντες με λελησμέν' ἔθηκαν:
ὥς τινα τὸν ζωῆς κῆρες ἀμέρσαν ἑῆς.
χ' ὡς σκεῦος γενόμην τι κεκλασμένον, οὐδέν ἔτ' ἀν-
χρήσιμον, ἀλλ' αἰσχρῶς σὺν ποσὶ τριβόμενον. (δρῶν
μομφὴ ἐμοῖς πολλῶν βαρὲ οὖσα πρὸς οὔασι βάλλει,
ὅττι με δείδι' ἅπας πλησιόχωρος ἐών.
μήδονται κατ' ἐμοῦ εἰς ἓν κακὰ μήδε' ἰόντες,
ψυχὴν βουλόμενοί μοι ἀπὸ τλήμον' ἑλεῖν.
αὐτὰρ ἐμὴ μούνῳ προσκαρτερέει τεὶν ἐλπίς,
φάσκουσ', ἐὸς οἶος κύρι' ἐμοὶ σὺ θεός.

ἐν πα-

ἐν παλάμαις βίος ἐστὶν ἐμὸς σῆς, καὶ βίοιο
πᾶς τις ὅσος κεν ἐπὶ γῆς ἐφύπερθε χρόνος.
λάμβανε δυσμενέων κρατερῆς ἐκ χειρὸς ἔμ' ἀνδρῶν
καὶ τῶν ἐσσυμένων ἐξ ἔμ' ὄπισθεν ἐλᾶν.
καὶ διαφώτισον σῆς ἀκτίνεσσιν ὀπωπῆς,
σήν τε κατ' εὐμενίην σῶσον ἀπειρεσίην.
μή τις ἐλεγχείην κενεὴ προστρίψοι ἔμ' ἐλπίς,
μούνῳ γάρ με λιταῖς σοὶ παρ' ἐμῆσι τιθῶ.
αἴσχεος οἱ ἀσεβεῖς θεομισέα φῦλα γέμοιεν,
κὰμ στυγίοις αὐδῆς νόσφι κέοιντο ῥόοις.
σιγῷεν ψευσταὶ σφετέρης βεβλαμμένοι ὄσσης,
οἷς κακὰ πολλὰ μέλει ἄνδρα δίκαιον ἐρεῖν.
καὶ τόδ' ἀναισχύντως, καὶ ἀγαυρῶς ἠδὲ σὺν ὕβρει
τῇ βροτὸν, καὶ θεὸν μηδὲν ὀπιζομένῃ.
ὡς θησαύρισσας κειμήλια τοῖσδεσι πολλὰ,
οἷς ὁ σέθ' ἀψευδὴς ἐν φρεσ' ἔνεστι φόβος.
κἄφθον' ἐκεῖν' ἐπί σοι τοῖς ἐλπομένοισι χορηγεῖς,
εὐρείας ναετῶν γῆς προπάροιθε βροτῶν.
κληϊστοῖς αὐτοὺς παρά σοι ὑπὸ κεύθεσι κρύπτεις,
μή τις ἀλιτραίνων σφίσ' ἐπ' ἀνὴρ κε χράοι.
καὶ σκιεροῖς ἐν ὑπωροφίοις μεγάροισι καλύπτεις,
μή κε σφᾶς νείκεα γλῶσσα φιλοῦσα βλάβῃ.
κύριος ὑμνητὸς μέγ' ὁ κύριος αἰνετός ἐστι,
θαυμαστῶς ἐχυρῇ ὅς μ' ἐνὶ σῶσε πόλει.
κἠνίκ' ἀδημονέων κείμην κεκαφηότι θυμῷ,
τηνίκ' ἔμ' ἐρρίφθαι δῆλ' ἀπὸ σεῖο δόκευν.
τὺ δ' ἐπάκουσας ὅμως σὺ χωλὰς καὶ δεήσεις,

τὰς οἰκτρῇ κράζων γήρυϊ πρὸς σὲ φόβον.
πάντες ἂμ' ἀμφαγαπᾶσθ' ὅσιοι τὸν κύριον ἄνδρες.
σώζει γὰρ πάντας πίστιος οἷσι μέλει.
τοῖς δ' ὑπερθύμοις, καὶ ἀλαζόσ', ὑπερφιάλοις τε,
ἆθλ' ὑπερκυορέαις σφῶν τὰ πρέποντα δίδοῖ.
πάντες ἀταρβητοι, μεγαλόψυχοί τε γένεσθε,
τοῖσι μόνος πέλεται ἐλπὶς ὁ πάντα κρατῶν.

## ΨΑΛΜΟΣ ΛΒ.

### Ὑπόθεσις.

πᾶσιν ἁμαρτοσύνη ἡ θνητοῖς ἐγγεγαῦα,
ὅσσην ἔῃ λώβη, καὶ κράτος ὅσσον ἔχῃ:
πῶς τε δικαιοσύνης ἄδικος περ ἐὼν τις ἐπαυρῇ,
οὗτος ἀριφραδέως ψαλμὸς ἅπασι λέγει.

Οὖλοι τρεῖς μάκαρες καὶ τετράκις εἰσὶν ἀληθῶς,
οὗτοι νητρεκέως ὄλβιοί εἰσι βροτοί:
οἷσιν ὑπερβασίαι θεόθεν παρέθησαν ἅπασαι,
χ' ὧν τὰς ἀμπλακίας κρύπτει ὀρεμνὴ ἀχλύς.
οὗτος ἀνὴρ ἀτρεκῶς μακαρίζεσθ' ἄξιός ἐστι,
ᾧ μὴ ἁμαρτοσύνας κύριος ἐλλογέει.
χ' οὗτινος ἐν κραδίῃ καὶ πνεύματι οὔτις ἔνεστι,
χρῆμα συνήθες ἄγαν τοῖς ἀσεβέεσι, δόλος.
ἤτοι ἐγὼ σιγῇ ὅτ' ἀτάσθαλ' ἐμ' ὄργματ' ἔκρυπτον,
ἀμφαδὸν οὐκ ἀνέχων φάναι, ἀλιτρὸς ἔμεν:
αἶψα κατεσμύχθην, καὶ ὀστέων ἄχρις ἰάφθην,
τὸ πρόπαν ἀλλήκτως ἦμαρ ὀδυρόμενος.
ὅττι μὲ ἠματίῃ σὴ χεὶρ νυχίῃ τε βαρύνει,

κάρτα

κάρτα βαρυνέμεναι ὡς ὁ μόλυβδος ἔφυ.
τῷ ἐξηράνθην ἄφαρ ἰκμάδα πᾶσαν ὀλέσσας,
ὡς ξηρὸν ποιεῖ ἠέλιος τὸ θέρος.
νῦν δὲ ἁμαρτοσύνας σοὶ ἐξηύδησα προπάσας,
τάς τε ἀλιτροσύνας οὐκ ἔτ' ἐμεῖο κρύβον.
κυρίῳ ἄντικρυς τὰς παρβασίας μου ἁπάσας,
οὔτιν' ὑποστέλλων ἐξαγορεύσομ', ἔφην.
καὶ σὺ ἐμοὶ ξυγγνῶν ἀφέηκας ἀτασθαλιάων
πᾶσαν τὴν πληθύν τ' αὐτίχ', ἅπαντε χρέος.
τῶν μοῖραν τιν' ἔχων, ὅσιός περ πᾶσιν ἐπ' αἴης,
σὺν καίρους εὐχὰς σφῶν τεῒν οἴσεθ' ὕπερ.
τοὔνεκεν κὴν χώρας ἄλλας κατὰ ὕδατα κλύζῃ
λάβρα, κατακλυσμὸς τῶνδ' ἑκὰς ἔσσεθ' ὅμως.
τύνη κρησφύγετόν μου ἐών, ἐκ θλίψιος αἰνῆς
ῥῦσον ἔμ', ὡς ῥυσθέντ' ᾄσ' ἐμέ σοι φίλ' ἔπη.
ποιήσας φρόνιμόν σε, κέλευθά σοι εὐθέα δείξω,
ὅσσ' οὐ πλαζομένοις χρή σε πόδεσσι πατεῖν.
χ' ἡγήτωρ σὸς ἐὼν καὶ πομπεύς, ὄμμασ' ἐμοῖσι,
αὐτός σ' ἐν πάσαις ἄξομ' ἀπήμον' ὁδοῖς.
μὴ γίνεσθ' ἵπποις ἐναλίγκιοι, ἡμιόνοις τε,
ζώοις μηδεμίη τοῖσιν ἔνεστι φρένις.
χ' ὧν στόμασ' ἐμβαλέειν κημοὺς δέον ἠδὲ χαλινοὺς,
κὴν σοι πεισθῆναι, καὶ πελάσ' οὐχὶ θέλῃ.
παμπόλλαις ὁ πονηρὸς ἀνὴρ μαστίζεθ' ἱμάσθλαις,
ἀργαλέοις θυμὸν κήδεσ' ἀμυσσόμενος.
ἀλλ' ὁ πεποιθήσας τῷ κυρίῳ, σῶος ἔσται,
πληθομένου ἐλέους μιν χάριτός τε πέριξ.

εὐφράνθητε δίκαι', ἐπὶ κυρίῳ, εὔφρονι θυμῷ.
κομπεῖτ' ἐν σφετέρῳ ἰθέα φῦλα θεῷ.

## ΨΑΛΜΟΣ ΛΓ.

### Ὑπόθεσις.

Τὶς εὐεργεσιῶν χάριτας θεῷ εἵνεκα πολλῶν,
πάντα τὸν εὐσεβέην δεῖ μετιόντα βροτόν.
ὅττι καὶ αὐτὸ δρᾶσειν, ὁ θεόσσυτος ἧμιν ἀοιδὸς
τῷδε προστάττει ἐν παρεόντι μέλει.

Οἷσι δικαιοσύνης μέλετ', ἐν τῷ κυρίῳ εἶεν
δῆλοι ταῖς σφετέραις φρεσὶν ἀγαλλόμενοι.
οἷσιν ἀκίβδηλος κραδίη καὶ ἰθέη ἐστὶ,
τοῖσί μιν ὑμνῆσαι ἔνθα καὶ ἔνθα πρέπει.
ᾄδεθ' οἱ ἐν κιθάρῃ εὐηρέντῳ θέσπιν ἀοιδὴν,
ἐν δεκαχόρδῳ ἑοὶ ψάλλετε καλὰ λύρῃ.
καινά οἱ ἡδυθρόων μελίσματα οἴσετε μουσῶν,
εὖ, τ' ἀλαλάζοντες κλείεθ' ὑμῇ μιν ὀπί.
ἰθὺς γὰρ κείνου ὁ λόγος, καὶ ἐτήτυμός ἐστι,
πάντα τε ὅσσα ποιεῖ ἔργματα πιστὰ πέλει.
καὶ στάθμην φιλέει κρίνειν ξυνάπαντα κατ' ἴσην,
τηύτ' ἐν ὁμῶς οὖσαν πᾶσι δικαιοσύνην.
τῆς ἐλεημοσύνης πλήρης αὐτοῖο ὁ κόσμος,
ὅσσον ἢ εὖρος ἔχει, ἢ βάθος ἐστὶν ὅλος.
κύριος αἰθερίας τεχνήσαθ' ᾗ ἀψῖδας ὀμφῇ,
καὶ στόματος κρατερῇ ἄστρ' οὗ ἅπαντα πνοῇ.
ὡς ἀσκῷ πολιῆς συνέκλεισε τὸ οἶδμα θαλάσσης,
ὡς θησαυρὸν ὅλης βένθος ἔκρυψεν ἁλός.

μοῦνον

μοῦνον ἅπασα θεὸν θεραπευτέον αἶα φοβοῖτο,
    πᾶς τις ναιετάων γῆς μιν ὕπερθε τρέοι.
αὐτοῦ γὰρ γίνεται βάζοντος ἔθ' ὅ,ττι κεν εἴπῃ,
    καὐτοῦ ἀνώγοντος πάντα τέλεια πάρα.
δκύεα τῶν ἐθνῶν δολόεντ', ἀχρήϊα ποιεῖ,
    ὅσσα τε αἱ λαῶν μητιόωσι φρένες.
ἔμπεδα δ' αὖ πέλεται πρατός τε δίχ' ἄττα μενοινᾷ
    ὅσσα τε μήδεθ' ἑῆς ἐν πραπίδεσσι θεός.
ὦ μάκαρ, ὦ πάντων λαὸς περὶ ὄλβιος ἄλλων,
    ὃς θεὸν ἀΐδιον κύριον ἔμμορ' ἔχειν.
ὅν τε οἱ ἐκ λαῶν ἐξ αὐτὸς ἐλέξατο πάντων,
    κληροῦχον κτεάνων τῶν ἑὸ μοῦνον ἔμεν.
κύριος ἀκροτάτων ἀπὸ οὐλύμποιο καρήνων,
    πᾶν γένος ἀνθρώπων οἷσι κατ' ὄμματ' ὁρᾷ.
οὔτ' ἀπ' ἐϋδμήτου λεύσσει καθύπερθε θοώκου
    πάντας, ἐπ' οἰκητὴν τὴν χθόν' ἔχοντας ἕδος.
καὐτὸς ἐνὸς κραδίην ἰθύνει ἄνωθεν ἑκάστου,
    ὅσσατέ τις ῥέζει σφῶν, κατὰ πάντα νοεῖ.
οὐ κράτος ὠφελέει μάλα περ βασιλῆά τιν' ἠΰ,
    οὐ ῥηξηνορέη ἄσχετον ἀνδρ' ἐχμένος.
ψεύδεται ἐλπωρῆς τῆς ἑῆς, ὁ ἀεθλίου ἵππου,
    νικήσειν δοκέων, καὶ σθεναροῖο λαχών.
κῦδε γὰρ τούτους ἐπὶ ἄνδρας ὄμματι τιταίνει
    οἶκον ὁ εἰν ἀγλαῷ κύριος αἰθέρ' ἔχων:
οἱ ἐποπιζόμενοι φαίνονται ἐνὶ φρεσὶ αὐτὸν,
    τήν τ' αὐτοῦ χρηστὴν προσδοκόωσι χάριν.
ὅππως τὰς ψυχὰς σφῶν ἐκ θανάτοιο ῥύηται,

καὶ σφέας ἐν λιμῷ ποιῇ ἐδητὺν ἔχειν.
τοὔνεκα χ᾽ ἡμετέρη ἐπὶ κυρίῳ ἐλπίδας ἴσχει
ψυχὴ, ἀῤῥήτῳ τῷ ἐθ᾽ ἐόντι σάκει.
καὶ γὰρ φρεσὶν ἡμετέραις δι᾽ ἐκεῖνον εὔφρονές ἐσμεν,
αὐτοῦ ἐπ᾽ ἠγαθέῳ οὐνόματ᾽ ἐλπόμενοι.
σὴ ἐλεημοσύνη φίλε κύριε ἄμμε σαώζοι,
θήκαμεν ὡς φρενόθεν σοὶ ἔπι θάρσος ἅπαν.

## ΨΑΛΜΟΣ ΛΔ.

### Ὑπόθεσις.

Φησὶν ἀηυάζειν τὸν παγκρατέοντα λιτάων,
ὁσσάκι λίσσονται ἄθλι᾽ ἐ φῦλα, θεόν.
κοὔποτε τοὺς ὁσίους ἀπὸ νόσφιν ὀϊζύος εἶναι,
ἄχρις ἐπιχθονίου μοῖραν ἔχουσι βίου.

Μοῦσα γέραιρε φίλη, ὄπ᾽ ἀοιδιάουσα γλυκυθρῶν,
παντοτε τὸν πάντων κοιρανέοντα θεόν.
οὗτινος ἐν τῷ ἐμῷ στόματι στροφήσετ᾽ ἔπαινος,
ὅν τ᾽ ἐνὶ χείλεσ᾽ ἐμοῖς ἕξομ᾽ ἅπαντα χρόνον.
αὖχος ἐμῆς ψυχῆς εἴη θεὸς, ὥς κεν ἰανθῇ
κάμμορος ὠσὶν ἑοῖς πευθόμενός τις ἀνήρ.
τὸν πάντων ξὺν ἐμοὶ μεγαλύνατε κοιρανέοντα,
οὔνομ᾽ ἀείρωμεν, τοῦ λάχε κεῖνος, ὁμοῦ.
ἔστιν ὅτ᾽ ἐζήτεον δυσηχέϊ κύριον αὐδῇ,
καὐτὸς ἐμ᾽ ἄσσον ἰὼν πρᾶον ἀμείβετ᾽ ἔπος.
κεὐθὺς ἐμοὶ ξυνάπαντ᾽ ἀπὸ δείματα τλήμον᾽ ἄλαλ-
οἷς θυμὸν κινόων τύγχανον αὐτὸς ἐμόν. (κεν
γηθήσοντ᾽ αὐτὸν δέρκοντες ἐφ᾽ ὅσσοι αὖ ὦσι,

ἠδὲ

οὐδὲ καταισχυνέον σφῶν τί ποτ' ὄψιν ἔφυ.
δύσμορος οὗτος ἐπεὶ κέκραξεν, ὁ κύριος αὐτοῦ
ἤκουσεν, πάντων ἔκ τε μιν εἷλεν ἀχῶν.
φρουρεῖ τῶν ὁσίων θεόπεμπτος ὁ ἄγγελος ἐσμὸν,
κῶ τε ἀεὶ κλισίην ἀμφὶ, σαώζει, ἔχων.
γεύσασθε γλώσσαις, γλυκύης ἀθρήσατ' ὀπωπῶν
τὸν λίην χρηστὸν, καὶ γλυκὺν ὄντα θεόν.
εὐδαίμων πέλεται, ὃς ἑοῖ περὶ κῆρι πέποιθε,
χ' ὅς μιν ἅπαξ, κατέχει ἐν φρεσὶν ἧσι, κιχών.
ἔμμορε τῆς ὁσίης πεφόβησο σωνήγυρι αὐτὸν,
αἰδοῦ μιν πουλὺν λῇς βίον ὅστις ἔχειν.
ἐνδεέως ἐπεὶ ἀπόρως τ' ἴσχουσιν ἅπαντες,
μηδενὸς, οἱ κεῖνον κηρόθι ἀζόμενοι.
ἄνδρες ἐχεκτέανοι λιμῷ καμέουσι δαμέντες,
ζήσουσ' ἀφνειοὶ, διζόμεν' οἱ ἢ θεόν.
δεῦτε φίλοι παῖδες, κἀμῶν λάβετ' οὔασι μύθων,
παρδώσω διδαχὴν τὸν θεοῦ ὕμμι φόβον.
τίς ζώειν πάσης ἐπιθυμεῖ ὀϊζύος ἐκτὸς;
τίς τ' εὐημερέειν, εὐτυχέειν τε ποθεῖ;
μή που ἀλιτραίνῃ τῆς σῆς ἔχε φροντίδα γλώσσης,
καὶ χειλῶν ἀπάτην πᾶσαν ἄπειργε τεῶν.
λῆγε θεοστυγέων ἔργων, θεαρεστά τε ποίει,
δίζεο εἰρήνην, καί οἱ ὀπήδει ἀεί.
ἀνθρώποις προσέχει εὖ ὁ κύριος ὄσσε δικαίοις,
σφῶν τε ἑοῖς προφρόνως λαμβάνει ὠσὶ βοήν.
οἷσδ' αὖ ἔργα μέλει κακὰ, τοῖσδε πρόσοψιν ἐπίσχει,
γῆθεν τὴν αὐτῶν ὄφρ' ἀπὸ μνεῖαν ἄρῃ.

εἰσαΐει ὁ θεὸς βοόωντας ἄνωθε δικαίους,
 ἔκ τε σφᾶς πασέων αἴνυτ' ἀμηχανιέων.
συγκλασθεῖσι φρένας σφετέρας σχεδὸν ἀνδράσιν ἐ-
 πνεῦμ' ὁ θεὸς σώζει, οἷσι χαμαιρεπὲς ἔνι. (στῶς
πόλλ' ὁ δίκαιος ἀνὴρ ἐνὶ κόσμῳ κήδεα πάσχει,
 αἱρεῖται πάντων κύριος ἔκ μιν ὅμως.
καὶ τοῦ ἐνδυκέως σφόδρ' ὀστέα πάντα φυλάττει,
 μή κεν συντριφθῇ ἕν τι μικρόν περ ἐόν.
ἄνδρ' ἀσεβῆ ζωῆς ἀτύχημ' ἀτηρὸν ἀμέρσει,
 ἔσθ' ἔνοχος πᾶς, οὐκ ἔνδικον ἄνδρ' ὁ φιλῶν.
λυτροῖ ἑῶν ψυχὰς δμώων ὁ ἐν αἰθέρι ναίων
 κύριος, ἀντ' αὐτῶν τίμι' ἄποινα διδούς.
καὶ πᾶς οἱ πίσυνος, καὶ ἐπ' αὐτὸν ἔθ' ἐλπίδα βάλλων,
 καί περ ἁμαρτήσας, μέλλει ἀθῷος ἔμεν.

## ΨΑΛΜΟΣ ΛΕ.

### Ὑπόθεσις.

Τῶν διαβαλλόντων κρύβδην κάτα ταῦτα λέλεκται,
 αἱμυλίοις φιλίην ψευδομένων τε λόγοις.
οἵους δὴ πολλοὺς νῦν ἔνθα καὶ ἔνθα κεν εὕρῃς,
 ἐχθροὺς τῆς ὁσίης προῖκά περ, ἀτρεκέος. (ὄντες,

Πολλοὶ ἐμεῖο βίην σφετέρην πολὺ φέρτεροι
 κῆρας ἐμοὶ φερέμεν καὶ μεμάασι μόρον.
πολλοὶ ἐρίζουσιν δεινῶς φιλόνεικοι ἔμ' ἄνδρες,
 κἀμὲ ἐν εἰρήνῃ οὐκ ἐόωσι μένειν.
τοῖσδεσιν οὖν πάντεσσιν, ἐμοῦ περὶ κύρι' ἀμύνας,
 κάρτει ἔριζε τεῷ, χερσί τε ᾗσι μάχου.

ὅπλα

ὅπλα λάβ' ἀσπίδ', ἄορ ταχέσιν τε τὸ τόξον ἅμ' ἰοῖς,
ὠκά τε χραισμήσων τλήμον' ἐγείρου ἐμοί.
καὶ τὸ σὸν ἔγχος ἑὸν δολιχόσκιον, ἀμφίγυόν τε
ἕλκε, καὶ ἀντίβιον μοι ἀπάλαλκε βίην.
ἔννεπ' ἐμῇ ψυχῇ, σὴ ἐγὼ σωτηρίη εἰμί,
σὴ λύτρωσις ἐγώ, εἷς ἐγώ εἰμι τεή.
πᾶσι γένοιντο βροτοῖς αἰσχυνόμεν' οἵδε γελαστοί,
λαθραίως ψυχὴν οἳ λοχόωσιν ἐμήν.
ἂψ ἀναχωροῖεν, καὶ ὀρυθειόωεν ἄπρηκτοι,
πῆμ' ὧν ῥάπτουσι κρατὶ ἐμῷ τι φρένες.
πάντες ὑπηνεμίοις ἀχύροις ἐναλίγκιοι εἶεν,
κυριακός τ' αὐτοῖς ἄγγελος ἐχθρὸς ἔοι.
πάντοθεν ὁ σφείων λιποφεγγέϊ οἶμος ὀμίχλῃ
κλεισθείη, σφαλερῶς καὶ μάλα γλισχρὸς ἐών.
καὶ ὁ ἀπ' οὐρανίης καταΐξας ἄγγελος ἕδρης,
οὐδαμόθ' ἡσυχίους σφᾶς ἐάσειεν ἔμεν.
καὶ γὰρ ἔτειναν ἐμοὶ ἀγαθῷ περ δίκτυ' ἐόντι
κρυπτά, μενοινῶντες κῆρά μοι αἶψα φόρειν.
καὶ βαθὺν ψυχῇ τῇ ἐμῇ περὶ βόθρον ὄρυξαν,
οὐδένα ῥέξαντος σφῶν τι ἐμεῖο κακόν.
ἀπροϊδὴς αὐτῷ, καὶ ὄλεθρος ἐπέλθοι ἀδευκής,
χ' οὓς θέτο μοι, ἰδίοις αὐτὸς ἔχοιτο βρόχοις.
καὶ σφισὶν ἰσχόμενος, τάχα δυσμενέοντος ὑπ' ἀνδρὸς
τίσσων, ληφθείη, ὧν ἀδίκησε δίκην.
ἡ μου ἀγάλλοιτο ψυχὴ δ' ἐπὶ κυρίῳ αἰεί,
ἔν τε βοηθείῃ τέρψιν ἐκείνου ἔχοι.
πάντα τὰ ἐν μυχάτῳ τοῦ σώματος ὄντα μου, εἴποι,

κύριε

κύριε τίς θνητῶν ἴκελός ἐστι τεΐν;
ὃς τὸν τλήμον' ἀπὸ κρατερωτέρου ὕβριος ἀνδρὸς
καὶ τάλαν' ἐκ ληστῶν, ἠδὲ πένητα ῥύῃ.
μάρτυρες ἀτρεκίης ἀνέγρονται ἄϊδρειες ὄντες,
κεῖνά με κεκλόμενοι ἅττα μὴ οἶδα λέγειν.
οὐκ ἀγαθὴν ἐμοὶ ἀντ' ἀγαθῶν τιθέασιν ἀμοιβήν,
ἀλλὰ κακήν, καί μοι πουλὺ φέρουσαν ἄχος.
χ' οὕτω ἐμὴν ψυχὴν ἐφέπουσιν, ἅτ' οὐδέποτ' οὐδὲν
χρηστὸν ῥέξασαν σφᾶς ἀνὰ πάντα βίον.
αὐτὰρ ἐγών, ὁσάκις νοσερῶς δέμας αὐτοὶ ἔχεσκον,
ἑννύμενος σάκκῳ τερμιόεντι κίον.
καὶ νηδὺν δάμναζον ἐμὴν μάλα αἴθοπι λιμῷ,
κοὐλυμπόνδε φέρων κῆρ, λιτανεῦον ὅλον.
στέργων ἢ ἀμφαγαπῶν, ὡς ἔγγιστ' ἐκγεγαῶτα.
ἠέ τιν' ἐκ μητρὸς καὶ πατρὸς ὄντα κάσιν.
ὡς γενέτειραν ἑὴν γοόων, πενθήρεα χλαῖναν
ἑσσάμενος, χαμάδις τοὔμμα τίταινον ἐμόν.
αὐτοὶ δ' ὀσσόμενοι ἄτλητά με ἄλγεα πάσχειν,
οὐ μετρίαις σφετέραις ἐν φρεσ' ἔχουσι χαράς.
καὶ συναγείρονται κατ' ἐμοῦ μάλα πληθύϊ συχνῇ,
ἀμφιγυηέντων τῇ πολὺς ὄχλος ἔνι.
καί μοι ἐποιχόμενοι ἄπρυπτοι, ἔμ' ἅρπαγες ἄνδρες
δάπτουσιν, παύλην οὔτιν' ἔοντες ἔχειν.
ξύνθ' ἅμα χλευασταῖς, κολάκεσσί τε γαστροδούλοις,
χείλεσ' ὀδὰξ φύντες δηλοὶ ἐπ' εἰσὶν ἐμοί.
πόσσ' ἐποπιπτεύων τόδε κύριε ἤματα τλήσεις;
πόσσον σιγήσεις ὦ πάτερ ἐσθλὲ χρόνον;

ἐξελ'

ἔξελ' ἐμὴν ψυχὴν ὁμάδοιο ἀπ' αἰνοῦ ἐκείνων,
τῶν σκύμνων ζωὴν καρτερὸς ἔξελ' ἐμήν.
δώσω σοι χαρίτων γέρας ἠὺ ἐν ἔθνεσιν ἑστώς,
καὶ μὲν συχνῷ φήσω σοῦ πέρι πολλὰ λεῷ.
οὐ ταρποῖντ' ἐπ' ἐμοί, οἳ ἔμ' ἐχθαίροντες ἀθῶον
ὄντα περ, οὐδ' ἐμ' ὅλως σφᾶς ποιέοντα κακόν.
οὐδὲ καθὼς τὸ πάρος σφετέραις νεύσειαν ὀπωπαῖς,
οἷς στυγέειν ἀγαθὸν καὶ περ ἔμ' ὄντα μέλει.
οὐ γὰρ ὁμοφροσύνας, δολίας δὲ φρονοῦσι μάχας τε
τοῖσδεσιν, οἷσι φίλη ἀνδάνει ἡσυχίη.
καὶ στόμ' ἀνοίξαντες πλατέως κατ' ἐμεῖο κεχηνὸς,
εὖγ' εὖγ' εὐφροσύνην φασὶ τόδ' ἄμμι φέρει.
ὄμμα σὺ πανδερκὲς, τάδ' ὁρᾷς παγκοίρανε, ἴσχων,
μή τε σιωπήσαις, μήτ' ἀπ' ἐμεῖο φύγοις.
ἔγρευ, ἐμήν τε κρίσιν φίλε δέσποτ' ὀρίνεο κρίνειν,
δεῦρο δικαζέμεναι τὴν θὲ ἐμεῖο δίκην.
κρῖνε δικαιοσύνην κατὰ σὴν ἐμὲ, τὸν τέθ' ἐόντα
τὴν ψυχὴν, καὶ τῆς δῶμα πέλον τὸ δέμας.
μή που εὐφροσύνης ἐχθροῖς τινὸς αἴτιος εἴην,
μήκεν ἐνὶ κραδίαις φαῖεν ἔγεντο καλῶς.
γέντο καλῶς, τύχη ἡμετέρου κρήηνεν ἐέλδωρ,
ἐχθρὸς ἀνὴρ ἐχθροῖς οἷσι κατ' ἄμμι πόθη.
αἶσχος ἀεικέλιον, καὶ ὄρσυθος ἅπαντας ἐπέλθοι,
οἷς φίλον εἵνεκ' ἐμῶν χαιρέμεναι ἐστὶ δυῶν.
δυσκλείην ἐνδύσθωσαν, καὶ ἡ ἐντροπὴ αὐτῶν
τερμιόεσσα, κρύβοι, ἠΰ τε χλαῖνα δέμας.
οἳ μέγα καυχῶνται κατ' ἐμοῦ, καὶ ὑπερκινορέοντες

οὐδὸν

οὐδὲν τὴν νέμεσιν, σὴν τ' ἀλέγουσιν ὄπιν.
αὐτὰρ ἰαινόμενοι φρέσ' ἀγάλλοιντ' αὖτις ἅπαντες,
οἷσι δικαιοσύνης ἐν πόθος ἐστὶν ἐμῆς.
φαῖέν τ' ἀλλήκτως μάλ' ὁ κύριος αἰνετός ἐστι,
εἰρήνην διδόων δμωῒ ἄατον ἑῷ.
σήν τε δικαιοσύνην, καὶ ἔπαινον, ἐν ἕρκει ὀδόντων
γλῶσσα κλεϊξέμεναι μέλλει ὅσημαρ ἐμή.

## ΨΑΛΜΟΣ Λϛ.

### Ὑπόθεσις.

Εὖ καὶ ἐπισταμένως ἦθός τε φύσιν τε φαείνει
πάντων, τοῖς ἀσκεῖν τὴν ἀσέβειαν ἅδει.
θαρσύνων τοὺς εὐσεβέας, θεὸν ἀγκαλέων τε,
ἐν τῷ ἑῷ σώζειν φῦλα τὰ πιστὰ λόγῳ.

Νειόθεν ἐκ κραδίης στοναχὰς παμπολλάκι ἰή-
λας,
φημὶ περὶ τῶν ἀλιτροῦ ἀνδρὸς ἀτασθαλιέων:
ὅττι πρὸ ὀφθαλμοῖιν ἑοῖν φόβον οὐδένα πάμπαν
ἴσχει, ἀενάου τοῦ παρ' ἔγεντο θεοῦ.
ἀλλὰ καλός κε δοκῇ ἵνα, καλλωπίζει ἑαυτὸν
ὢν κακὸς, ἠδ' ἄλλοις μῖσος ἐπ' ὄφρα φορῇ.
ἐξώλης πέλεται, καὶ ψευδέα ὅσσα διδάσκει,
οὔτε διδαχθῆναι βούλεθ', ἵν' ἐσθλὰ ποιῇ.
οὔτε δολοπλοκιέων βαίνων ἀνὰ δέμνια λήγει,
κὰμ κακῇ ἑδραῖος στὰς, δέδιε οὐδὲν, ὁδῷ.
σῆς δὲ φιλοφροσύνης θεὸς ἔμπλεος οὐρανός ἐστι,
σῆς νημερτείης αὐτὰ πλέα εἰσὶ νέφη.

ῥητὰ

ῥητὰ δικαιοσύνης σῆς στερρὰ καὶ ἔμπεδα κεῖται,
χειρὸς ἅτ' ἔργα τεῆς ὑψικάρηνα ὄρη.
καί τινι εὐρυπόρῳ τὰ σὰ κρίματ' ἔοικεν ἀβύσσῳ
σωτῆρος κτηνῶν παντρόφου ἠδὲ βροτῶν.
ὡς πολύτιμον ἔχεις ἔλεος, πτερύγεσιν ἁπάντων
σῇσι πεποιθότων, τοὺς βροτὸς ἔσπορ' ἀνήρ.
οἵτινες οἰνοβαρεῖς ἅτε, σοῦ πιότητι μελάθρου
ἔνθα μεθυσκόμενοι, κἄνθα φοροῦσι κάρη.
σεῖο ποτίζοντος χαράδρῃ σφέας ὑδατοέσσῃ
τῶν σέθ' ἀμοιρούσων λήξιος ἡδονέων.
πρὸς γὰρ σοὶ κρήνη βλύζουσ' ἡ ἀειλιβὲς ὕδωρ,
χ' ὕδωρ τὴν ζωὴν ἐστὶν ἅπασι φέρον.
καὶ φωτισθεῖσιν παρά σου λαμπτῆρος ἀνάρχου,
ὄμμασι φῶς δίδοται ἡμετέροισι δρακεῖν.
ἔκτεινον τὴν σὴν κείνους ἐλεητὺν ἐπ' ἄνδρας,
τοῖς ἔνι εἰδυῖαι σοῦ σέβεν εἰσὶ φρένες.
μὴ ἐπ' ἐμοῦ βαίη τις ἀγηνορίῃσι πεποιθώς,
μὴ κατὰ χειρὶ βάλοι ἤ με ἀλιτρὸς ἀνήρ.
ἀλλὰ σφᾶς αὐτοὺς κατάβαλλε, ἵν' ἀσφαλὲς οὖδον
εὕρωσ', ἡδομένους τοὺς ἄνομ' ἔργα τελεῖν.

## ΨΑΛΜΟΣ ΛΖ.

### Ὑπόθεσις.

Εὐτυχέειν φαύλων ὁπόταν στίφος οὐλοὸν ἀνδρῶν,
δυστυχέειν δ' ἀγαθοὺς ἐν βιοτῆτι βλέπῃς:
τλῆθι ἀνεξίκακός τις ἐὼν τάδε δεινὰ παρόντα,
καὶ πάσης εἶξον τῷ θεῷ ἐκδικίης.

Εἰ καὶ

Εἰ καὶ ἀτασθαλιέων πλείους τινὰς ἄνδρας ἀθρεῖς,
μὴ κότον ἅψειας, καὶ χόλον αἰνὸν ὅμως.
εἰ καὶ ὁρᾷς πολλοὺς νηποίνους αἴσυλα ῥέζειν,
οὐκ ἔμπης φθονέοις εὐτυχίην σφὶν ἐήν.
ὅττι δίκην χόρτοιο τοῦ ἐν λειμῶσι φυέντος,
ὦκα θεριζομένους γνώσῃ ἔραζε πεσεῖν.
καὶ ὡς φυτὰ τὰ χλοερὰ ξηρανθήσονται, ἄμοιροι
καββάσης διόθεν ζωοποιοῖο βροχῆς.
αὐτίκ' οὖν πίστει στιβαρῇ θεοῦ, ἐσθλά τε ῥέξον,
ἥν τε λάχες μεῖνον πατρίδα ναιετάων.
μεῖνον δὴν ναίων γῆν, καὶ βιότευσον ἐν αὐτῇ,
ἐκ καμάτοιο τεῶν εὖ τε καλῶς τε χερῶν.
τέρπεο παντοκράτει ἐπὶ κυρίῳ, ἥδου ἐπ' αὐτῷ,
καὶ πάντων τεύξῃ κῆρ τεὸν ὅσσα ποθεῖ.
πάντα ἐπίτρεψ' ἑοῖ σὰ κέλευθα καὶ ἐλπίδα πᾶσαν,
μηδὲν διστάζων, τῷ δ' ἐπίβαλλε τεήν.
καὐτὸς καλλίστως κατὰ μοῖραν ἅπαντα τελέσσει,
τῶν ῥά τελεσθῆναι ἵκετό τις σὲ χρεώ.
σῆς τε δικαιοσύνης ἄξει προφόως δ' ἀμαρυγήν,
τῆλε φαεινούσης λαμπάδος ὥς τι σέλας.
τοῖς τ' ἀγλαΐης ἐπιβήσει ὅσ' ἔννομ' ὄρεξας,
οἵη τοῦ μέσσου ἤματος ἔμμεν' ἔφυ.
ἀτρέμας ἴσχε θεῷ πίσυνος, καὶ προσδέχου αὐτόν,
μήτε τεῷ ζαμενῆ θυμὸν ἐν ἦτορ ἔχῃς.
τῷ δ' ἐπαλαστήσας, ὅτ' ἀτασθαλέοντας ἂν ὄψῃ
ἄνδρας εὐτυχέειν, κοὔτιν' ὀϊζυὸν ὀχεῖν.
λῆγε χόλου τοῦ γγονόρου καὶ ἀεικέα θυμόν

λεῖπε,

λεῖπε, βαρὺν ζῆλόν τ' ἐξαλάπαζε φρενῶν.
μή κε χολωσάμενος φρεσὶν ἐν σῇσ' ἀΐσυλα καὐτὸς,
καί τινα ἐχθρ' ἔρδων τῷ θεῷ ἔργα, λάθῃς,
ἐξολοθρευθήσοντ' ἀλιτροὶ γὰρ ῥιζόθεν ἄνδρες.
αἴρει γαίηθεν δένδρε' ἅτ' ἲς ἀνέμου.
οἷσι δὲ προσδοκάαν μέλεται τὸν κύριον, οὗ τοι
μέλλουσιν γαίης κληρονόμοι ἔμπεδ' ἔμεν.
τυτθὸς ἔτι χρόνος ἐστὶ, καὶ οὐκέτι ἔσετ' ἀλιτρὸς,
ζητῶν θ' εὑρήσεις οὐκέτ' ἐν ᾧ μιν ἔδει.
τοῖς δὲ ταλαιπώροις ἄνδρεσ' οὔθ' ἀβρὰ παθοῦσι,
δωτίνην ἰδίην γαῖα δοθεῖσα μενεῖ.
εἰρήνῃ θ' ἡσθήσονται ζώοντες ἐν σύντῃ,
τριλλίστῳ τε δέους νόσφιν ἐν ἡσυχίῃ.
δείν' ὁ ἀλιτρὸς ἀνὴρ μὲν ἀπειλεῖ ἀνδρὶ δικαίῳ,
καὶ κακὰ μήδετ' ὀδὰξ χείλεσι φὺς ἐν ἑοῖς.
ἀλλὰ θεὸς γελάᾳ ὁρόων πεπρωμένον ἦμαρ,
τῷγε καταφθίσθαι μέλλει, ἔθ' ἄσσον ἰόν.
ἄνδρες οὐχ ὅσιοι σφετέροις ξίφε' ὀξέα χερσὶ
σπῶσ', ἐντείνουσιν καμπύλα τόξα κακοί.
τοῦ καταβαλλέμεναι, καὶ τῆς βιοτῆτος ἀμέρσειν
τὸν τάλαν', ἀργαλέῃ τειρόμενον πενίῃ.
ἠδ' ὥς τινα βοῦν σφάττειν ἢ οἶν, τὸν ἀμύμον' ἐόντα,
μήτ' ἐν ἑῇς σκολιὸν φρεσὶν ἔχοντα κέαρ.
ἀλλὰ διὰ σφετέρου ἐλάσουσιν ἀτειρέα χαλκὸν
θώρηκος, κραδίας σφὰς διαχρησόμενοι.
καὶ συντριβόμενα πρὸ ποδοῖιν ὄβραζε πεσοῦνται
τούχε' ἀπηλεγέος σφισὶ τὰ τόξα μόρου.

κρεῖτ-

κρεῖττον τῶν μεγάλων κτεάνων, τὰ κακοὶ πολέες περ
ἔλλαχον, ἐστὶ μικρὸν κτῆμ᾽ ὃ δίκαιος ἔχει.
τοῦ γὰρ δυσσεβέος βραχίων κλασθήσετ᾽ ἀτειρὴς,
τὸν δὲ δίκαιον ἀεὶ σώζει ὁ πάντα κρατῶν.
οἶδε, καὶ ἐνδυκέως φρεσὶ κήδεθ᾽ ὁ κύριος ᾗσι,
τοῦ τῶν ἀψεγέων ἤματα πάντα βίου.
τοῖσιν ἀεὶ σφέτερος μενέει ἀναφαίρετος ὄλβος,
τοῖσι παρέσσεθ᾽ ὅσων κληρονόμ᾽ εἰσὶν, ἀεί.
οὔτε τύχης γὰρ ἐν ἀργαλέης ποσυπενθέϊ καιρῷ,
γεύσοντ᾽ αἰσχύνης δειλοὶ ἀεικελίης.
καὶ λιμοῦ ποτὲ μαινομένου κεκορημέν᾽ ἐδωδῆς,
αἰσθήσοντ᾽ εὐκτῆς ἐν φρεσὶ γηθοσύνης.
ἐῤῥόντων καὶ τηκομένων τότε πένῃ ἀλιτρῶν,
οὐκ ἀποσβύνοντος καί σφισι τκύδε θεοῦ.
ἀνθοῖεν καθάπερ βῆος᾽, οἱ θεῷ ἄνδρες ἀπεχθεῖς
μηδαλέαι, ποταμοῦ ἄγχι καλοῖο ῥόων.
εἴησαν κλεινοὶ, καὶ ἀοίδιμοι, ὑψίθρονοί τε,
κύδεϊ γαίοιεν, κάρτος ἔχοιεν ἅπαν.
αὐτίχ᾽ ὅμως καπνοῖο δίκην ἀφανόιο, ἄοπλοι
ἔσσονται, ζοφερὸν βησάμεν᾽ εἰς ἀΐδην.
πολλὰ δανείζεθ᾽ ἀνὴρ ἀσεβὴς, ἀπὸ δ᾽ οὔτι δίδωσι,
χρηστὸς δ᾽, οἰκτίρμων θ᾽ ἔσθ᾽ ὁ δίκαιος ἀνήρ.
οὕς τινας εὐλογέει, φίλ᾽ ἑοὶ καὶ ἐσθλὰ φρονοῦντας,
κεῖνοι πατρῴων κτήτορές εἰσι πέδων.
οἷς δὲ καταρᾶται οἱ λυγρὰ καὶ ἐχθρὰ φρονοῦσιν,
ἐκβληθήσονται τῶν σφετέρων κάχ᾽ ὅρων.
οὐρανόθεν τοίου ἰθύνεται ἴθματα ἀνδρὸς,

τοι-

τοιούτοιο θεῷ εὔαδεν ἀνδρὸς ὁδός.
κἄμ ποτε πέπτῃ μὴ ἀπορριφθήσεται ἔμπης.
λαζομένοιο φίλης εὐθύς ἐ χερσὶ θεοῦ.
παῖς τυτθὸς γενόμην, γενόμην νεηνίσκος ἀγαυὸς,
νῦν δὲ γέρων κυφὸς καὶ πολύπειρος ἔω.
οὐδέ ποτ᾽ ἡλικίης πρώτης ἄπο, γήραος ἄχρι
ἐγκαταλειφθῆναι ἄνδρα δίκαιον ἴδον.
βρώσιος, ἢ παῖδας τοὺς αὐτοῦ, ἐόντες ἀμοίρους,
ζητεῦσ᾽ ὡς δέκτας ἄρτον ἔδεσμα βροτῶν.
οὐδέποτ᾽ εὐποιῶν ἀποπαύετ᾽, ἐὼν τ᾽ ἐλεήμων,
καὶ τὸ ἔθ᾽ εὐλογίης ἔμμορόν ἐστι γένος.
παύεο ἔργα τελῶν ἀθέμιστα, δίκαια δὲ ῥέζε.
ὣς τὰ λάχες σώσεις, καὶ σάος αἰὲν ἔσῃ.
ἐν πραπίδεσσι γὰρ ἧς ὁ θεὸς τὰ θέμιστα φιλήσει,
ἐν ξύμπαντι παρῶν οἷς ὁσίοισι χρόνῳ.
αἰῶν᾽ αὐτὸς ἐπεὶ ἐς ἀτέρμονα τούσδε φυλάσσει,
ἄρδην τῶν ἀσεβῶν ἐξολοθρευομένων.
πάντα δικαιοσύνην μετιόντες οἱ ἄνδρες ἐν αἰεὶ
ἤματα, κληρονόμοι τῆς, κατέχουσι δόμους.
τὴν σοφίην ἐπιτηδεύει στόμα θ᾽ εἷο δίκαιος.
ἔννομά θ᾽ ἡ αὐτοῦ κρίματα γλῶσσα λαλεῖ.
ἄχραντον νόμον οἷο θεοῖ ὑποκάρδιον ἴσχει,
οὔτ᾽ ἂρ ὀλισθαίνων βήμασι λήθει ἑοῖς.
καὶ λόχον ἐντύνει ὁ κακὸς, καὶ κῆρα φυτεύει,
τῷ ἀντιχομένῳ ἀνδρὶ δικαιοσύνης.
ἀλλὰ θεὸς παλαμῶν αὐτοῦ μιν ἀπαίνυτ᾽ ἀπηνῶν,
οὔτε κατακρίνει κρινομένοιο μόρον.

προσδοκόων θεὸν ἴσθι, καὶ αὐτοῦ ἄοκνος ἐν οἴμῳ
　μίμνε, διὰ ξυνόλου σοῦ βιότοιο θέων.
καὐτὸς ἐϋκλείης σ᾽ ἐπιβήσεθ᾽ ὑπείροχα πάντων,
　ὅππως κληρονομῶν τὴν χθόνα δῆλος ἔῃς,
καὶ σὺ θεοστυγέων ἀνθρώπων δύσμορα φῦλα
　φθίσθαι, ἀπὸ χθονίων αἰρόμεν᾽ ὄψει ὅρων.
αὐτὸς ἐγὼ μεγαλιζόμενον πλέον ὕβριος ἄνδρα,
　κεὐθαλῆ ὡς δάφνην, ἔσθ᾽ ὅθ᾽ ἑώρακ᾽ ἐμόν.
εἶτα παρῆλθον ὁρᾶν, ὁ δ᾽ ἀπώχετ᾽ ἄϊστος ἄοπτος,
　ζήτουν ἑ, ζητῶν δ᾽ οὐδαμόθ᾽ εὗρον ἔτι.
ἴσθ᾽ ἄκακος, καὶ ἀμώμητος, καὶ ἰθυκέλευθος,
　ὄλβιος εἰς τὸ τέλος τοῖος ὅτ᾽ ἔσσετ᾽ ἀνήρ.
ἀλλὰ νόμους θείους παραβάντες ἀτάσθαλοι ἄνδρες,
　λήψονται σφετέρης ἆθλα παραιβασίης.
πάντες ἀπολλύμενοι ἅμα τοῖς ἀσεβέεσιν, ἄφυκτον
　τοῖσι παρ᾽ οἴσει ἐὸν πᾶσ᾽ ὄλεθρον τὸ τέλος.
τοῖς δὲ δικαίοισιν θεός ἐστι βοηθόος, ἀτέων
　ἢν ὀϊζυρῆς ἀντιόωσι τύχης.
σφᾶς ὑπερασπίζων ἐν πάσῃ δηϊότητι,
　καὶ πύργος, χαλκοῦν καί σφισι τεῖχος ἐών.
χραισμήσει τ᾽ αὐτοῖς, καὶ ῥύσεται ἐγγύθεν ἐλθών,
　ἐκ λυγρῶν αὐτοὺς θυμοβόρων τε δυῶν.
ῥύσετ᾽ ἀπ᾽ ἀνθρώπων αὐτοὺς ἠδὲ χειρὶ βεβήλων,
　ὅττι πεποίθησαν κηρόθι μοῦνον ἐοί.

ΨΑΛ.

## ΨΑΛΜΟΣ ΛΗ.

### Ὑπόθεσις.

Ψυχῆς ἅπερ ἀκμάτῳ πυρὶ ὀστέα καίετ' ἐκεῖνος,
ἔργ' ἄνομ' ὅστις ἑοῖ πολλὰ σύνοιδεν ἀνήρ.
οὐ χρὴ ἀνέλπιστόν μιν ὅμως ἔμεν, ἀλλὰ πεποιθεῖν
συγγνώμην ἀλιτροῖς τῷ παρέχοντι θεῷ.

Καίπερ ἁμαρτοσυνέων τόσσῳ βεβαρημένος ὄγ-
οὐ πάνυ συγγνώμης ἄξιός εἰμι τεῆς· (κῳ
μή συ ὅμως ἀκίχητε θεὸς, καὶ ὑπέρτατε πάντων,
μή σύ με θυμωθεὶς κύρει ἔλεγξον ὅμως.
μήτ' ἐμὲ παίδευσον φρεσὶν ἐν σῇς αἰνὰ χολωθεὶς,
ὡς ἄρ τις ζαμενὴς ἠδὲ δύσοργος ἐών.
οἷς γὰρ ὀϊστεύσας μου δυστήνοιο βελέμνοις,
ταῦτ' ἔτι δειλὸς ἐμῆς ἔνδοθι σαρκὸς ἔχω.
καὶ με βαρεῖα σέθεν χεὶρ νυστάζοντα πιέζει
σφόδρα, τιν' ὡς ὤμοις ἀχθοφοροῦντ' ἐφ' ἑοῖς.
οὐδὲν ἔτ' ἐν ξυνόλῳ ὑγιὲς τῷ σώματι ἴσχω,
σοῦ καταπλησσόμενος πρὸς φοβεροῖο χόλου.
οὐδέ τοι εἰρήνη τις ἐμοῖς, καὶ παύλη ἐν ὀστοῖς
ἐστὶ, τοίων τε τόσων θ' εἵνεχ' ἁμαρτιέων.
κρατὸς γὰρ καθύπερθεν ἐμοῦ κεῖτ' ὄγκος ἀτειρὴς
τῶνδε, καὶ ἐκπάγλως αὐχένα τρύχει ἐμόν.
ὡς δ' ἑῆς ῥώμης ἄχθος τις κρεῖττον ἀείρας
κάμπτεται, εἰό τ' ἄφαρ γοῦνατ' ἔραζε ῥέπει·
ὡς βεβαρηότ' ἐγὼ τῷ σώματ' ἔραζε, καὶ αὐτὸς,
εἵνεκ' ἀμπλακιέων βρίθεϊ, κλίνομ' ἐμῶν.

ὠτειλὰς λάβε σῆψις ἐμάς, ὀσμή τε δυσώδης,
    εἵνεκεν ἀφραδίης, εἵνεκ' ἐμῆς ματίης.
ὄμμα κάτω τείνω, κυφός τε τὸ σῶμα βαδίζω,
    ἔν τε κατηφείῃ ζῶ παρὰ πάντα βίον.
πάγχυ κατεσκληκὼς φθινύθω τὰς ὀσφύας αὐτάς,
    οὐδέ τι χρωτὸς ἐμοῦ ἄφθιτόν ἐστι μόρος.
οἷα κατεκλάσθην, καὶ ἅπαντα σὺν ὀστέα τρίφθην,
    δείν' ὠρυόμενος, κῆρ τε βαρυστενάχων.
κύριε τιὼν ἡ ἐμὸν ξύμπαν φίλ' ἐπίστασ' ἔελδωρ,
    κύριε σὺ στοναχῶν οὐκ εἶ ἄϊδρις ἐμῶν.
ἐν φρεσὶ κῆρ τρομέει, μένος ᾤχετ', ἐπ' ὄμμασιν ἀχλὺς
    κεῖται, ἅτε δνοφερῇ νύκτ' ἐνὶ μηδὲν ὁρῶ.
οἱ ἕταροι, οἱ ἐμοῦ ἄγχιστ' ἄπερ ἐκγεγαῶτες,
    ἵστανται πληγῶν ἀντιπρόσωποι ἐμῶν.
οἵ τε τὸ πρόσθεν ἐμοὶ ἀθρό' εἰώθασι πελάζειν,
    νῦν ἑκὰς εἰσὶν ἐμοῦ νόσφι λιασσάμενοι.
καὶ οἱ ἐμῇ ψυχῇ μάλ' ὀλέθρια μητιόωντες,
    τείνουσι κρυφίους ποσσὶν ἐμοῖσι βρόχους.
οἵ τε μενοινῶντές μ' ὀλοφώϊα ἐν σφετέρῃσι
    φρεσσί, δολορραφιέων σφῶν πὲρ ἱεῖσιν ἔπη.
μοῦνον ἐθιζόμενοι ἀπατήλια πάντοτε φάσκειν,
    μοῦνον ὑφαινέμεναι ψεύδε' ἐθιζόμενοι.
αὐτὰρ κωφῷ ἐμὲ προσεοικότα, μηδὲν ἀκούειν,
    χ' ὡς ἄλαλον γῆρυν μηδεμίην χρὴ ἵειν.
δεῖ ἐμὲ κωφὸν ἔμεν, νῆϊν τιν' ἅτ' οὔασι χρῆσθαι,
    καὶ σιγᾶν ἀπόρως ὥς τιν' ἔχοντα λόγων.
ἀλλά σε προσδοκόω, σοὶ ἐπ' ἔλπομαι ὦ θεὸς οἴῳ,

καὶ

καί σὺ τεοῖσιν ἐμὰς δέξεαι ὠσὶ λιτάς.
αἰεὶ γὰρ πορφύρει ἐμοὶ τόδ' ἐνὶ φρεσὶ θυμός,
αἰεὶ γὰρ τοὐμὸν δείδιε τοῦτο κέαρ.
μή κεν πως ἐπ' ἐμοὶ χαίρωσ' ἀλιτήριοι ἄνδρες,
μή κεν ἐμῇ λύπῃ δυσμενέων ἦδος ἔῃ.
εἰ γὰρ ὀλισθήσω σφαλερῷ πόδ', ἄφαρ κατ' ἐμεῖο
δεινά κεν εἴποιεν γαυριόωντες ἔπη.
τοὔνεκ' ἐπεὶ γενόμην, ἵνα κεν κατὰ μυρία τλαίην,
κἀμοὶ ἐν ὠπὶ ἀεὶ ἐστι τὰ ἄλγε' ἔχειν.
ἀμπλακίας γὰρ ἐμὰς καὶ ἀτάσθαλ' ἀπ' ἔργα καλύπτω
τῶνδε ἁμαρτιέων κάρτα λογίζομ' ἐμῶν.
οἱ δ' ἐμοὶ ἐχθροὶ ζῶσιν, χ' ὑπερήφαν' ἔασι,
καὶ μέγα τοῖς μισοῦσ' εἰκῆ ἔμ' ἐστὶ κράτος.
οἵ τε μοι ἀντ' ἀγαθῶν πολλῶν ἀπὸ λυγρὰ διδοῦσιν,
οὕθ' οἱ ὑβρίζοντες τλήμον' ἔασιν ἐμοί.
οὕνεκ' ὀδὰξ ἀντίσχομ' ἀεὶ ἀγαθοῦ τε καλοῦ τε,
καὶ πλεῖστον ποιῶ τοῦ νομίμοιο λόγον.
μή με φίλ' ἐγκατάλειπε θεός, μὴ κίει ἐμεῖο
ὕψιστ', ἐν τόσσαις τηλόθι ἴσθι δύαις.
ἀλλ' ὑπερασπιστὴς μέλλων καὶ ἀρωγὸς ἔμ' εἶναι,
σπεῦσον ἐμοῦ ταχέως πάμμορου ἄοσσον ἴμεν.

## ΨΑΛΜΟΣ ΛΘ.

### Ὑπόθεσις.

Θαλλέμεν ἀνθρώπους ἀδίκους καὶ ἀσινέας εἶναι,
κἄυθις ὀϊζυέμεν τοὺς ἀγαθοὺς θάμ' ὁρῶν:
εὔχεθ' ἑκὼν δεσμοῖς γλῶσσαν ἀλύτοισι δεθῆναι,

μή τι βλασφημῶν ἐχθρὸν ὄρῃ κε θεῷ.

Τοῦτο φρονῶν ἐντεῦθεν ἐμὸς ψηφίσατο θυμὸς,
εὐλαβέεσθ' ἵνα μὴ οὐχ ὅσιόν τι λέγω.
γλώσσῃ ἁμαρτήσας τῇ ἐμῇ, στόμα δ' αὐτὸ χαλινῶν
κλείσω, ὄφρ' ἄνδρες ἐμοῦ ἐγγὺς ἔασι κακοί.
σιγῶ ἀκὴν ἴσχων, ἀγαθόν τε δὴ οὔτι γεγωνῶν,
καὶ λυπρὴν ἄνεως τὴν φρένα δάπτομ' ἄχει.
ὡς πυρσὸς κραδίῃ ἀνεκαύθη στήθεος ἔνδον
ἡμοῦ, ἀναίθομ' ἅπας ὁσσάκις ἔν τι νοῶ.
τῷ γλώσσης ἀλύσεις αὖθις, καὶ ἄμματα ῥήξας,
τοῖον ἵημ' ἀπ' ἐμοῦ ἀνθερεῶνος ἔπος.
γνώρισον ὦγαθ' ἐμοὶ τόδε κύριε, καὶ με δίδαξον,
ὅττι ἐμοὶ ἔσεται τοῦ βιότοιο πέρας.
καὶ τὸν ἀριθμὸν ἐμῶν τῶν ἡμερέων μοι ἔνισπον,
ὄφρ' εἰδῶ προλιπεῖν τὴν χθόν' ὅταν με δέῃ.
ἠνίδ' ἐμοὶ ζωῆς ὡς ἤματα παῦρα χορηγεῖς.
καὶ γὰρ ἅπαντα μόγις δῶρον ἔν εἰσιν ἔτη.
χ' ἡ ἐμέθ' ἡλικίη προπάροιθε σέθ' οὐδὲν ἐοῦσα,
σμικροτάτῃ καιροῦ πρός τιν' ἔοικε ῥοπῇ.
αἲ αἲ ὡς κενεὸν θνητὸς πᾶς χρῆμα τέτυκται,
εὔελπίς περ ἀεὶ, ἠδ' ἀμέριμνος ἐών.
ὡς σκιὴ αἰφνιδίως τις ἀποιχόμενός τε καὶ ἔρρων,
τηΰσίως τ' αἰνοῖς ἄλγεσιν ἦτορ ἔδων.
χρήματα σωρεύει μογέων νύκτας τε καὶ ἦμαρ,
οὐκ εἰδὼς τάδε τίς μέλλῃ ἀνὴρ κε λαχεῖν.
νῦν δὲ προσδοκίη τίς ἐμοὶ ὑπόλοιπος ἔτ' ἐστὶ
κύριε; σοὶ ἐφ' ἅπασ' ἐλπὶς ἐκλύθη ἐμή.

ἐξελ

ἔξελ' ὑπερβασιῶν, καὶ ἀλιτροσυνέων ἐμ' ἁπασῶν,
μή τε γέλωτα βροτοῖς ἄφροσ' ἔασόν ἐμεν.
σιγήσω ἀκέων, κἄμφω τὼ χείλεε κλείσω,
ὅττι σὺ ποιήσεις τὰ χρεὼ ἐστι ποιεῖν.
λῆγέ με μαστίζων σῇ χειρί με παύεο τύπτων,
ἧς ὑπ' ἐμὸν τὸ μένος πᾶν ἀπόλεσσα δαμείς.
ὅντινα σὺ στυγερῆς ἐφ' ἁμαρτοσύνῃσι κολάζεις,
τῷ σητόβρωτον κάλλος ἅτ' ὄλλυθ' ἅπαν.
ὡς πᾶς ἄνθρωπός τι μάταιον χρῆμα τέτυκται,
χ' ὁ ὢν, χ' ὁ γεγονὼς, χ' ὁ ἔτι ἐσσόμενος.
σὺ χάων ἐπάκουσον ἐμῶν, δέξαι τε δεήσεις,
καὶ μὴ σίγησον δακρυχέειν ἐμ' ὁρῶν.
ὅττι ἔπηλυς ἐγὼ καί τις σέθεν εἰμὶ πάροικος
πρόσθε, καθὼς οἱ ἐμοὶ ἔσθ' ὅτε πάτρες ἔσαν.
λῆγε δαρβων ἐμ', ὅπως κεν ἀναψύξεια φίλον κῆρ,
πρίν με ἀποίχεσθαι, καὶ μὴ ἔτ' ἐνθάδ' ἔμεν.

## ΨΑΛΜΟΣ Μ.

### Ὑπόθεσις.

Αὕτη τοῦ Χριστοῦ τοῦ ἀδημονέοντος ἰωὴ
ἐστὶν, τοῦ ψάλτης τοῖσδ' ἐνὶ γέντο τύπος.
εἴ τις τηκεδανῶν δίζητ' ἄμπαυμα μεριμνῶν,
τοίην καὶ αὐτὸς πρὸς θεὸν ὄσσαν ἀφοί.

Προσδοκόων θυμῷ κρατερόφρονι κύριον ἤμην,
ἀλγεινόν περ ἔχων δυστυχίῃσι κέαρ.
κ' αὐτὸς ἑκὼν, κατιὼν ἀπὸ ἀστερόεντος ὀλύμπου,
μειλιχίως πρὸς ἐμὰς κλῖνεν ἔθ' ὦτα λιτάς.

εἰς τ' ἤκουσεν ἐμῆς τάχα, καὶ ξυνέηκεν αὐτῆς,
ἐγκαταλειπέμεναι οὐκ ἐμὲ δηθὰ θέλων.
ἀλλά με ἐξ ἀχανοῦς βορέθρου, καὶ βένθεος αἴης
ἀπάορσε, πολυκλύστοις κύμασι κευθομένου.
ἔκ τε ὀλισθηροῦ καὶ τέλματος ἰλυόεντος
εἵλετ', ἐμοὺς σφαλεροὺς τ' ἠσφάλισ' αὖτε πόδας.
καὶ σφέας αἰπεινὴν κρατερήν τ' ἐπὶ εἵσατο πέτρην,
μή κεν ὀλισθοῖεν, μή κε πέσοιεν ἔτι.
καὶ στόματ' ἐμβάλλων καινήν μ' ὑπεθήκατ' ἀοιδὴν,
ἥ κεν ᾖ ἡμετέρου ἡδὺ θεοῖο γέρας.
ὀφθαλμοῖς πολλοὶ σφετέροις μέλλουσι τόδ' ἀθρεῖν,
καὶ διὰ τοῦτο φοβεῖσθ' ἀρχέμεν αὐτὸν θεόν.
εἰς τ' αὐτὸν κραδίῃσιν ὅλαις ἐλπιζέμεν οἷον,
θεορρήτου πίσυνοι ῥήματος ἀγγελίῃ.
τρισμάκαρ ὅστις ἀνὴρ ἐπὶ κύριον ἐλπίδα θῆκε
παγκρατῆ, οὐδὲν ἄτερ πιστὸν ἐκείνου ἔχων.
μή τε ματαιόφροσι προσομιλεῖ, ἰδ' ὀφρυόεισι,
τοῖς τε μὴ ἀτρεκέων εἰδόσιν ἀνδράσ' ἐπῶν.
ὡς μέγας, σύ τ' ἔργοις μάλα θαυμαστοῖς τε, σοφοῖς τε,
σύ τε νοήμασ' ὁμοῦ κύριε σοῖσι μέλῃ.
ὡς εὐεργετέεις ἡμᾶς θεὸς ἄφθον', ὅμοιον
μηδένα ἐν γαίῃ, μηδ' ἐν αἰθέρ' ἔχων.
κηρύξω εὐεργεσίας σὰς ἀγγελέω τε,
εἰ καὶ τάσδε λαβεῖν οὔτις ἀριθμὸς ἔφυ.
προσφορὴ οὐδεμίη, θυός τε σοι ἀνδάνει οὐδὲν,
οὐδ' ὁλόκαυστα, χ' ὑπὲρ σφαττόμεν' ἀμπλακιῶν.
ἀλλὰ τὰ κωφὰ πάρος, καὶ συγκεκλεισμέν' ἀνοίξας

οὔατ'

οὖατ' ἐμοὶ, εἰσαΐειν σῶν με διδάξας ἐπῶν.
καὶ τότ' ἔειπον ἐγὼν, ἰδοὺ ἔρχομαι οὗτος ἐὼν δή,
τοῦ πέρι ἐν ζαθέῳ γράμματ' ἔνεστι βίβλῳ.
καὶ τόδ' ἐμὸν τὸ θέλημα σῷ ἔστι θελήματ' ἕπεσθαι
ὦ θεὸς, ἔντε μέσῳ σὸν νόμον ἦτορ ἔχειν.
σῆς ἢ δικαιοσύνης κήρυξ ἐν ὁμηγύρει ἱρῇ
παμπόλλων ἔσομαι, παντοδαπῶν τε λεῶν.
κύριε γὰρ σὺ ἐπέγνωκας, σὺ ἐπίστασ' ἀκούσας
σὺ τόδ', ὅτ' οὐκ ἀνέως τὸ στόμα μέλλω ἔχειν.
οὔτε δικαιοσύνην κρυβέειν σὴν στήθεος ἐντὸς,
οὔτε τεὴν κεύθειν σιγῇ ἐτητυμίην.
οὔτε φιλοφροσύνης πολλοῖς σωτηρίου οὔσης,
σιγάσω ἐν μεγάλῃ σῆς πέρι ὂν ἀγύρει.
ἀλλὰ σὺ οἰκτιρμοὺς ἀπ' ἐμοῦ μὴ τηλόθι ἴσχῃς
τοὺς σέθεν, ὦ πάντων κύριε κῦρος ἔχων.
μᾶλλον δ' ἀτρεκίην κατὰ σὴν, ἐμέθ' ἀντιλάβοιο,
τήν τε τέλους οὖσαν νόσφ' ἐλεημοσύνην.
μυρία γάρ με περὶξ καὶ ἀριθμοῦ πλείονα παντὸς
πήματ' ἔχει, λυπρὸν τοῖσι βέβριθε κέαρ.
τοσάτιόν τε ἐμῶν με λάβεν νέφος ἀμπλακιάων,
ὥστε με ὡς ἀλαὸν μηδὲν ἔτ' ὄμμασ' ὁρᾶν.
ῥᾷον γὰρ κεφαλῆς τρίχες ὅσ' ἐπὶ τῆσδε κεν εἰσὶν
εἴποιμ', ἢ ἀνόμως ἤλιτον ὅσσα νόῳ.
καὶ μοῦ ἡ κραδίη ὡς τεθνειῶσά με πάμπαν,
κάλλιπεν, αἵτε νοαὶ οὐδὲν ἔτ' εἰσὶ φρένες.
ὄφελον ἡδομένῳ τόδε σοὶ καταθύμιον εἶναι
κύριε, τοσσαύτης λῦσ' ἐμὲ ἀμηχανίης.

ὦκα θεὸς θείων αὐτοσχεδὸν ὄρχευ ἐμεῖο,
καί μοι ἀρηξόμενος, καί με σαωσόμενος.
αἶσχος, ἐλεγχείην καταχεύοι ἀεικέα πάντων,
ὅσσοι ἐμῇ ψυχῇ ἀρτυνέουσι λόχον.
καὶ λάθρῃ ζωῆς ἐμὲ μητιόωσιν ἀμέρσαι.
οὔτ' ἂν ἐμοῦ σφετέρῃ κρέττονες ὦσι βίῃ.
καὶ τῶν δ' εἰς τὸ ὀπίσσω ἅπαντ' ἀτέλεστα φέροιτο,
τῶν ἐρρόντος ἐμοῦ ἡδὺ γέγηθε κέαρ.
καὶ καταπληχθείησαν ἄφαρ τὸ πρόσωπον ἐρυθροί,
οἱ φάμενοι ἔτυχον τῶν ἐδέεσκε τυχεῖν.
ἔμπαλιν αὖ τέρποιντο κατὰ φρένα καὶ κατὰ θυμόν,
οἱ διὰ σύμπαντος διζόμενοί σε βίου.
χ' οἱ σωτηριέων τῶν σῶν τελέθοντες ὀαρισταὶ
οὐ παυθείησαν τοῖον ἰόντες ἔπος:
πᾶσα θεῷ τιμή, κῦδος πᾶν, πᾶσά τε δόξα
εἴη ἐν ὑψίστοις θῶκον ἔχοντι δόμοις.
καὶ γὰρ ἐγὼ βρώμης τητώμενος ὥσπερ ἐπαίτης
πλάζομαι, ἀλλὰ θεὸς φροντίδ' ἐμοῦ πέρ' ἔχει.
τύνη λυτρωτὴς, τύνη μοι κύδιε σωτὴρ
ἐσσὶ, βοηθήσων ἐλθὲ τάχ', ἐλθὲ δραμών.

## ΨΑΛΜΟΣ ΜΑ.

### Ὑπόθεσις.

Ταῦτ' ἄρα τοῦ χριστοῦ καὶ αὐτὰ τὰ ῥήματ' ἂν εἶναι
πατρί τις ἀϊδίῳ εὐχομένοιο, λέγῃ.
ὠμοφρόνων γὰρ ἔθεν ῥυσθῆναί ἑ εὔχετ' ἀπ' ἐχθρῶν,
κεἰς βίον ἀχθῆναι ἐκ θανάτοιο πάλιν.

Ὄλβιος

Ὄλβιος ὃς κομιδῆς κεχρημένον ἄνδρ' ἐλεαίρει,
καί μιν ὀϊζυρῆς λύει ἀχρημοσύνης.
τοῦτον ὅταν ποτ' ὀρίπνουστοι ἐπέρχωσιν ἀῆται,
τῆς τε τύχης σφαλερὸς δινῇ ἅπαντα τρόχος·
τοῦτον ἐπιβλέψας ἐνὶ λυγρῷ ὁ κύριος αὖθις
ἤματι, δυστυχέων ῥύσεται ἐκ καμάτων.
καί μιν τηρήσει, ζωῆς τε λαχόντα σαώσει
δηναιῆς πάντων χωρὶς ἄνευθε πόνων.
οὔτ' ἄρα τοῖς ἐχθροῖς ὑποχείριον ἀνδράσι δώσει,
οὔτε γενέθλ' ἐάσει τοῖς δηΐοισιν ἕλωρ.
κἄντε ποτ' ἀῤῥωστῇ ἐπὶ κοίτης κείμενος, ἀλκῆς
ἄμμορος, ἀργαλέοις σῶμα νόσοις τε δαμῇ·
αὐτὸν ἀναζήσει θεὸς ἔμπαλιν, ἔμπαλιν αὐτὸν
ἐκ κλίνης ἐγερεῖ σῶον ἔχοντα δέμας.
τῷ ῥα βαρυστενάχων παμπολλάκι κύριε εἶπον,
κἄμ' ἐλέαιρε τόσον κάρτος, ἰδ' ἰσχὺν ἔχων.
ἴασ' ἐμὴν ψυχὴν τὴν ἀῤῥωστοῦσαν ἀεικῶς,
ἧθ' ἡ ἀτασθαλιέων σοῦ κατ' ἔνεστι νόσος.
οἱ κάκ' ἐμ' ὀσσόμενοι μάλ' ἐμοῦ πέρι ἐχθρὰ λέγουσι
ὧδε, πότ' εἰς ἀΐδου δῶμα κάτεισι θανών;
καὶ πότ' ἄϊστος, ἄπυστος, ἀνώνυμος, οἴχετ' ἀπ' αἴης,
τῆσδ' ἐπιλειψάμενος μνῆσιν ἔθ' οὐδεμίην;
καὶ πρὸς ἔμ' ἔρχονται, καθάπερ τι θέημα θεωρεῖν
βουλόμενοι, ψυχῆς ἄλγος ἄτλητον ἐμῆς.
ἀλλ' οὐκ ἐκ κραδίης με ἀκιβδήλοιο φιλοῦσιν
οὔτι, τόδ' ἔρδοντες, δῆλοι ἔασιν ὅμως.
ζητοῦσιν γὰρ ἰδεῖν, τό κε μωμηθῶσιν ἰδόντες,

χ' ᾧ μομφῆς δοκέῃ ἄξιον ἄν τιν' ἔμεν.
καὶ τὸ θύρας παραμειψαμένοις λεχαζέμεν αὐτοῖς
ἔνθα καὶ ἔνθα, πολὺς καὶ μέγας ἐστὶ πόνος.
ψιθυρίζουσιν κατ' ἐμοῦ, ὁπόσοισιν ἀπεχθὴς
εἰμὶ, φυτεύοντες κῆρά μοι ἠδὲ μόρον.
καὶ δὴ καινοτάτην τινὰ δ' ἔντυον ἄμμιγα μῆτιν,
κείμενος ἀνστῆναι οὐχὶ δυνήσετ' ἔτι.
πρὸς τούτοις ὁ ἑταῖρος ἐμὸς, τὸν πλεῖστον ἁπάντων
πιστά μοι ἡγεόμην, χ' ὡς φίλῳ ἐσθλὰ φρονεῖν,
χ' ὃς σύσσιτος ἐμὸς γεγονὼς, κατεδαίνυτ' ἐδωδὴν
τὴν δ', ἣν αὐτῷ ἐμοὶ ἦε συνήθες ἔδειν:
λὰξ ἐπιβὰς νώτοις ἐπ' ἐμοῦ, πτέρνῃσί με κόπτει,
καὶ τοὐμὸν πατέει ποσσὶν ἐοῖσι κάρη.
ἀλλὰ σὺ ἵλαθ' ἐμοὶ φίλε κύριε, κἀμὲ σάωσον
ἀχνύμενον, τόσσαις τειρόμενόν τε δύαις.
ἵλαθ' ἐμ' οἰκτίζων ἐμὲ, καὶ ἐπέγειρον ἔμ' αὖθις,
καί σφι κακὰ σφετέρων δώσομαι ἀντὶ κακῶν.
τῷ δ' ἐῢ γινώσκω καὶ ἐπίσταμαι, ὅττι σ' ἀρέσκω,
ὅττ' οὐ χάρμ' ἐπ' ἐμοὶ ἐχθρὸς ὀχήσει ἀνήρ.
αὐτὰρ ἐπεί με δολοπλοκίης τ' ἀπάτης τε ἄπειρον,
καὶ κακίης ἀπλοῦν, σὺ ἄτερ οἶδας ἔμεν:
ἀχνύμενον σώζεις με κακῶν ἐκ δειλὸν ἁπάντων,
κἀμὲ πάροιθε τεοῦ ὄμματος ἵστασ' ἀεί.
κύδιστος πάντων ἐς αἰῶνας ἀλληγέας εἴη
κύριος, ὁ κλεινοῦ Ισακίδαο θεός.

ΨΑΛ-

# ΨΑΛΜΟΣ ΜΒ

## Ὑπόθεσις.

ζασίμερον, πόθον ὅσσον ἔχει πρὸς κύριον ἄναξ,
διψαλέου δηλοῖ ἡ ἐλάφοιο φύσις.
αἰνοπαθῶς κατὰ θυμὸν ἔχων τὸν θέσφατον αἰτεῖ,
νηπενθὲς λυπῶν φάρμακον ὄντα, λόγον.

Ὑψικέρως ἔλαφος καθάπερ ποθέῃ ὕδατος αἰνῆ,
πάντ' ἀνὰ καρπαλίμοις ἄλκεα ποσσὶ θέει.
ἐλδόμενος σβέσσ' ἀζαλέην ἐπὶ πίδακι δίψαν,
καὶ φίλ' ἀναψύχειν γυῖά τι νᾶμα κιχών:
ὣς σου ἐμὴ ψυχὴ ἱμείρεται ὦ θεὸς αἰνῶς,
ἔνθα τρέχουσα σέθεν σφοδρῶς ἰδ' ἔνθα πόθῳ.
ψυχὴ ἐμὴ διψᾷ σε θεὸς βιοτήσιον ὕδωρ
ἴσχοντ', ἀένναόν τ' οἷον ἐόντα τεόν.
πηνίκα γηθόσυνος κεῖσ' ἵξομαι ἔνθεν ἀπάρας,
ἧχί μοι ἐξέσται τοῦ θεοῦ ὄμμα δρακεῖν;
λυπρὸς ἐμοὶ γίνεται τὰ πανήμερα καὶ νύχι' ἄρτος
δάκρυ' ἀπὸ γληνῶν πολλὰ ῥέοντα χαμαί.
ἐν τῷ ὀρέειν πρὸς ἐμὲ στυγνῶς ὑπερκύδεας ἄνδρας,
οὐ λάτρεις ἐσσί, τεὸς νυνὶ ποῦ ἐστὶ θεός;
τοῦ μιμνησκόμενος μύθου, τὸ κατ' αὐτίκα δειλὴν
ἐκ πραπίδων ψυχὴν αὐτὸς ἔραζε χέω.
ὡς μεγάλως τι ποθῶ, θεοδέγμονι λαῷ ὀπηδῶν,
οὐδας ἀμείψασθαι σοῦ ζαθέοιο δόμου.
ὡς ἐπιθυμοῦμαι ἀΐειν ἀριηχέας ὄσσας,
ἄσμασιν ὑμνούντων ἐμμελέεσσι θεόν.

ξυνὸ

ξυνόν θ' ἅμα κληΐζειν ἑστὼς μὴν ἐν ἠχήεντι ἐσμῷ,
τῶν προσκυνεόντων οἱ νόερ' ἱρὰ φρενῶν.
τί ψυχὴ περίλυπος ἐμή; τί μάλ' ἐστὶ κατηφὴς
κυμαίνουσα, φίλον καὶ κινυρόωσα κέαρ;
ἀτρέμας ἴσχε θεῷ προσκαρτερέουσα, τῷ αὖθις
εἰδήσειν πολλήν μ' ἔσθ' ὅτ' ἔολπα χάριν.
οὕνεκ' ἔμ' ἠγαθέῃ τῇ ἑῇ ἐσάωσε προσόψει,
ῥυσάμενος πάντων ἐκ βορβόροιο κακῶν.
οἷον ἐμὸς θυμὸς τετάρακται ἀμηχανίῃσι,
πάντα θεὸς κρίνων, πάντα τ', ἐπίστασ', ὁρῶν.
τῷ σέθεν ἀλλήκτως, διάγων περ ἐν ἤθεσι τούτοις,
μνῶμαι, ἐμῆς πεδίου πυροφόροιο πάτρης.
ἧχι Ἰορδάνεω ποταμοῖο ἀεννάου ἱρὸν
νᾶμα, καὶ σύνδρον, καλλίρροόν τε ῥέει.
καὶ οἱ Ἑρμωνεὶμ περιμήκεα οὔρεα κεῖνται,
ἀντιπέρηθεν ὄρους οὐ μεγάλοιο Σιών.
κύματα δεινὰ σέθεν καὶ ἀγάστονα, ἄλλοθεν ἄλλα,
κάρτα ἐνηχεῖ ἐμοῖς οὔασι, ἐρχόμενα.
βένθεά τ' εὐρείης ὡσεὶ πολύκλυστα θαλάσσης,
ἀργαλέῳ κελαδεῖ ἔνθα καὶ ἔνθα σάλῳ.
καὶ τὸ θεὸν κεφαλῆς καθύπερθε κορύσσετ' ἐμεῖο
χεῖμα πρόπαν, φλοῖσβος πᾶς, πέλαγός τε ὅλον.
ἤματι πάνθ' ὁ θεὸς φιλόφρων ἔμ' ὑπόσχετ' ἀρωγήν,
κἀγὼ αὖ ὕμνους νυκτὸς ἀείδω ἑοί.
ἀείδω ἄρ, ἐκ κραδίης καὶ τῷ θεῷ εὔχομ' ἀληθοῦς,
ὃς κτίστης θ' οὑμὸς, ζωοδότης τε πέλει.
τοῖα πρὸς αὐτὸν ἐρῶν πέτρην μου ἐόντ' ἀτρέμαμνον:

τοῦ χάριν ὦ φίλ' ἐμοῦ λήσαο ὧδε πάτερ;
τί σκυθρωπὸν ὁρῶ; τί χαμᾶζε τὼ ὄσσε τιταίνω,
ἐχθροῦ θλίβοντος χειρὶ ἐμ' ἀνδρὸς ἑῇ.
ὡς οὐταζόμενος τὰ ἔθ' ὀστέα νηλέϊ χαλκῷ,
αἰνόμενόν τις ἀνὴρ κάμμορος ἄλγος ἔχῃ·
ὡς χαλεπὰς κἀγὼ μεγάλας τ' ἀλγηδόνας ἴσχω,
δυσμενέων ἀΐων τῆς μου ἐπεσβολίης.
οὔποτε παυομένων λυπρῶν μοι ὁσημέρ' ἐνισπεῖν,
ποῦ νῦν ἐστὶ τεός, τῷ σὺ πέπεισ', ὁ θεός;
θυμὲ τί ἀργαλέοις αὔτως φίλε κήδεσιν εἴκεις,
καὶ μὲ ταρασσόμενον πρὸς σέο πολλὰ τιεῖς;
τλῆθ' ἄτλητα παθὼν πίσυνος θεῷ, ᾧ πάλιν αὐτῷ
οἰσέμεναι χαρίτων δεκτὸν ἐμ' οἶδα γέρας.
οὕνεκ' ἐπιβλέψας σεσάωκεν ἑοῖσιν ἐμ' ὄσσοις·
οὕνεκ' εὔσπλαγχνος πάντοτ' ἐμ' ἐστὶ θεός.

## ΨΑΛΜΟΣ ΜΓ.

### Ὑπόθεσις.

Οἷα τὸ πρόσθε μέλος περιεῖχε τὸ μακρότερόν περ,
τοῖα καὶ ἥδε νόμοις μοῦσ' ὀλίγοισι λέγει.
τὸν γὰρ κυριακὸν ποθέει μέγ' ἐσελθέμεν οἶκον,
ἔνθ' εὕρῃ πάντων κεν θεράπευσιν ἀχῶν.

Κρῖνον, ἐμεῦ τε δίκην δίκασον, τοῦ κύρει ἔχοντος
ἀντίδικ' ἠθείης ἔθνε' ἄπειρα δίκης.
ἔθνεα μηδεμιῆς ὁσίης, καὶ μηδενὸς ἐσθλοῦ
εἰδότ', ἀτὰρ πασῶν εἰδότ' ἀτασθαλιέων·
ἔκ τε βροτῶν δολερῶν ταλαπείριον, ἔκ τε πονηρῶν

χρησά-

χρησάμενος παλάμης, ῥῦσόν μ' ἔμ', ἀλκὶ τεῆς.
τείνη γὰρ ῥώμη, τείνη μ' ἀρετῆσιν ὀφέλλεις,
τοῦ μὲ ἀπωσάμενος φαίνεαι εἵνεχ' ὅμως;
τίπτε θρωπάζειν, τί κατηφῆ ἔμ' εἶναι ἀνώγεις,
στεινοῦντος ψυχὴν δηΐου ἀνδρὸς ἐμήν;
πέμψον ἀπ' οὐρανόθεν τὸ τεὸν φάος, ἀτρεκίην τε,
τὴν σέθεν, ὥς κεν ἐμοὺς ἡνιοχῶσι πόδας.
καί με πρὸς ἠγάθεόν θ' ἅγιόν τε σὸν οὖρος ἄγωσι,
ἧχι τεῆς κεῖται ἕδρανον αἰπὺ μονῆς.
κἀγὼ ἐσερχόμενος κραιπνῶς κηώδεα νηὸν,
βωμοῦ ἐϋδμήτου τοῦ τεοῦ ἐγγὺς ἴω.
καὶ τῷ δ' ἐγγίσσω θεῷ, ὃν δι' εὐφροσυνάων
κῆρ μοι ἀγαλλομένοις ἐν πραπίδεσσι γέμει.
σὺν γναμπτοῖς τε κροτῶν παλάμαις φόρμιγγα λιγεῖαν,
σοὶ θεῷ ὄντι ἐμῷ ὦ θεὸς ἦρα φέρω.
θυμὲ τί χαρμοσύνης λυπρῶς διάκεισαι ἀμοιρῶν,
καὶ πολυκηδές ἐμοὶ κῆρ, θολερόν τε ποιῇς;
ἄλκιμος ἴσθι θεῷ πίσυνος, καὶ τηλόθ' ἀνίης
τῆς πάλ' εὐφροσύνης, ἵζεο, μνωόμενος.
ἔσται γὰρ χρόνος ᾧ χάριτας πάλιν εἴσομ' ἐκείνῳ,
ὅττι σαώζει ἑοῖς ὄμμασιν εἰς ἔμ' ὁρῶν.
καὶ θεὸς ὅττι ἐμὸς κάρτει τε βίῃ τε μέγιστος,
εἰς χρόνον ἀφθάρτῳ, μηδένα παύετ' ἐών.

## ΨΑΛΜΟΣ ΜΔ.

### Ὑπόθεσις.

τοῖα ὁ χριστοσεβὴς ὀλοφύρεθ' ὁσημέρ' ὅμιλος,

πρὸς

πρὸς στυγερῆς πάσχων πήματ' ἄτρητα τύχης.
ὅττι δυσπαθίαις ἡ σὰρξ τετιημένη αἰναῖς
ἀλγεῖ, καὶ μοῖραν τλῆσ' ἀέκουσα κακήν.

ΕΓκληρ' οὐδεμιῆς ἀρχῆς θεὸς, οὐδενὸς ὅρου,
ἀλλὰ μόνος σε πλῇ ἐν τριάδ' αἰὲν ἐών·
σοῦ πρὶν ἀρχαῖόν τι ἔπος πέλασ' οὔασιν ἡμοῖς,
τοῦ ἔσαν ἡμέτεροι ἄγγελοι ἄμμι πατέρες.
οἷά τιν' ἔρρεξάς ποτ' ἐν ἤμασιν ἔργα παλαιοῖς,
ὅττι ἀπολαυέμεναι σφισὶ βίοιο δόθη.
ἔθνεα τῆς ὁσίης οὐκ εἰδότα σῇ χερὶ ὄλεσσας,
τὴν τ' αὐτῶν χώραν, τούσδ' ἐφύτευσας, ἔχειν.
τῶν τε πολυσπερέων ἀνθρώπων φῦλα κακώσας,
σφᾶς θεὸν ηὔξησας πάντοθι καρταλέων.
οὐ ξίφεσιν γαίης τοῖς γὰρ σφετέροισι κράτησαν,
οὔτ' ἰδίων παλαμῶν σφᾶς ἐσάωσε βίη.
ἀλλ' ἡ δεξιτερὴ τεὴ, ὄβριμ' ἧ ἔργα μέμηλε,
σός τ' ἀνυπέρβλητον κάρτος ὁ πῆχυς ἔχων.
ἥ τε τεοῖο ῥέθους φλογερή τε καλή τε αἴγλη.
καὶ γὰρ σφόδρ' ἀρεστοὶ τοῖς σέθεν ὄμμασ' ἔσαν.
ὦ θεὸς ὦ βασιλεῦ, σὺ ἐμὸς βασιλεύς τε θεός τε
ἔσσ', ὁ βοηθήσειν Ἰσακίδῃ σε λέγων.
ἡμετέρων πάντων σοῦ ἕκητι κρατήσομεν ἐχθρῶν,
γαῖαν ὁδὰξ πρηνεῖς σφᾶς βιώμεν' ἑλεῖν.
καὶ πισύν' οὐνόματι ζαθέῳ σέο θεσπεσίῳ τε,
λὰξ ἐπὶ ἀνθρώπων βήσομεν ἀντιβίων.
οὐ γὰρ ἐμῷ τόξῳ, ταχέσιν τε πέποιθα βελέμνοις,
οὔτ' ἀπαμῦν' ἄορ μοι δύνατ' ὀξὺν μόρον.

ἀλλὰ σὺ ἡμετέρων ἡμᾶς ἀπὸ ῥύσαο ἐχθρῶν,
　　πάντα καταισχύνας δύσνοον ἄμμι βροτόν.
τοὔνεκ' ὀφειλομένοις σ' ὑμνήσομεν ἤματ' ἐπαίνοις
　　πάντα, καὶ οὐδεμίαν λῆξιν ἔχοντα χρόνον·
νῦν δὲ τί παμπήδην λείπεις σοῦ ἀπότροθ' ἀπώσας;
　　νῦν δὲ τί αἴσχιστως ἄμμ' ὀλέκεσθαι ἐᾷς;
οὐδὲ μεθ' ἡμείων εἰς φύλοπιν ἔρχεαι αἰνήν,
　　οὐθ' ὑπὲρ ἡμείων δυσμενέεσσι μάχεαι·
ἀλλὰ διωκομένους ἡμᾶς ὑπὸ φευγέμεν αὐτῶν,
　　καὶ στυγεροῖς ἐάᾳς ἀνδράσι ληΐδ' ἔμεν.
ὡς ὄϊες γινόμεθ' ἐσφαξόμεν' ἄμμορ' ἀμύνης,
　　χειρόμεθ' εἰς γαίης παντοδαπ' ἔθνε' ὅλης.
πωλεῖς σὸν λαὸν φίλον ὄντα πάλ' οὐδενὸς ὤνου
　　προῖκα, καὶ ἀντ' οὐδὲν οὐδ' ἀπὸ κέρμα λαβών.
πᾶσι κατάπλυστον τοῖς γείτοσιν εἶμεν ὄνειδος,
　　τοῖς τε πέριξ ἡμῶν ναιετόωσι γέλως.
ὡς πολυθρύλλητόν τι ἔπος, καὶ ὡς παίγνιον ἡμᾶς
　　πᾶν τάλανας, σφετέροις ἐν στόμασ' ἔθνος ἔχει.
οὐδέ τις ἐστὶ λεὼς, ὃς ὁρῶν ἄμμ' ἠὲ ἀκούων,
　　οὐκ ἂν κινοίη σφὸν παραχρῆμα κάρη.
τῷ ῥα πανημέριός μοι ἐν ὄμμασ' ἡ ἐντροπὴ ἵζει,
　　κἀμὸν ἡ αἰσχύνη κεύθει ἅθ' εἷμα ῥέθος.
λοιδορίας ὅτ' ἀνάγκη ἐμοὶ, καὶ ὀνείδε' ἀκούειν,
　　καὶ φίλον ἐκδικίης, ἐστὶ, καὶ ἐχθρὸν ὁρᾶν.
ἄλγεα πάσχοντες τόσ', ὅμως σέο μνήμονές ἐσμεν,
　　τόν τε σὸν οὐδεμιῇ λύομεν ὅρκον ὕβρει.
οὐδ' ἡ ἡμετέρη κραδίη ἐς ἐχάσσατ' ὀπίσσω,

οὐδὲ

οὐδὲ παρὲξ ἄλλην σῆς τινὰ βῆμεν ὁδόν.
καὶ σὺ ἐν ὠμηστέων φθείρεις σπέσιν ἄμμε δρακόντων,
καὶ σκιῇ ἐγκρύπτεις τοῦ ζοφόροιο μόρου.
εἰ δέ ποτ' οὐνόματος πάντως ἐλελήσμεθα θείου,
χεῖρας ἀνίσχοντες πρὸς θεὸν ἀλλότριον:
οὐχὶ ζηλήμων καὶ ἄγαν βαρύμηνις ἐὼν τις,
δίζοιτ' ἂν χαλεπὴν εἵνεκα τοῦδε δίκην;
νῶν κραδίας δ' οὖν ἡμετέρας, καὶ πάντα γινώσκει
ὅσσ' ἄρα κὰμ μυχάτῳ κρυπτά περ ἐστὶ φρενῶν.
σοῦ γὰρ ἕκητι μόνου πεφονημένοι ἦμαρ ἐπ' ἦμαρ,
τὸ σφόδρ' ἠελίου λείπομεν ἡδὺ φάος.
εἴκελοι εἰροπόκοις μήλοισι, τὰ νηλέϊ χαλκῷ
σφάζειν δαίνυσθαι βουλόμενός τις ἀνήρ.
ἔγρεο, παννύχιον τί φίλ' ὕπνον κύριε εὕδεις,
σῆς ἀγέλης ποιῶν οὐδένα πάγχυ λόγον;
ἄνσταε, σὰς ἡμῖν παντλήμοσι χεῖρας ὀρέξων,
μή τ' ἐχθροῖσιν ἕλωρ, πάμπαν ἄπωσον, ἔμεν.
τί κρύφιον τὸ πρόσωπον ἔχεις; τί μνώεαι οὐδὲν
ἡμετέρων συνοχέων, ἡμετέρων τε δυέων:
καὶ γὰρ πρηνηδὸν ψυχὰς κάμφθημεν ἐπ' αἶαν,
τῇ γαστεὶ χθονίου οὔδαος ἁπτόμενοι.
ἄνσταε χραισμήσων ὦ κύριε παγκρατὲς ἡμῖν,
σῇ τ' ἐλεημοσύνῃ λῦσον ἀπ' ἄμμε κακῶν.

## ΨΑΛΜΟΣ ΜΕ.

### Ὑπόθεσις.

ἄρξεσθαι κόσμῳ ξυνόλῳ τὸν χριστὸν ἀείδει,

ἀθανάτου γενέτεω ἀθανάτοιο τέκος.
πατρόθεν ἐρχομένῳ εἵνεκ' ἐπικλησίῃ αὐτῷ,
χ' ὡς γαμέτῃ νύμφῃ χεὶρ ὀρόεσσα διδοῖ. (ψαλμ.

Γλίχεθ' ὁ θυμὸς ἐμὸς λιγυρόν τι μελύδριον ἄ-
καί τινα κληΐζειν ὃς βασιλεῖαν ἔχει.
γλῶσσ' ἡ ἐμὴ ταχέως, τὰ νόησα φρεσ' ἐξαγορεύσει,
εἰδομένη καλάμῳ ὀξυγράφοιο χερός.
ὦ βροτέων ζαθέῳ προφερέστατε κάλλεϊ παίδων,
χείλεα πάντας ὕπερ ὡς ὀρίκερα λάχες.
τοὔνεκα κάρτα θεῷ πεφιλημένος αἰὲν ἐόντι
ἔσσι, καὶ εὐλογίην τοῦ παρὰ παντὸς ἔχεις.
ἀμφίβαλου τῷ σῷ μηρῷ ξίφος ἀργυρόηλον
δῖε, καλῶς κοσμῶν τεύχεσι σὸν τὸ δέμας.
καί μεγαλοπρεπέως κοσμημένῳ, εὖ κατὰ γένοιτο
πάντα, κατὰ γνώμην σοὶ ἀποβάντα τελῶ.
ἔρχευ ἐτητυμίης σωτὴρ, ταλαόνων τε ἀμύντωρ,
ὄφρα ἕκητι σέθεν σφῆς κε τύχωσι δίκης.
οὕτω δεξιτερή σε τεὴ θαυμαστὰ διδάξει,
καὶ περίφαντα τελῶν ἔργματ', ἀγαστὸς ἔσῃ.
ὀξέες οἱ ἰοὶ, δηλήμονες οἱ σέθ' ὀϊστοὶ
εἰσὶν, παμπόλλοις κῆρα λεῷσι φέρειν.
πάμπολλοι σοῖν πρόσθε ποδοῖν ἐρίποντες ἐπ' αἶαν
κείσονται, ζωῆς τῶνδ' ὑπ' ἐν ἀμμορίῃ.
ἐν μέσῳ ὀλλύμενοι κείνων προπρηνέες ἀνδρῶν
οἷς φίλον, ἐχθρὰ φρονεῖν τῷ βασιλῆϊ, πέλει.
εἰς αἰῶνα θρόνος τεὸς ἵσταται ἀστυφέλικτος,
καὶ σὺ σκῆπτρον αἰεὶ ὦ θεὸς ἰθὺ φορεῖς.

ὅτι

ὅττι δικαιοσύνην ἐφίλησας κηρόθι μᾶλλον
ἄστυλά τ᾽ ἤχθηρας ῥεξέμεν οἷσι μέλει·
τοὔνεκα γηθοσύνης εὐώδεϊ χρῖσεν ἐλαίῳ,
σὸς θεὸς ὢν ὁ θεός, σῶν ἑτάρων σε πλέον.
ἡδίστην ὀδμὴν ἐρίτιμα σέθ᾽ εἵματα πνείει,
ὡς ἡ σηπεδόνος σμύρνα κρατοῦσα λυγρῆς.
Ἰνδώη τ᾽ ἀλόη τὸ σαπρὸν κατέδυσα καὶ αὐτή,
καὶ κασίη μαλακοὺς τηλεθόωσα κλάδους.
ὁσσάκις ἐκ μεγάρων περὶ τοῦ ἐλέφαντος ἀπ᾽ ὀστῶν
τυχθέντων, λαμπρὸς πᾶς πρὸ θύραζε μολεῖς·
κόσμον ἐφεσσάμεναι, βασιλήων ἐκγεγαυῖαι,
σὸν, στείχουσ᾽ ἀγλααὶ ἐκπρεπέες τε κόραι.
σῆς δ᾽ ἀπὸ δεξιτερῆς βασίλισσα, σὴ ἵστατ᾽ ἄκοιτις,
χρυσῷ ὂν ἐντίμῳ παμφανόωσα δέμας.
κλῖνε τὸ οὖς θύγατερ, θείων τ᾽ ἀμπάζεο μύθων,
κλῖν᾽ οὖς, καὶ ἀτενῶς ὄμμασι σοῖσιν ὅρα.
καὶ λαοῦ ἐπίλησαι ὅλως τεοῦ, ἠδ᾽ πατρῴου,
καὶ περ θυμῷ ἄγαν σῷ μελάθροιο φίλου.
οὕτω τῷ βασιλῆϊ τεὸν μάλα κάλλος ἀρέσσει,
οὕτω σὸν τέρψει τὸν βασιλῆα ῥέθος.
κύριος ὅττι τεός, σοὶ ἀεὶ θρησκευτέος ἐστίν,
οὗτος ὁ ἀρτίγαμος νυμφίος ὤν, βασιλεύς.
ὅσσαι ἀφνειῆς Τύρου ἔνδοθι παρθένοι ἔασι,
πᾶσαι μέλλουσιν δῶρά σοι ἱρὰ φέρειν.
καὶ πρὸ τεῆς λιτανεύοντες στήσονται ὀπωπῆς,
δήμου ἐχεντέχνοι ἄνδρες οἱ ἔξοχ᾽ ὅλου.
ἐκγεγαῦα πατρὸς βασιλῆος ἀγακλυτοῦ, ἁγνή,

πάντα τὸμ ἑὸ κούρη κόσμον ἔσωθεν ἔχει.
κροσσωτοὺς χρυσοὺς, καὶ ῥήγεα θυμὸν ἀτύξαι
　στειλαμένη ἁβρὸν δαιδάλε' ἑὸ δέμας.
τοῖς ἐνὶ πρὸς βασιλῆ' ἄγεται, μετόπισθε κιουσῶν,
　αἳ καθ' ὁμηλικίην οἱ τελέθουσι, κορῶν.
αἵτε καὶ αὐτ' ἄμυδις σου πλησίον ὦ φίλ' ἄγονται
　νυμφίε, γηθοσύνης ἔμπλεῳ, ἠδὲ γάνου.
νηὸν ἐσερχόμεναι βασιλῆος ἐς ὑψιθέμεθλον,
　κἀνθάδ' ὁμόθρο' ἑοὶ ἄσματα μελπόμεναι.
ἀντὶ τεῶν πατέρων τοὺς προὔλιπες, ἀγλαὰ τέκνα,
　αἴτιά σοι μεγάλης τέξεαι εὐφροσύνης.
καὶ τὰ καταστήσεις ἄρχοντας ἀπείρονος αἴης,
　κρείοντας κόσμῳ, ἠδὲ μέδοντας ὅλῳ.
αὐτὸς ἐγὼ σέο οὐνόματος μνησθήσομ' ἐς αἰεί,
　κἀμ γενεῇ πάσῃ οὔσῃ, ἰδ' ἐσσομένῃ.
καὶ διὰ τοῦτο λεὼς ὄπα πᾶς τις εὔθροον ἱείς,
　πάντοτέ σοι χαρίτων οἴσεται ἠδὺ γέρας.
εἴς τε χρόνον λιγυρὰς σοι ἄληκτον ἀείσετ' ἀοιδάς,
　εὐστομέων ἀρετὴν ἤματα πάντα τεήν.

## ΨΑΛΜΟΣ ΜϚ.

### Ὑπόθεσις.

οὐχ ἐνὶ ἐγκύρσας, πολλοῖς δ' ἐχθροῖσιν Ἰούδας,
　ἀσκηθὴς ἔμπης ἔσκεν ἕκητι θεοῦ.
ἡμεῖς ὠμηστέων σάοι ὄντες μεσσόθι λῃστῶν,
　τίσωμεν χάριτας καὶ θεῷ αὐτοὶ ὁμᾶς.

Θάρσει

Θάρσος, καὶ κάρτος, καὶ ἐπίρροθος ἧμιν ἔγεντο,
ἐν δεινῇσι θεὸς, ταῖς ἐχόμεσθα, δύαις.
τοὔνεκ' ἐνὶ κραδίαις οὐκ ὀρρωδήσομεν αὖτις,
κἂν ἕδος αὐτὴ ἑὸν γῆ προλιποῦσα φύγῃ.
καὶ μέσῳ ἐμπεσέῃ ὀρέων ὑψηλὰ κάρηνα
πόντῳ, ὅσ' εὐρύχορος χθὼν τὰ μέγιστα φορεῖ.
τῆς τε πολυρρόθιου κορυφούμενον οἶδμα θαλάσσης
ζέοσῃ, καὶ φοβερὸν πᾶσι μάλ' ἦχον ἔῃ.
χ' οὕτω μαινομένη χερσαῖα κατ' αἴπεα βάλλῃ,
ἔξαντ' οὐδεμιῇ πρόσθ' ἀνέμοιο βίῃ.
ἔστι ῥέεθρον ὅμως τὸ καλίρροον, ἀέναόν τε,
τὴν ἱερὴν ῥεύσει, ὡς πάρος, ἀμφὶ πόλιν.
καί μιν εὐφρανέει, ἅγιον τὴν οὖσαν ἕδεθλον
ὑψίστου πάντων, ὅσσα τι ἐστὶ, θεοῦ.
ἔνδοθι ναίοντος κείνης, ἀμετατρόπου αἰεὶ
θεῷ μελλούσης κάρτεϊ πάγχυ μένειν.
ἠῶθι πρὸ ἐπεὶ, ὁ θεὸς μιν ῥύσεθ' ἁπάντων,
οἷς κάμῃ ἀργαλέως ἀχθομένη κε, μόγων.
ἔθνε' ἀμηχανίη, ταραχή τε, ἅπαντά τις αἰνὴ
λαμβάνει, οὐδεμιῆς ἔμμορ' ἔτ' ὄντα βίης.
κλινθεῖσαί τε χαμαὶ βασιλεῖαι ἐντρομέουσι,
οὐδέ τι οὖδας ὅλη γαῖα βέβαιον ἔχει.
εὖτ' ἂν ἑὴν φωνὴν, τῆς οὐ φοβερωτέρη ἄλλη,
τῇ χθονὶ, καὶ ναέταις τῆσδ' ἐπὶ αὐδήσασ' ἔῃ.
μαρναμένοις δ' ἧμιν κρατερὸς παρ' ὁ κύριός ἐστι,
ἄμμε δ' ὁ σὸς φρουρεῖ ὦ Ἰακώβε θεός.
δεῦτε θεησόμενοι ὅσ' ἔρημον ἀν' ἔργματα γαῖαν

κεῖνος, ἐρημώσας χέρσ' ἐς τέλεος ἐν ἐαῖς.
αἴρων κἀξελάων βροτολοιγὸν θοῦρον ἄρηα,
μέχρι πρὸς οἰκητῆς ἔσχατα πείρατ' ὄρας.
τόξα τε συντρίβων στιβαρ' ὄντα πόρ, ὅπλα τε κλάζων,
καὶ πυρὶ ἀκαμάτῳ ἅρματα καλὰ διδῶν.
ἡσύχιοι πάντες, καὶ ἐχέφρονες ἔστε, γινώσκειν
ὅττι ἐγὼ πάντων κοίρανός εἰμι θεός.
ἔθνε' ἀριστεύσω γὰρ στυγνά μοι ὄντα δαμάσσας,
καὶ μέγ' ἐμαυτῷ ὅλης γῆς ἔπι κλέος ἀρῶ.
κύριος ἄγχ' ἡμῶν ὁ βίῃ τ' ἀρετῇ τε μέγιστος
στήκει, ὁ Ἰσραήλεω χραισμέει ἄμμι θεός.

## ΨΑΛΜΟΣ ΜΖ.

### Ὑπόθεσις.

Τὴν Χριστοῦ δύναμιν, καὶ ἄμβασιν εἰς τὸν ὄλυμπον
φαίνει, ἔθ' ἀέναον πρὸς γενετῆρα θεόν.
οὐχ ὅπλοις οὗτος, μύθοισι δὲ πάντα κρατύσει,
ὡς πρόπαλ' ἡ σάλπιγξ ἰσβριχοῖ σε πράθεν.

Ἔθνε' ὅσ' αἶα τρέφει ξυνάπαντα κροτήσατε χεῖρας,
ἠρά τ' ἀγαλλομένῃ γήρυϊ φέρτε θεῷ.
καὶ γὰρ ὁ δειδίοσων πάνθ' ὑψιβόωπος ἀνάσσει
κύριος, ἐν γαίῃ κάρτος ἔχων μέγ' ὅλῃ.
λαοὺς τοὺς προπάροιθ' ὑπέταξεν ἀπειθέας ἡμῖν,
ἔθνεα ἡμετέροις ἐχθρ' ὑπὸ ποσσὶν ἔθη.
κληρονόμους ἡμᾶς ποιήσατο, οἳ κλέος ἐσμὲν
Ἰσραήλου, μεγάλως δῆλος ὃν ἐστι φιλῶν.
ὃν θεὸς εἰσανέβη ἀλαλαγμῷ ἄμ' ὕψος ἔδεθλον,

καὶ

καὶ τῶν κωδώνων ἠχῇ ἐνηλυθρόων.
ψάλλετε ἡμετέρῳ καλῶς θεῷ, ἄδετ᾽ οἱ ᾠδάς,
 ἡμέτερον λιγυροῖς κλείετ᾽ ἄνακτα νόμοις.
καὶ γὰρ ἄναξ θεός ἐστιν ὅλῃ χθονὶ ἐμβασιλεύων,
 τῷ οἱ ἐπισταμένως ψάλλετε, καὶ σοφῶς.
τῶν ἐθνῶν ὁ θεὸς σκηπτοῦχος κοίρανός ἐστι,
 αὐτὸς ὅδ᾽, εἰν ἁγίῃ ἵζανει ᾗ ὃς ἕδρῃ.
ἀρχοὶ ὁμηγυρέες λαῶν ξὺν τοῖσδε γένοντο,
 οἳ θεραπεύουσιν τὸν Θαρίδαο θεόν.
ἔστι γὰρ ὕψιστος παρὰ πᾶσιν ὅδ᾽, καὶ μέγιστος,
 οἷ τι ἐν εὐρείῃ κῦρος ἔχουσι γέῃ.

## ΨΑΛΜΟΣ ΜΗ.

### Ὑπόθεσις.

Ὡς Σολύμην σῶσεν πολιορκηθεῖσαν ἔθ᾽ ἱρήν,
 καί ποτε τοὺς ἐχθροὺς τῆσδ᾽ ἀπέωσε θεός·
ὣς ἡμῶν αὕτως τοὺς δυσμενέοντας ἀπείρξει
 ὄντων, ὁππόιους δεῖ ἔμεν, εὐσεβέων.

ΩΣ μέγας, ὡς αἰνοῦ μάλ᾽ ὁ κύριος ἄξιός ἐστι,
 ἐν πόλει ἔνθ᾽ ἁγίῳ, τοῦ λάχε κεῖνος, ὄρει.
ἔρνος ἅτ᾽ εὐριζόν τι Σιὼν ὄρος ἐκπρεπές ἐστι,
 καὶ κάλλος γαίης σφόδρ᾽ ἐρατεινὸν ὅλης.
οὗτινος ἡ ξηρὴν πλευρὴ τείνουσα πρὸς ἄρκτον,
 τὴν μεγάλοιο πόλιν τοῦ βασιλῆος ἔχει.
τῆς ἐν εὐδμήτοις γνωστὸς θεός ἐστι μελάθροις,
 σφῶν ὅτ᾽ ἀλεξίκακος, δώματος οἷο, πέλει.
πολλάκι γὰρ βασιλεῖς ἐπὶ τὴν δ᾽ ἤγερθεν ἰόντες,

καὶ δὴ ὅμως ἀλίης αὖθι παρῆλθον ὁδοῦ.
καὶ τοῦτ' ὀσσόμενοι ταραχῆς μετὰ θαύμασαν αἰνῆς,
κἀμφασίη ἐπέων σφᾶς, μέγα δ' εἷλε δέος.
δῦσέ τε γυῖα τρόμος, καὶ σῶμ' ὠδῖνες ἀτειρεῖς,
οἵους τεξομένη ἀλγεῖ ἔχουσα γυνή.
τὰς διαπρησσούσας σὺ κεάζεις ὑγρὰ κέλευθα
νῆας, ὀβρίπνευστον σφισὶν ἐπ' οὖρον ἱείς.
ἅττα πάλ' ὧθ' ἡμῶν ἐπύθοντο, τάδ' ἤδη ἅπαντα
ἐν τῷ κυριακῷ ἄστει ὄμμαθ' ὁρᾷ.
ἄστυ ἐς ἀέναον τὸ χρόνον κτίσ' ὁ κύριος εἶναι,
ἐκπαθέμεν τε βίῃ οὐδέποτ' οὐδεμιῇ.
προσδεχόμεσθα τεὴν χάριν ὦ θεός, ἠδ' ἐλεητύν,
ἱστάμεν' ἐν μέσσῳ σοῖο δόμοιο τόπῳ.
ὡς σὸν ἀγακλειτὸν πέλετ' οὔνομα, ὣς καὶ ἔπαινος
ἐκπυστὸς γαίης πρὸς πείρατ' ἔστε τεός.
σοί τε δικαιοσύνης πλείη ἡ δεξιὴ ἱρῆς,
σύμφων' ἐστὶ τεῷ πάντα δράουσα νόμῳ.
κρίμασ' ἀγαλλέσθω τοῖς σοῖς ὄρος αἰπὺ Σιῶνος,
καὶ ἡ Ἰσακίδου ἔγγονος οὖσα κόρη.
δεῦτε χ' ὑμᾶς παλάμας καλῇ βάλετ' ἀμφὶ Σιῶνι,
καὶ πύργων πλῆθος πεμπάσσασθ' ὅσσον ἔχει.
πολλῇ ξὺν σπουδῇ τὰ ἐκείνης δείματε τείχη,
τεινούσας τ' αὐλὰς τεύξατ' ἐς αἰθέρ' ἐοί:
ὄφρα παρ' ἀνθρώποις τάδ' ἀοίδιμα ὀψιγόνοισι
εἴη, καὶ γαίης πᾶσ' ἐν ὅροισιν ὅλης.
μοῦνος ὅδ' ἡμέτερος πέλεται θεὸς οὗτος ἀπ' ἀρχῆς,
ἔς τε τὸν ἐμμενέως ἔσσετ' ἐόντα χρόνον.

οὗτος ἄρ᾽ ὡς ἡμᾶς τοὺς αὐτοῦ παῖδας ἀγινεῖ,
ὡς ἄγει εὔσπλαγχνος νήπια τέκνα πατήρ.

## ΨΑΛΜΟΣ ΜΘ.

### Ὑπόθεσις.

Χρήματα σωρεύειν οἱ ἐελδόμεν᾽ ἄλλα ἐπ᾽ ἄλλοις,
τοῦ πλούτου σφετέρου λάτριές εἰσι θεοῦ.
ἔστι δὲ βέλτιστος τὸ πεποιθεῖν κυρίῳ ὄλβος,
χρήμασι δ᾽ αὖ πίσυνον, χρῆμα κάκιστον ἔμεν.

Ἐμπάζεσθ᾽ ἐπέων ἀμυδὶς πάντ᾽ ἔθνεα τούτων,
καὶ πᾶς ὃς πλατέην οἶκον ἐπὶ χθόν᾽ ἔχεις.
νώνυμ᾽, ἀγακλεεῖς, ἄφατοι, φατοί, ὄλβιοι ἄνδρες
χρήμασιν, ἢ κενεῇ τηκόμενοι πενίῃ.
ἐκ στόματος γὰρ ἐμοῦ μῦθον πεπνυμένον ἥσω,
ἔκ τε σοφὸν χεύσω τῆς κραδίης μου ἔπος.
κλίνωμεν κᾳλῷ τιν᾽ ἀκουέμεν οὔατα γνώμην,
κὰμ κρύφιον λιγυροῖς ῥῆμα νόμοισι λύρης.
τοῦ χάριν οὔτι δέος με πονηροῖς ἤμασιν ἴσχοι,
πάντοθι κυκλούντων χειροδικῶν με βροτῶν.
οὐκ ἀλέγω σφετέροις πισύνων τοῖς χρήμασιν ἀνδρῶν,
τῆς θ᾽ ὑπερκορέης εἵνεκα τῶνδε, πλέων.
οὐ γὰρ λυτρώσει πλούτων πέρ ἀδελφὸς ἀδελφόν,
οὔτ᾽ ἐξιλάσει χρήμασ᾽ ἑοῖσι θεόν.
κάρτα γὰρ ἡ ψυχὴ περιτίμων χρήζετ᾽ ἀποίνων,
οὐδέποθ᾽ ὥστε βροτὸν ταῦτα δόμεν τιν᾽ ἔχειν.
κἂν ζήσας πλήσῃ ἐνιαυτῶν πολλὸν ἀριθμόν,

οὐδὲ

οὐδὲ τάφον τὸν ἑοῦ σώματος οἶκον ἴδῃ.
καὶ γὰρ θνησκέμεναι σοφίης τόσον ἴδμονας ἄνδρας
ὄψεαι, οὐχ ἧττον τῶν πανὺ ἀφραδέων.
τήν τε ῥυηφενίην καταλειπέμεν ἀνδράσιν ἄλλοις,
ἄφθιτοι ἧς αὐτοῖς δέσποτ' ἔδοξαν ἔμεν.
αὐτὰρ τὸ ψυχὴ πέλεταί σφιν, ὅτ' οἰκίαι αὐτῶν
σῶαι μίμνουσιν, καὶ εἰς τὸν ἔπειτα χρόνον.
χ' ὅττι διαμπερέως τάδε δώματα, νωλεμέως τε
ναίεται, ὧν αὐτοὶ ἐνναέται πάλ' ἔσαν.
καὶ δὴ ὅτ' οὐκ ὀλίγης ἐπ' ἀπείρονι τῇ χθονὶ τιμῆς,
καὶ περικυδαλίμων ἔλλαχον οὐνομάτων.
αὐτὰρ ὅμως τόσσῳ οὐ μιμνάζουσιν ἐν ὄλβῳ,
ἀλλὰ δίκην κτηνῶν αἶψ' ὀλέκοντ' ἀλόγων.
καὶ τόσσον σφετέροις ἀφραίνοντές περ ἐν οἴμοις,
αἰνετοὶ ὀψιγόνων ἐν στόμασ' εἰσὶν ὅμως.
κεῖντ' ἐν Πλουτῆος μεγάροις ὡς πίονα μῆλα,
γιγνόμεν' ὠμοβόρῳ βρῶμα μάλ' ἡδὺ μόρῳ.
ἀλλὰ κρατοῦσ' ἀδίκων μέλλουσιν οἱ ἔνδικοι ἀνδρῶν,
οὐ μετὰ δηναιὸν καὶ πολλὸν αὖτε χρόνον.
σφῶν δ' ὕβριν καὶ ἀγηνορίην ἡ μοῖρα δαμάσσει,
ναιόντων στυγεροὺς τοῦ ἀΐδαο μυχούς.
αὐτὰρ ἐμὴν ψυχὴν ἀπὸ αἰνῆς Περσεφονείης,
χερσ', ὅμε δεξάμενος, ῥύσεθ' ἑῇσι θεός.
μή σε φόβος μὴ θάμβος ἕλῃ, εἰ ἀνήρ τις ἀφνειὸς
γίγνετ', ἐϋκλείης τἄκρα πανοικεὶ ἔχων.
οὐ γὰρ ἀποθνήσκων τι ἀποίσεται, οὐθ' οἱ ὀπηδεῖν
μέλλει ὑποχθονίους δόξ' ἐσιόντι δόμους.

αὐτὰρ

αὐτὰρ ἐφημερίοις μόνον ἡδυπαθήματι χαίρει,
καὶ χρόνον οὐ δολιχὸν, θυμὸν ἰαίνει ἑόν.
καὶ σοφίην ἄλλων σε ὑπέροχον ἔμμεν' ἐνισπεῖ,
ἣν συνημερίης καί συ σέθ' ἐμφορέῃ.
οὕτω δὴ ὁ φρενῶν βεβλημμένος οἴχεται ἐσθλῶν,
καὶ μεθ' ἑῶν πατέρων ἴχνια βαίνει ἀνήρ.
εἰς ἀϊδωνῆος δόμον ἀχλυόεντα ἱκάνων,
ἧχι φάος μέλλει οὐδέ ποτ' οὐδὲν ὁρᾶν.
πᾶς τις γὰρ μεγάλης ἄνθρωπος ὃς ἔμμορε τιμῆς,
οὐδὲ σαοφροσύνης τήνδε μετ' οἶδε φέρειν·
οἴχετ' ὅλως φθινύθων, καὶ ὅλως βοσκήματ' ἐοικὼς,
τῷ μοῖραν οὐδεμίην δῶκε λόγοιο φύσις.

## ΨΑΛΜΟΣ Ν.

### Ὑπόθεσις.

Ἱρὰ ὁποῖα θεῷ καταθύμι' ἔμεν κε δύναιτο,
καί πως λατρεύων ἦρά τις οἱ κε φέροι·
οὐκ ἐπιτηδεύων τὰ ἑαυτῷ καλὰ δοκοῦντα
ἔμμεναι, ἀλλὰ θεὸς καλὰ τὰ φῆσε, λέγει.

Κύριος ὑψιμέδων, ὁ θεοῖς θεὸς ἐμβασιλεύων,
ἐκ στόματος καλέει πᾶσαν ἔπος χθόν' ἱείς.
πᾶσάν τε πρὸς καλέει χθόν' ὅσην ἐπικίδναται ἠώς,
χ' ὡ φαέθων ἀνιὼν ἥλιος, ἠδὲ δύων.
ἐξ ὄρεος στράπτει τῆς τηλεκλυτοῖο Σιῶνος,
μαρμαρυγὴ μεγάλου καλλοσύνη τε θεοῦ.
ἔξοχος ἡ ἀρετῇ πάντων θεὸς, οὐχ ἅτ' ἄναυδος,
ἀλλὰ μετὰ κλαγγῆς ἔρχεται ἠδὲ βοῆς.

παμ-

παμφάγον ἄδμητον πῦρ πρόσθ᾽ αὐτοῖο βαδίζει,
καὶ τύφων κρατερός μιν στεφανηδὸν ἔχει.
οὔλυμπον καθύπερθε καλεῖ, καὶ γαῖαν ἅπασαν,
τοῦ λαοῦ δικάσῃ αὐτὸς ἵν᾽ οἷο δίκην.
εἰς ἔμ᾽ ἵτωσαν ἐμῆς συνθήκης, ἄνδρες ἄμεμπτοι,
οἱ πλέον ἢ σφαγίων καὶ θυέων, φύλακες.
τῆς τε δικαιοσύνης κήρυξ ἔσετ᾽ ἠχέθ᾽ ὁ αἰθὴρ
ἠγαθέης, ἐπειὴ γ᾽ αὐτὸ κριτὴς ὁ θεός.
δεῦρο λεὼς ἐλθὼν φίλ᾽, ἄκουε μευ ὅ,ττι κεν εἴπω,
ὦ παῖ ἰσραὴλ κλῦθι λαλοῦντος ἐμοῦ.
αὐτὸς γὰρ μάρτυς περ ἐμεῖό σοι ἔσσομ᾽ ἀληθής,
μοῦνος ἐγὼ θεὸς ὤν, ὅττι σὸς εἰμι θεός.
οὐ θυσιῶν σοὶ ἐγὼ ἐπιμέμφομαι αἱματοεσσῶν,
ὡς μὴ ἐνεικαμένῳ βωμὸν ἐπ᾽ ἄφνι ἐμόν.
καὶ γὰρ ἐν ὀφθαλμοῖς ἀποθύμι᾽ ἐόντα περ, αἰὲν
τοῖσδ᾽, ὁλόκαυθ᾽ ὑπὸ σοῦ πρός με φορεύμεν᾽, ἔχω.
οὔτ᾽ ἐκ σῶν ταῦρόν τινα δέξομ᾽ ἰόντα βοαύλων,
οὔτε τράγον σηκοῦ τὸν προλιπόντα τεοῦ.
ὑλαῖοι πάντες γὰρ ἐμοὶ οἱ θῆρες ἔασι,
πάντα τε τῶν κτηνῶν χίλι᾽ ὀρειπλανέων.
οἶδα τανυπτερύγων ὅσ᾽ ἐν οὔρεσίν ἐστι ποτητῶν
φῦλα, καὶ ὅσσ᾽ ἄγριοι ἀμπέδον εἰσὶ βόες.
εἴ τις ἔμ᾽ ὡς θνητὸν μερόπ᾽ αἴθων ἔλλαβε λιμὸς,
οὐκ ἂν σοι τὶ ἐγὼ τοῦδε πέρ᾽ εἶπον ἔπος.
πάντα γὰρ αὐτὸς ἔχω πολυχανδέος ἤθεα κόσμου,
ὅσσα τ᾽ ἢ ἐκτὸς ἔθεν κεῖνος, ἢ ἐντὸς ἔχει.
μῶν κρεάων κενεὴν ἐνιπλήσω γάστρα βοείων;

μῶν

μῶν τὸ τράγου μέλλω φοίνιον αἷμα πιεῖν;
θῦσ᾽ συγγνωμοσύνην θυσίην θεῷ ἔξοχ᾽ ἀρεστήν,
    πάντα θ᾽ ὑποσχόμενος τῖσόν οἱ ὅσσα πέλῃ.
καὶ μὲ λύγρ᾽ ἀγκάλεσον πάσχων τινὰ, καί σοι ἀφήξω,
    καὶ δόξης οἴσεις μοι τὸ μάλ᾽ ἡδὺ γέρας.
αὐτὰρ ἁμαρτωλὸν, τοῖον πρὸς μῦθον ἐνίσπει,
    ἔχθιστον πάντων ἀνέρ᾽ οἱ ὄντα, θεός·
τίπτ᾽ ἐμὸν ἀγγέλλεις νόμον ὅσσῃ ἀλιτρὲ βεβήλῳ;
    τί στόματος διὰ σοῦ, θεῖ᾽ ἐμέθ᾽ ὅρκι᾽ ἔχεις;
παιδείην στυγέων, ἀβέβηλά τε ἤθεα μισῶν,
    κοὐδέν᾽ ἐμοῖο ποιῶν πάγχυ λόγοιο λόγον.
ὅντιν᾽ ἔχειν κλοπίμῳ ὁράας χόρε, τῷδ᾽ ἄρ ὁπηδεῖς,
    καὶ τῆς μαχλοσύνης ἐσσὶ φίλοιο φίλος.
πάνθ᾽ ὁ τεὸς λαιμὸς ῥητ᾽ αἴσυλά τ᾽, αἰσχρά τε βλύζει,
    γλῶσσα τεὴ ὀλοῶν ῥάπτει ὕφασμα δόλων.
ἧσαι ἀδελφειοῦ κατὰ γνησίου ἔχθρ᾽ ἀγορεύων,
    καὶ τὸν σῆς μητρὸς παῖδα κακηγορέων.
ταῦτα σιωπῶντος ποιῶν ἐμοῦ, ὄργματ᾽ ἀλιτροῖς
    τερπόμενον, δοκέεις σοί μ᾽ ἀτάλαντον ἔμεν.
ἀλλά σε ἐνδικ᾽ ἔχων ἐφ᾽ ἁμαρτάσιν ὄμματ᾽ ἐλέγξω,
    ὅππως ὀφθαλμοῖς σφᾶς κε τεοῖσιν ἴδῃς.
ὦ δοῦλ᾽ ἀμπλακιέων σφετέρῳ τάδε θέσθ᾽ ἐνὶ θυμῷ,
    οἱ οὐδ᾽ ἠβαιὸν μνήμονές ἐστε θεοῦ.
μήποθ᾽ ὑμᾶς ταχέως ἁρπάξω, μηδενὸς ὄντος
    ὅς κεν ὑμῖν δειλοῖς λοιγὸν ἀπ᾽ αἰνὸν ἕλῃ.
ὅστις ἀναίμακτον θύει μοι θῦος ἐπαίνου,
    οὗτος ἐμοὶ δόξαν τὴν ἐπόθησα δίδοι.

ἐσοὶ

καὶ τρίβος ἥδε πέλει, τὴν δείξομ' ἀριφραδέως αὐτῷ
σῶος ὅπως θεόθεν, σὺν θεῷ αἰὲν ἔῃ.

## ΨΑΛΜΟΣ ΝΑ.

### Ὑπόθεσις.

Τῶν κακοεργιέων γένεσιν, καὶ ὁπόσα τοκήων
παρβασίῃ βροτέῳ σπέρματ' ἔνεικε γένει·
τῆς τε ἀλιτροσύνης ἄφεσιν, καὶ ἱλασμὸν ἐσαῦθις
δεικνύει, ἧς φρένας πάντα ῥύπον κραδίης.

Ἵλαος εὐμενέην κατὰ σὴν ἐμοὶ ὦ θεὸς ἴσθι,
ὦ φίλ' εὔσπλαγχνος τλήμον' ἐμ' ἴσθι θεός.
τῶν τε σέθ' οἰκτιρμῶν τὸ ἐμὸν τῷ πλήθεϊ μῦσος
μαύρουε, καὶ ἀμπλακίην νίζ' ἀπὸ πολλάκ' ἐμήν.
καί με ἀτασθαλίης καθάριζε μάλ' ἰλυοέσσης,
φοιβῶντα ψυχῆς ἐνδόθι λύματ' ἔχω.
καὶ γὰρ ἐμοὶ ῥεχθέντ' ἐπὶ τάἴσυλα ἔργα γινώσκω,
τήν τε ἁμαρτοσύνην νωλεμὲς εἰς μου ὁρῶ.
σοὶ μούνῳ γενόμην ἀλιτρὸς, σοῦ ἐνώπιον ἔρξα
σχέτλια, παρβεβαὼς σοὺς ματίῃσι νόμους.
ὄφρ' ἐνὶ σοῖς μίμνῃς, ὡς ἐσσί, λόγοισι δίκαιος,
νίκην τ' ἐμμενέως, κρινόμενός περ, ἔχῃς.
καὶ δ' ἐμῆς ὕλη φύσεως μοχθηρὴ ἔγεντο
κίσσησεν μήτηρ ὄντα τ' ἐμ' ἰλὺν ἐμήν.
καὶ δ' ἀληθείην ἀγαπᾷς τὴν οὖσαν ἄδηλον,
καὶ σοφίης ἴδριν τῆς κρυφίης με ποιεῖς.
ὑσσώπῳ μ' ἀπολυμαίνου, καθαρόν τε τελέσσεις.
λοῦέ με, καὶ λευκὸς τὸν χιόν' ἔσσομ' ὕπερ.

δός

δός μοι ἀγαλλίασιν ζάλαν, εὐφροσύνην τε πυθέσθαι,
    ὀστέα χαρμοσύνῃ ὄφρα, τὰ κλάσσας, ἕλῃ.
κεῦθε τεὰς γλήνας, ἵνα μὴ τὰ κάκ᾽ ἔργα κεν ἀθρῇς
    ἔκ τε ἄλειφ᾽ ἄνομον πᾶν ἐν ὅτ᾽ ἐστὶν ἐμοί.
κτίζε θεὸς καθαρὸν πάλ᾽ ἐμῇσιν ἐνὶ φρεσὶ θυμὸν,
    πνεῦμά τ᾽ ἐμοῖς σπλάγχνοις εὐθὺ, νέον τε δίδου.
μή με ἀπόρριπτον σῆς ποιήσειας ὀπωπῆς,
    μή τ᾽ ἀπ᾽ ἐμεῦ ἅγιον πνεῦμα τὸ σὸν, πόθ᾽ ἕλῃς.
γῆθος ἐσαῦθις ἐμοὶ ἡ σὴ σωτηρίη εἴη.
    καί με τὸ αὐτόματον πνεῦμ᾽, ἄοκνόν τε φέροι.
τοῖς ἀνόμοισι τεῶν ἄνδρεσσι διδάσκαλος οἴμων
    ἔσσομ᾽, ὅπως νοστῇ πρὸς σὲ κακός τις ἐών.
ὦ θεὸς, ὃς μοῦνος σωτήρ τε μου ἐσσὶ, θεός τε,
    λῦσον δύστηνον τῆς φονικῆς με δίκης.
πῶς ἡ ἐμὴ κλήσει, καὶ ἀγαλλιωμένη ᾄσει
    γλῶσσα δικαιοσύνην, ἔνθα καὶ ἔνθα, τεήν.
ὦ τῶν κρειόντων πανυπέρτατε χείλη ἐμ᾽ οἶξον,
    τοὐμὸν ὅπως δόξαν τὸ στόμα τὴν σέθ᾽ ὀρῇ.
οὐ γὰρ ἀρέσκουσίν σε τὰ ἱερὰ, εἰ δ᾽ ἀρέσκον,
    καὶ τῶνδ᾽ ἂν παρ᾽ ἐμοῦ σοὶ πολὺ πλῆθος ἔην.
οὐδ᾽ ὁλόκαυστα τεὶν καταθύμια δῶρά τιν᾽ ἐστὶ,
    γιγνόμενα φλογεροῦ βωμοῦ ὕπερθε τέφρη.
πνεῦμα θεῷ ἀρετὴ τὸ τετριμμένον ἔσθ᾽ ἑκατόμβη,
    οὔτ᾽ ἀπὸ τριπτὸν ἀδεῖ κῆρ τε χαμερπὲς ἐόν.
σῇ ἀγανοφροσύνῃ κεδνὴν σὺ ῥέζε Σιῶνα,
    τείχεα τῆς Σολύμης οἰκοδόμει δ᾽ ἱερῆς.
τότε γε δικαιοσύνη δεκτὴ τυθεῖσά σοι ἔσται,

καὶ ὡς τὰ σοὶ ἀμφέρεται, ἢ κατακαίεθ' ὅλως.
πολλοί τ' ἀδμήτων οἴσουσι τότ' ἀγλαὰ μόσχων
σπλάγχνα βροτοὶ, βωμοῖς σοῖς ἐπὶ πάντα θέμεν.

## Ο ΑΥΤΟΣ ΨΑΛΜΟΣ
### ἄλλως.

Υπόθεσις.

Μάχλος καὶ ἀνδροφόνος γεγονὼς, ὡς ᾔσθετο θείης
αὐτοῦ ἐνεργούσης μήνιδος ἐν κραδίῃ:
ὣς ῥα προσήκουσαν ποινὴν λιτάνευσε παρ' αὐτῶν,
ὅσσ' ὁ Ἰεσσαίδης δάκρυσι δευόμενος.
καὶ ἡμεῖς οὖν καὐτοὶ μοχθηροὶ, ἁμαρτοσυνάων
ὧδε ζητῶμεν τὴν λύσιν ἡμετέρων.

Ἤριος ὡς πάντεσσι βροτοῖς μελέοισι καὶ οἰκτροῖς,
καὶ ἵλαος μετ' ἔφυς τοῖς νοέουσιν ἐμόν.
ὡς ἐλέει χρῆσθαι, ὡς χρῆσθ' οἰκτίρμονι θυμῷ,
πρὸς περιισχομένους δυσπαθίῃσι φιλεῖς:
οὕτω δὴ κἀμοὶ τάγε λοίσθια νῦν μογοῦντι,
νόρθεν ἁμαρτιέων ἄχθεος ἠδὲ βαρέος:
οὕτω μοὶ δεινῶς παρὰ ἱλάσθητι πεσόντι,
ἔκ τε ἄλειψον ἐμὸν πᾶν τ' ἀδίκημα θεός.
καὶ κόπρου ἀμπλακίας μάλ' ἐμᾶς ἀπόκλυζε γεμούσας,
καὶ καθαρὸν, κακιῶν νόσφι, με ποίει ἐμέν.
εἶναι γάρ μ' ἀνόμων ἔργων ῥεκτῆρα γινώσκω,
κἀμοὶ δειλῷ ἐπὶ σφιν μετὰ πολλὰ μέλει.
τοὔνεκ' ἀεὶ τοὐμὸν παράπτωμά μου αἴτιον ἐστὶ,
τίκτον ἐμοὶ στοναχὰς, ἄλγεα, δάκρυ, φόβον.

ἣ δὲ κατηγορέον μου ἄληκτον ἐν ᾅδου ὄλεθρον,
οὗ κόλασις πάντων καὶ τίσις ἐστὶ κακῶν.
αἲ αἲ εἰς σὲ θεὸς τάλας ἤμβροτον, ὃ τέ σοι οὐδὲν,
εἰ μὴ ἀτασθαλιέων φορτίον εἰμὶ γέμον.
ὢ τῆς μου τόλμης, ὢ θάρσεος, ὃς σέθ᾽ ὁρῶντος,
σὸν παρέβην δειναῖς ἀμπλακίῃσι νόμον.
καὶ τοῦτ᾽ σὺ εἰδὼς τὸν σὸν χόλον, αἴσυλον οὐδὲν,
ῥεχθὲν ὑφ᾽ ὅτινος σοῦ, ἔμμεν᾽ ἄτιτον ἐᾷν.
τῷ ῥα συνείδησις πρὸς σεῖο τὸ βῆμά μ᾽ ἐφέλκει,
μαρτυρέει τ᾽ ἔνοχον σοῖσί με κρίμασ᾽ ἔμεν.
ἀλλ᾽ οὕτω βαρὺ πῦρ τόδ᾽ ἔχει μοι πταῖσμά μου ἔμπης,
ὥστ᾽ οὐ συγγνώμης δεῖν ἐμ᾽ ὅλως ἀπορεῖν.
αὐτὰρ ἵν᾽ ἐν τοῖς σοῖς σὺ ἔπεσσιν ἀληθινὸς ἦσθα,
φὰς νημάρτητον γηγενέ᾽ οὔτιν᾽ ἔμεν.
μήτε δικαιοσύνης τις ἑῆς οἰήσει ἐπαρθεὶς,
εἶν᾽ οἱ ἀνέγκλητος παντελέως κε δοκῇ.
μήτ᾽ ἀδίκως κρίνειν κρίνῃ σε, ὅτ᾽ ἄφνιον οὐδὲν
σοὶ βροτέων ἔργων, ὅσσα κ᾽ ᾖ, εἶναι ἐᾷς:
πολλοὶ γὰρ μέγ᾽ ἐπὶ σφετέρῃσ᾽ ἀρετῇσι φρονοῦντες,
ἀφραδίαις τυφλῶν ἀμπλακίαις τε φρενῶν:
αἰτῆσαί σε καθὼς κείνων ἀντάξιον ἆθλον,
τολμῶσιν μετοχὴν οὐρανίοιο βίου.
αὐτὰρ ἔγωγε κακὸς, κ᾽ ἄντικρυς ἀτάσθαλος εἶναι
φημὶ, καὶ ἀϊδίου ἀξιόω με μόρου.
μήτε νόμαια σέθεν ποτὲ πεπληρωκέν᾽ ἔμ᾽ οἶδα
παιδιόθεν, μέχρις τῆσδε χρόνοιο ῥοπῆς.
ἤδη γὰρ πρῶτον γενέταο με τεκνογονοῦντος,

πρὸμ μ᾽ εἰς τὴν μήτραν φαῦλομ ἐσῆλθομ ἐόμ.
καὶ ῥυπαρόν τι μίασμα φίλη με συνέλλαβε μήτηρ,
κἀμ νοσερῇ νοσερὸν βάστασε γαστρὶ γόνον.
κεῖνο δὲ γὰρ δεκτόν σοι, καὶ καταθύμιόν ἐστι,
κἢν κρύφιον προορῇ τὶς τὸν ἐόντα λόγον.
γνοὺς ἐ δικαιοσύνης τεὴν ὑστερέεσθαι ἀδούσης,
καὶ κακὸν ἐκ γενετῆς πάγχυ τετύχθαι ἐμῆς.
οὐδ᾽ ἀγλαὸν τέρπει, καλόν τε σχῆμά σε ἔξω,
ἀλλὰ ταπεινὰ φρονοῦν κῆρ, στονόεντε φιλεῖς.
ταύτην γὰρ πινυτὴν ἔμαθον πρὸς σεῖο διδαχθείς,
ἧς τηλοῦ σοφίη κόσμου ἄπεστιν ὅλου.
σὺ καὶ ἐπισταμένως μυστήρια σοῖο λόγοιο,
σῆς τε σέλας διδαχῆς, καὶ φάος ἴδμεν ἅπαν.
ἴδμεν ἐπαγγελίας σὰς τοῖς προγόνοισι δοθείσας,
καὶ προσδρέισασθαι πίστει ταῖσδε νόον.
ῥαντίσον ὑσσώπου βαφθεῖσί με αἵματι φύλλοις,
σοῦ θεὸς ἀμνοῦ, ἅπαν κόσμου ἀφεῦντος ἄγος.
ὅππως, νῦν ἀκάθαρτος ἐών, καθαρός κε γενοίμην,
μηδεμίην τε φέροι μοί τι μόλυσμα βλάβην.
πᾶν τ᾽ ἀπ᾽ ἐμοῦ λοῦσον βλένος, φαίδρυνέ τε πάγχυ
τοὐμὸν ἀποπλύνας σοῖς λοέτροισι δέμας.
ὄφρά μοι ἢ χιόνος λευκοῦ πολὺ κάλλος ἄμεινον,
αἰθερίαις τ᾽ αἴγλαις εἴκελον εἶδος ἐόν.
δὸς τάχυ εὐφροσύνην μ᾽ οἴσοντ᾽ ἐπάιστα γενέσθαι,
σὺν νοίης φαίνων σήματα δῆλα τεῆς.
ὅππως τὰ θραυσθέντα, τεῆς δμηθέντα θ᾽ ὑπ᾽ ὀργῆς
ὀστέ᾽ ἀναζήσῃ, καὶ σθένος αὖτε λάβῃ.

αὖ,

αὖ, θ' ὑγιὲς, νοσερῶς πρὶν ἐὸν, δέμας αὐτὸ γένηται,
    ἔκ τε ἐμῶν ῥεθέων πηλὸς ἅπας κε φύγῃ.
τηλόθ' ἁμαρτοσυνῶν ὦ τῶνδ' ἔχε σὸν τὸ πρόσωπον,
    ὦ ἀπ' ἐμῆς στρέψαι ἱλύδιος ὅσσε θεός.
πάντα βλέπον τὸ βλέμμα σέθεν μὴ βλέψαι ἕκαστον
    ταῦθ', ἅ σοι κἂν βλέψῃς μέλλει ἀπεχθῆ ἔμεν.
σβέσσον ἁμαρτήσεις πάσας, καὶ πᾶν τὸ βέβηλον
    οἴκου τοῦ στήθους ἐντὸς ἐμοῖο πάθος.
κῆρ ἄκακον, κῆρ ἄχραντον, κῆρ καλὸν, ἰδ' ἐσθλὸν,
    κῆρ ἐν ἐμοὶ δυνατὸν κτίζε δίκαια φρονεῖν.
κὰν τοῖς μου σπλάγχνοις ἀνὰ πνεῦμα νέου τὸ πρόθυ-
    κεῦθον, ἐμῆς ψυχῆς ἡγεμόν' ἐσσόμενον. (μον,
ὄφρ' ἀπεριτρέπτως χάριτος σῆς ἀντιέχωμαι,
    ἀστυφελεῖ ταύτης πίστει ἁψάμενος.
μή κεν ὁ δεινότατος πλάζειν ὅγε κοίρανος ἄλλου,
    κερδοσύνῃ τῇ ἑῇ, ἐς τιν' ἄγῃ με πλάνην.
μή με τεῆς πόῤῥω ῥῖψον παντλήμον' ὀπωπῆς,
    στυγνὸν ταρταρέης εἰς τὸ βέρεθρον ἕδρης.
μήτ' ἀπ' ἐμοῦ προφυγεῖν τόσα πάρος πταίσαντος ἀλιτροῦ
    πνεῦμά σέθ' ἢ δυνάμει πάνθ' ἁγιάζον ἕα.
δὸς δ' αὖ μοι σωθέντι λαχεῖν ὑπὸ γήθεα σεῖο,
    ἔκ τε μυχοῖο φρενῶν τάρβεα πάντα βαλεῖν.
μή τε τι δυσθυμεῖν ἐνὶ θλίψεσιν, ἠὲ διωγμοῖς,
    μήτ' ἀέκοντα παθεῖν, ἅττα παθεῖν σὺ κέλῃ.
ἀλλὰ πρόθυμον ἔμεν διὰ πάντα τὰ λυγρὰ πορῆσαι
    σῇθ' ὑπακούσασθαι πάντοτ' ἐφημοσύνῃ.
ἐδ' εὐεργεσιέων τῶν σῶν ἀμνήμονά μ' εἶναι,

ἀλλὰ χάριν πολλὴν τῶνδέ σοι ὄψει ἰδεῖν.
καὶ γὰρ σὴν διδαχὴν ἄλλοις ἐκθήσομ᾽ ἀλιτροῖς,
τοῖς τ᾽ ἀνόμ᾽ ἔρξασιν σὰς φανερώσομ᾽ ὁδούς.
ὄφρα ὑπερβασίας σφετέρας νοέωσι καὶ αὐτοί,
καὶ θρηνῶσιν, ὅπως οὐδὲν ἀθῷον ἔχειν.
εἶτα τεῶν λογίων σωτήρια ῥήματα γνόντες,
πρὸς σὲ ἐπιστρέψαι σφὸν μεμάωσι βίον.
οὕτω σὸν κῦδος, κλέος, οὔνομα, δόξα προκόψαι,
ἠδ᾽ ἐπὶ τὸ πλεῖον μέλλει ἀν᾽ ἦμαρ ἴμεν.
ὦ μέθες αἰνὰ θεός μοι ἀλγηγέος αἴτια ποινῆς,
ὃς καὶ ἐμὸς σωτὴρ καὶ θεὸς ἐσσὶ μόνος.
τήν τε ἐμὴν ψυχὴν φονικῆς ἀπόλυσον ὀφειλῆς,
μὴ δέον ἢ κείνην, εἵνεκα τῆσδε θανεῖν.
ἐν θανάτῳ τε μένειν, καὶ τῶν ἀσέβησσιν ἐπαυρεῖν,
καὶ στυγερὴν τίειν ἤματα πάντα δίκην.
αὐτὰρ ἵνα ζώω, καὶ μοῦ ζώοντος ἀείδῃ
γλῶσσα, δικαιοσύνης ἔργα μέγιστα τεῆς.
τοὔνεκ᾽ ἄρ᾽ ἀμφοτέρω σοὶ ἐμοὶ τὼ χείλε᾽ ἀνοίξαις,
κελλοσύνην τ᾽ ἐπέων, εὐφραδίην τε πόροις.
ὄφρα τεὴν δόξαν στόμ᾽ ἐμὸν κηρύσσον ἀέξῃ,
τῇσι θεοφράστων ἀγγελίῃσι λόγων.
οὕτω γὰρ ῥέξειν ἐμ᾽ ἀρεστά σοι ἱρὰ δύνασθαι,
καὶ τελετὰς δεκτὰς οἶδα μάλιστα τελεῖν.
θύμασ᾽ ἐπεὶ βωμοῦ βεβαρημένου αἱμοφορύντοις,
μήτε τεὴν φροντίς, μήτε τις ἐστὶ λόγος.
εἰ γὰρ ἔην, εἰ βοῦν, εἰ μῆλ᾽, εἰ ἔμπνοον ἄλλο
ἤθελες, εἰς δοῦν᾽ ἂν καὶ τόδ᾽ ἕτοιμος ἔην.

νυνὶ

σφῶϊ ἢ τοιούτων οὐδ' ἕν τι πέφυκέ σε τέρπειν,
    ἀλλ' ὡς θῦμα φίλον πνεῦμα τάλαν δέχεαι.
πνεῦμα πιεζόμενον, πνεῦμα στενὸν, ἠδὲ κατηφὲς,
    μεστὸν ἀνιάων ἔνδον ἑαυτοῦ ἐόν.
πρὸς τῷδ' ἀχνύμενον λύπῃσι μάλ', οὐδέ τιν' ἰσχὺν,
    ἢ σθένος, ἠὲ μένος κῆρ ὑπόλοιπον ἔχον.
κῆρ στοναχὰς προϊὲν καὶ κρύβδην δάκρυα λεῖβον,
    ἠδομένου σοῦ ἔφυ πλησίον, ἰθὺς ἴμεν.
τοῦ σὺ καταφρονέειν οὐ μέλλεις οὔτ' ὀλιγωρεῖν,
    ἀλλὰ πεποιθῆσαί σοι τὰ μάλιστα φιλεῖν.
τοιοῦτον κἀγώ σοι πνεῦμά τε κῆρ τε τεθνηκὼς,
    ἱλαόν σ' εὑρεῖν κάρτα πέποιθα θεός.
ἓν δ' ἔτι σοῦ δέομαι, τό σύ μοι τρόπον οὔτιν' ἀπείποις,
    σῆς ἀλίης ἐφ' ὅλης τῆς χθονὸς ἴσθι φύλαξ.
ἐμπεδόων ἀγίης αἰπεινὰ κάρηνα Σιῶνος,
    ἧς παρ ἀεὶ χρησμοῖς ἔξοδος ἔστι τεοῖς.
καὶ τείχει ὀχυρῶν ἱδρύων πόλιν ἄλλῳ ἐπ' ἄλλῳ,
    ὄφρ' ἀδεὴς οὕτως, ἠδ' ἀνάλωτος ἔῃ.
συχνά τε ἀσφαλέως ἀστῶν νιν πλήθεα ναίῃ,
    σὸν κληΐζοντων ἤματα πάντα κλέος.
δὴ τότε τηλεδαπῶν σοὶ ἅπαντα κατ' ἤθεα λαῶν,
    δῶρα δικαιοσύνης οἴσει ἕκαστος ἑῆς.
τοῖοις καιομένοις συνέπαινος ἄρ' ἔσσεαι ἱροῖς,
    τοιούτου δέξῃ τετράποδός σου κρέας.

# ΨΑΛΜΟΣ ΝΒ.

Ὑπόθεσις.

Προὔδωκεν ποιμὴν ὁ Δωὴγ τὸν ταῦτα Δαβίδην
γράψαντ', αὐτὰρ ὅμως ἠδύνατ' οὔτι βλαβεῖν.
ὡς δ' αὔτως καὶ νῦν ἀβεβήλοις λυγρὰ βέβηλοι,
τεύχουσι σφετέρῃ, μαψιδίως γε, βίῃ.

Ἔμπληκτ', αἰνομανὲς, κάρτος τ' ἐπιειμέν' ἄαπτον,
τίπτ' ἐπ' ἀτασθαλίῃς τόσσα τεῇσι φρονεῖς;
εἰς ἔτι σὺ μενίνης, καὶ ἐς ἤματ' ἀπείρονα θείης
μιμνούσης, τέλεος τόν τε χατοῦντα χρόνον.
γλῶσσα τεὴ σίνος μορμηείζουσα, μάλ' ὀξὺ
ὡς ξυρὸν, ἀτρεκίης ἄμμορα τέμνει ἔπη.
μᾶλλον ψευδόμενος χαίρεις, ἢ ἐτήτυμα βάζων,
καὶ τὰ δικαιοσύνῃ ἀντί', ἢ ἔνδικ' ἔρδων.
χ' ἥδιστον κραδίῃ τῇ σῇ τόδε χάρμα τέτυκται,
μυθεῖσθαι δολοερῇ τὰ βλαβερ' ὄντ' ἐνοπῇ.
καὶ διὰ τοῦτο θεὸς ξυνόλως σε κατ' αὐτὸν ἐλεῖται,
συντρίψει τε τὸ πᾶν ἐξολέσαντα μένος.
ἐκ σκηνῆς τ' ἄρσει, τῇ ἐνὶ πρόσθ' ἔμπεδος ἔστης,
γῆς τε σε τῶν ζώντων ῥιζόθεν ἐκβαλέει.
ταῦτα θεησάμενοι μάλα ῥιγήσουσι δίκαιοι,
ἡδύ τε φήσουσιν τοῖα γελῶντες ἔπη.
εἴσιδ' ὅδ' ἐστὶν ἀνὴρ, σωσίβιον ὅς οἱ θεὸν αἰνῇ
οὔποτ' ἀμηχανίῃ ἔν τιν', ἐπείθετ' ἔμεν.
αὐτὰρ ἑοῖς πίσυνος περιμέτροις χρήμασιν ἦεν,
πρός τε καὶ οὐκ ὀλίγον ῥέζεμεν εἶχε κράτος.

ἀλό-

ἀλδόμενος θαλερῇ ἢ ἐλαίῃ, ἰδ' ἀγλαοκάρπῳ,
　δώμασ' ἐν ἀϊδίου σῆντι μενόισι θεοῦ·
χλωρὸς ἐγὼ μενέω, πεπιθήσας κηρόφιν αὐτῷ,
　ἤματα μήτε πόσας, μήτε λαχόντα τέλος.
οὔποτε δὴ λήξω σὲ θεὸς χαρίτεσσι γεραίρων,
　ὅττι σὺ ἐξανύσας τὰ χρεὼ ἔσκε τελεῖν.
κοὐδέποτ' ὀκνήσω ζάθεον σέθ' ὑπ' οὔνομα μίμνων,
　καὶ γὰρ χάρμ' ὁσίοις τοῦτο μέγ' ἐστὶ τεοῖς.

## ΨΑΛΜΟΣ ΝΓ.

### Ὑπόθεσις.

Ταῦτα μάτην ἔρδεις, ὅσα πίστιος ἄμμορος ἔρδεις,
　εἰ καὶ ἐρδέμεναι καλά σοι ἔργα δοκεῖς.
τοσσάκις ὁ ψάλτης σοὶ ταῦτα θυηπόλ' ἐνισπεῖ
　ῥωμαῖ', οὐκ ἀΐειν λῆσδε μάταιε, φοβοῦ.

Τόσσης μαργοσύνης μεστοί τινες ἄνδρες εἰσίν,
　ὥστε θεὸν φάσκειν ἀμφαδὸν οὐδέν ἔμεν.
πρόρριζοί τ', αὐτόπρεμνοί τ' ἔφθαρθεν ἅπαντες,
　ἔντε βδέλυγμ' ἔργοις σφοῖσι γένοντο κακοῖς.
οὔτις ἔτ' ἔστ' αὐτῶν ὑπόλοιπος ἐναίσιμα πράττων,
　οὔτις ὑπερβασίης ζῇ ἔτ' ἄπειρος ἐών.
αἰθέρος οἰκήτωρ κατὰ γῆς θεὸς ὄμματ' ἐρείδων,
　φῦλα πολυσπερέων πάντα κάτοιδε βροτῶν,
μαστεύων τὸν ἔχοντα κέαρ πινυτόν τε, καλόν τε,
　καὶ τὸν παγγενέτου οὐκ ἀμελοῦντα θεοῦ.
ἰθέης πάντας ἢ βλέπ' ἐκβεβαῶτας ἀγυιῆς,
　ἔμμεναι ἀχρείους, ἔμμεν ἀνωφελέας.

μήτε δικαιοσύνην ἐπιτηδεύοντά τιν᾽ εὗρε,
  μήθ᾽ ἕνα σύμφωνον δρῶντά τι ἔργμα νόμῳ.
μῶν ἀεσιφροσύνης λήξουσι κατάρατοι ἄνδρες,
  ἄνδρες ἀτασθαλέειν τοῖσι τόσ᾽ ἐστὶ φίλον;
οἳ λαὸν θοινῶνται ἐμὸν, καὶ δαῖτα πένονται,
  μυστιλλίζοντες χερσί μιν ὡς ἀκόλους.
μήθ᾽ ἱκετεύουσιν πάνταρχον ἐόντα θεὸν πρὸς,
  μήτ᾽ ἐποπίζονται μῆνιν ἔχοντα τόσην.
αὖθις δ᾽ ἔμπλειοι χλωροῖο φόβοιο πέλονται,
  ἧχι φόβοιο ἐχρῆν σφᾶς δίχα παντὸς ἔμεν.
καὶ γὰρ σκορπίζει ὁ θεὸς τῶν ἐργοδιωκτῶν
  ὀστέα, μηδεμιῆς ἔμμορ᾽ ἔτ᾽ ὄντα βίης.
καὶ σφῶν αἰσχύνη μεγάλη κατὰ γῆα καλύψει,
  οὕνεχ᾽ ὅλως ὤρην σφῶν θεὸς οὔ τιν᾽ ἔχει.
τίς ῥύστης μογερῶς τοῦ Ἰσραῆλος ἔχοντος
  ἔσσεται, ἐξ ἁγίης δεῦρο Σιῶνος ἰών;
κὴν στιβαρῶν δεσμῶν, οἷς νῦν ἠρημένος αἰνῶς
  τείρεθ᾽, ἑὸν λύσῃ κύριος αὖτε λεών·
τοῦτο τῷ Ἰσακίδῃ ἀμέγαρτον χάρμα κεν εἴη,
  τῷδέ χ᾽ ὁ Ἰσραὴλ θυμὸν ἰαίνοι ἑόν.

## ΨΑΛΜΟΣ ΝΔ.

### Ὑπόθεσις.

Τοῦ φυγάδος προδόται Ξιφῖτ᾽ ἐγένοντο Δαβίδου,
  ἀλλὰ μάτην, ἐπεὶ οἱ χεῖρ ὑπερεῖχε θεός.
τοῦσδ᾽ οὖν ἐκ θεόφιν πόλεμον κακὸν εὔχετ᾽ ἐπισπεῖν,
  συμβαίνειν προδόταις ὅ, ττι γ᾽ ἅπασιν ἔδει.

Ὅππως

Ὅππως δοξασθῇ τεὸν οὔνομα, σῶζέ με δειλόν,
καὶ θείης ταμίης μοι θεὸς ἴσθι δίκης.
πεύθεο εὐχωλὰς τάς σοι γαίηθεν ἰάλλω,
ῥήματα σοῖς χειλῶν οὔασι δέχνυσ' ἐμῶν.
ὀρμαίνει γὰρ ἐμοὶ ὀθνεῖά τιν' ἔθνεα λοιγόν,
κἄνδρες ὀβριμοσθενέες, φῦλ' ἀμόρβιμνα σέθεν.
καὶ δ' ἀλεξίμορος θεός ἐστί μοι, καὶ δὲ σώζει
ψυχὴν ναιετόων κύριος αἰθέρ', ἐμήν.
οὗτος ἐμοῖς ἐχθροῖς σφετέρης ἀποδώσει ἀμοιβὴν
ὕβριος, κὴν σκεδάσας σφᾶς κατὰ νητρεκίην.
καὶ τόθ' ἑκὼν ἀπόδεκτα τεὶν σωτήρια θύσω,
τοῦ τε μάλ' οὐνόματος σοῦ ἀγαθοῖο κλέος.
θλίψιος ἐκ πάσης, πάσης γὰρ ἔμ' ἔφυσ' ἀνάγκης,
λοιγὸν ἐμῶν ἐχθρῶν ἄσμεν' ὅπως κεν ἴδω.

## ΨΑΛΜΟΣ ΝΕ.

### Ὑπόθεσις.

ἄλλο μὲν εἰπέμεναι, πραπίδεσσι δ' ἢ κευθέμεν ἄλλο
μνηστώρεσσι κακῶν ἐστί τις ἀνδράσ' ἔθος.
τῶνδε κατ' εἴρηται τάδ', ἀτὰρ σφισὶν εἴκελον αὐτοῖς
ὅσσον ἡ ἀμφιλαφὴς νῦν στίφος αἶα τρέφει.

Ὡς ἄλλων σὲ γουναζομένων εἴωθας ἀκούειν
κύρει, ἀπ' οὐρανίης τῇ θαμέεσσιν ἕδρης,
ὣς κἀμεῦ τοῦ σοῦ θεράποντος κλῦθι προσευχήν,
καὶ σέθεν ἄγχ' ἑκάσου τὴν δὲ δέησιν ἴμεν.
πεύθεο μυρόμενον τετιηότ' ἐμ' αἰνὰ θυμῷ,
ἀσβῆς ἀτεμβόμενον, κἄμμ' ἐπάκουε δρακών.

καὶ γὰρ θεσπεσίη ἐχθρῶν ἐμ᾽ ἀτέμβει ἀϋτή,
   καὶ σφόδρα θλίβουσιν δυσσεβέες με βροτοί.
κἀμοὶ οὐλομένην φράζονται τλήμονι ὕβριν,
   σκυζόμεν᾽ ἐκπάγλως, καὶ νεμεσῶμεν᾽ ἐμοί.
λυπρὸν ἀδημονέω τεταραγμένος ἐν φρεσὶ θυμόν,
   χὠ θανάτου πρόπολος στυγνὸς ἔμ᾽ εἷλε φόβος.
εἷλέ με δεῖμ᾽ ὀλοὸν, ῥῖγός με ἐπῆλθε, τρόμος τε,
   καὶ κατάπληξις ἐμὸν πολλὴ ἔδυσε κέαρ.
εἴθε, φάμην, δοίη πτερὰ ἐμοῖσιν ἐλαφρά τις ὤμοις,
   οἷ᾽ ἀετὸν φεύγουσ᾽ ὦκα πελειὰς ἔχει.
οὕτως εἰς ἀπίην φυγέειν ἐθέλοιμί κεν αἶαν,
   καὶ στίβον ἀνθρώπων τῶνδε, καὶ ὅσσε λιπών.
ὡς ἄβατόν κε φύγοιμι πέδον καὶ ἄοικον, ἔπαυλιν
   πὰρ θήρεσσιν ἐμοὶ ἔνθ᾽ ἀγρίοισι ποιῶν.
καὶ μάλ᾽ ἐπειγοίμην τῆς φύξιος, ὥς κε θύελλαν,
   χεῖμά τ᾽ ἀλυξαίμην τόσσον, ἀπόπροθ᾽ ἐών.
ἄνδιχα τὰς γλώσσας αὐτῶν τάμε, κἄμβαλε πόντῳ,
   ὕβριν γὰρ πόλεως ὄπωπ᾽, ἔριν τε κρατεῖν.
ἀμφί τ᾽ ἀμαιμακέτως τὰ ἐκείνης τείχεα βαίνειν,
   τοῖς ἔνι χ᾽ ἡ ἄτη, καὶ ἡ ἀμηχανίη.
καὶ ἡ ἀτασθαλίη πάντων γενέτειρα κακίστων,
   χ᾽ ἡ πρόθυρα προλιπεῖν οὐκ ἐθέλουσ᾽ ἀπάτη.
εἴ τις προσείψειεν ἐμοὶ τόσσον ἐχθρὸς ὄνειδος,
   τλαίην κεν πάντως καί περ ἀθῶος ἐών.
καὶ εἰ ὅ με στυγέων, πιέσειεν ἔμ᾽ ὑψαγόρης τις,
   τοὐμὸν ἀποκρύψας οὐ μογέοιμι δέμας.
σὺ δ᾽ ἀγαπητὸς ἐμοὶ ἑταῖρός τε, καὶ ὄρχαμος ἐσσί,

τύ μοι ξυμπάντων φίλτατος ἐσσὶ φίλων.
μνησάμενος μετ' ἐμεῦ μελιηδέα πολλάκι μῆτιν,
καὶ φρενὸς ἐγνωκὼς πάντα νοήματ' ἐμῆς.
καὶ προσομιλήσας ἐμοὶ ἐν ἀργυροφεγγέϊ νηῷ,
ξυνὰ δ' ὅθ' ἀενάῳ ῥέξαμεν ἱρὰ θεῷ.
μοῖρα τανηλεγέος θανάτου σφᾶς λάβρη ἐπέλθοι
ἔμψυχ' εἰς ἀΐδου βαῖεν ὑπὸ χθόν' ἔδος.
ἐν γὰρ ἅπασ' αὐτῶν αὐλῇσι πονηρίη οἰκεῖ,
χ' ἡ κακίη νομίμης οὐκ ἀλέγουσα δίκης.
αὐτὰρ ἐγὼ κραδίην, θεὸν, ἀντιβολήσομ', ἀχεύων,
καὐτὸς ἀλεξίκακός μοι τάχ' ἐλεύσετ' ἐών.
δειελινὸς κλαύσω, καὶ ἅμ' ἠοῖ φαινομένηφι,
οὔτε γόων ἔσεται νόσφι μεσημβρὶ, ἐμῶν.
καὶ στοναχὴν, καὶ θρῆνον ἐμὸν, καὶ ὀδυρμὸν ἀκούσει
αὐτὸς, καὶ λυπρὸν τὴν δ' ὄφ' ἱεῖσαν ἔπος.
δυσμενέων λυτρώσετ' ἐμήν τ' ἀπὸ κάρτεος ἀνδρῶν
ψυχὴν, ἐν χαρτῇ ζήσῃ ἵν' ἠρεμίῃ.
καί περ ἐμοὶ πλείστων ἐπιμόχθῳ ἐχθρὰ φρονεόντων
καὶ πάμπολλ' αὐτῇ πήματα φραζομένων.
οὐ χάων ἐπακούσει ἐμῶν θεὸς αἰὲν ὑπάρχων,
καὶ σφᾶς ὑψηλοὺς ὄντας ἔραζε βαλεῖ.
οὐ μετὰ γὰρ μελέουσι, κακῶν λήγουσι τε ἔργων,
οὔτε φοβοῦντ' ἐχθρὸν τοῖς ἀσεβέεσσι θεόν.
τοῖσι γὰρ ἡσυχίην φιλέουσ' ἐπὶ χεῖρας ἱεῖσι
ἀνδράσι, τοῖς δ' ὁσίης πλεῖστον ἔχουσι μόρος.
καὶ τὰς ἐκ θεόθεν διαθήκας, συνθεσίας τε
τόσσα, βεβήλωσαν, ῥέξαμεν' ἐχθρὰ θεῷ.

τὸ στό-

τὸ στόμα βουτύρου μαλακώτερον αἱμύλα βάζει,
σκληρὸν δ' ὁρμαίνει δηϊότητα κέαρ.
ῥήματ' ἀπὸ γλώσσης ἁπαλώτερα λείβετ' ἐλαίου,
καὶ ξίφεσ' ἀμφιτόμοις πάντ' ἴκελ' ἐστὶν ὅμως.
ῥῖψον ἐπ' αἴδιον τὸν κύριον ὅσσα σε κήδει,
αὐτός σε θρέψει ἐνδεῆ ὄντα τροφῆς.
οὔτε παλιρροθίοις ἐνὶ κύμασιν ἄνδρα δίκαιον,
ὡς σκάφος εἰνάλιον, λείψεθ' ἅπαντα χρόνον.
ἀλλά συ ὠμόφρονας, καὶ ψευδῶν τέκτονας ἄνδρας
ἐμβαλέεις στυγίοις αἶψα ῥόοισι θεός.
οὔτ' ἐάσεις ζωῆς σφᾶς ζῆσαι ἐφ' ἥμισυ πάσης,
ὦ ἄνα, ὦ ψυχῆς εἶλαρ ἰδ' ἐλπὶς ἐμῆς.

## ΨΑΛΜΟΣ Νϛ.

Ὑπόθεσις.

Ταῦτα φιλισταίων ὁ φυγὰς πρὸς ἄνακτα Δαβίδης
ὀρχόμενος μινυρῇ φωνῇ ἔειπε θεῷ.
τοῖσι κατ' ὠμηστῶν χρῆσθ' ἧμιν ἔοικε τύραννον,
εἷς κεν ἢ οὐρανίων ἔχθιον οὐδὲν ἐπῶν.

Ὦ ἐλεημοσύνης πηγὴ θεὸς, εὐμενίης τε,
σόν με ταλαίπωρον σφόδρ' ἐλέαιρε λάτριν:
λάξ ἐπ' ἐμοὶ βαινόντων τῶν τλήμονι ἐγγεγαώτων
τῆς χθονὸς ἀνθρώπων, πηλογόνων τε βροτῶν.
καὶ πολεμιζόντων ἐμ' ἀλήκτως ἤματα πάντα,
κἀμὲ στεινούντων πάντοθι κλειόμενον.
δυσμενέες με κατ' ἂρ πατέουσι πανήμεροι ἄνδρες,
κἀμὲ ξυντρίβειν σφῇ με μάχασι βίῃ.

ὄφρα

ὄφρα τ' ἀνύσωμιν πλέον, εἰς ἓν ἅμα πολλοὶ ἔρχονται,
ἔφι ἐμῆς ψυχῆς μοι περὶ μαρνάμενοι.
αὐτὰρ ἐγὼν, ἐπεὶ τὸν ἐμόν τι κατέλλαβε θυμὸν
δεῖμα, σὲ ἐλπίδ' ἐμαῖς ἐν κατὰ φρεσὶ τιθῶ.
μῦθος ὁ θεῖος ἐμοὶ εὖχός τε κλέος τε μέγ' ἐστι,
εἰς τε πεποίθησις πάντοτ' ἐμ' ἐστ' ὁ θεός.
οὔτε τισ' ἀνδρομέαις πεφοβημένος εἴξομ' ἀπειλαῖς,
πῶς γὰρ πημανέῃ σάρξ με βροτὸς κεν ἐών;
συνεχέως δ' αὐτοῖς διαβαλλέμεν ἤρεσε θυμῷ,
ὅσσα πιφαύσκοντος σφῶν τις ἀκούει ἐμοῦ.
χ' ὅσσα λογίζονταί μοι ὀλέθρια πάντα τέτυκται,
καὶ γὰρ λοιγὸν ἐμῷ μητιόωσι βίῳ.
εἰς ἓν ποιοῦνται κρυπτὰς σκιιόντες ἐνέδρας,
καὶ ποσὶ τηροῦσιν γιγνόμεν' ἴχνι' ἐμοῖς,
ὄφρ' ἑλέμεν ψυχὴν κεν ἐμὴν οἷοί τε ἔωσι,
ἀπροϊδῆτ' ἐφ' ἑοῖ σσυέμεν αἶψα μόρον.
πολλά τε ῥέξαντες κακά, ποινῆς ἔμπα λύονται,
τὺ δ' ὑπὸ γλῶν πλεῖος σφᾶς κατάβαλλε χόλου.
τάς τε ἐμὰς πολλὰς δολιχάς τε ἀρίθμεε φύξας,
καὶ τὰ ἔμ' εἰς ἀσκὸν δάκρυα χοῦ ἑτεόν.
ἦτοι ἀριθμήσας ἀκριβῶς μάλ' ἐπίστασ' ἁπάσας,
οὐδέ τε ἑὴν μνήμην τῶνδε μίη κε λάθη.
τότε πεφεύξονται οἱ ἐμ' ἐχθροί, ὅταν σὲ καλήσω,
καὶ τότε γνώσομ' ἐμὸς τιὼ ὅτ' ἐστὶ θεός.
αἰνοῦς ἐμὸς τὸ θεῖον ἔπος, τό, θ' ὁ κύριος αὐτὸς
φῆσεν, ὁ ὑψιβατεῖ δώματ' ἐν αἰθέρ' ἔχων.
κἀμ θεῷ ἐλπίζω, δέος ἐν φρεσὶν οὐδὲν ἔτ' ἴσχων,

τίς

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

τίς γὰρ σ' εἰνέσθαί κεν με δύναιτο βροτός;
σοὶ θεὸς εὐξάμενος τόδε, σοὶ τόδε μνώομ' ὑποστὰς,
εἰσέμεν εὐεργέων σοὶ χάριν ἀντὶ τεῶν.
τὺ γὰρ ἐμὴν θανάτου ψυχὴν ἐρρύσαο, τὺ γὰρ
ταρσὸν ἐμὸν σφαλερῶν ἤγαγες ἐκτὸς ὁδῶν
ὄππως κεν σαυτοῦ προπάροιθεν ἔμ' ἴθματα πήξω,
ἐν τῷ ἀεὶ ζώντων σοῦ διὰ φέγγει ἄγων.

## ΨΑΛΜΟΣ ΝΖ.

### Ὑπόθεσις.

Ἐν σήραγγι λαθὼν τάδ' ἔλεξε κρυφηδὸν ὁ Δαβὶδ,
ὅττι μιν ἀγχίμολον δεινὸς ἐπῆλθε μόρος.
οὕτω καὶ ἡμᾶς ἐν κινδύνοισι βίοιο
πᾶσι, θεοκλυτέειν δεῖ τὸν ἐόντα θεόν.

Μείλιχος ἴσθι ἐμοὶ, ἐμοὶ ὦ θεὸς ἤπιος ἴσθι,
τῷ ἐπί σε ψυχῇ ἐλπίδα θέντ' ἐν ὅλῃ.
τῷ τε ἀπημοσύνης ἀπολαυσέμεν οἱ ὀρατεινῆς,
χρυσῇ ἐνὶ πτερύγων σῶν δονέοντι τέγῃ.
εἰσόκεν ἡ κακιέων ἄτη γενέτειρα παρέλθῃ,
ἡ τόσον κροτέων νωῒ κρατοῦσα φρενῶν.
κύδιε σὲ στονάχων ἱκνοῦμαι ὑπέρτατε πάντων,
τὸν παύοντ' ἐχθροὺς κάρτεος οἷον ἐμούς.
σώζει ἔμ', οὐρανόθεν δεινῶν μοι ἐπίρροθος ἐλθὼν,
τῶν τε πιεζόντων ὕβριος ἔκ με λύει.
σώζει ἔμ', ἀτρεκίην ὁ θεὸς, καὶ πίστιν ἰήλας
ὑψόθεν, ἣν πάντων ἔξοχα μοῦνος ἔχει.
εὕδει ἐν ὠμοφάγοις ἡ ἐμὴ βλοσυροῖς τε λέουσι

ψυχή.

ψυχὴ, ἀμυνέμεναι τοῖσί μιν αἶψα μέλει.
οἱ ἀνθρωπείου φλόγες αἵματος ἐκγεγαῶτες
εἰσὶν ὀδόντας ὅπλοις καὶ βέλεσ' εἰδόμενοι.
ὧντε μάλ' ὀξείας τούτων λάχον ἔνδοθι γλώσσας,
ὡς ξίφος ἀμφῆκες φῦσαν ἅπαντα πρίειν.
ἄρθη τ' αἰθερίας ὑπὲρ ἀψίδας ὦ θεὲ ἁπάσας,
πᾶσαν ὑπερβήτω τὴν χθόνα δόξα τεή.
παντοθ' ὅποι στείχω παγίδας τιθέασι, πέδας τε,
καὶ ψυχὴν χαμάδις τήνδε μεμῶσι βαλεῖν.
βόθρον ὀρύσσουσι τοῦ μοῦ προπάροιθε προσώπου,
αὐτοὶ πίπτοντες σφῶν νιν ἐς ὄργμα χορῶν.
ἦτορ ἕτοιμον ἐμοὶ, κῆρ μοὶ θεός ἐστιν ἄοκνον,
ψαλμοῖς ἠρατεῖν, καὶ μελέεσσι φορέειν.
ἔγρεο κῦδος ἐμὸν κλέος οὔσά τε δόξα μέγιστον
ὦ λύρη, ὦ φόρμιγξ τὸν σέθ' ἔγειρε θρόον.
ἦμος ἀπ' ὠκεανοῦ ἀναβήσετ' ἐς οὐρανὸν ἠώς,
λέκτρ' ἀνὰ καὶ αὐτὸς στήσομ' ἔγωγε λιπών.
σοῦ τε χαριστήσω λαῶν τοὶ ἄμμιγα πάντων,
κὰμ πᾶσ' αὐξήσω ἔθνεσι σὸν τὸ κλέος.
σὴ ἐλεημοσύνη γὰρ ἐς οὐρανὸν αἰπὺν ἱκάνει,
σὴ γὰρ ἐτητυμίη ἄσσον ἵκησι νεφῶν.
ὑψώθητι θεὸς μήκιστον ἐπ' αἰθέρα βαίνων,
χ' ἡ τεὴ εὐρεῖαν δόξ' ὑπὲρ αἶαν ἴτω.

## ΨΑΛΜΟΣ ΝΗ.

### Ὑπόθεσις.

ὅστις ἀτασθαλίας οἱ ἐνὶ φρεσὶν ἦσι συνειδώς,

οὐ μεθ' ὅμως νοέει, οἷα ἧ πρόσθε ποιεῖ.
τουτονὶ χειμάῤῥῳ, καὶ ἄκοντι κεκλασμένῳ ἶσον,
καὶ ῥάμνοισι τὸ πῦρ τοὺς νέμετ', ἔμμεν' ὄρει.
Οὐκοῦν παντελέως ἔστ' ὦ βροτοὶ ἄνδρες ἄφωνε.
οὐκοῦν ὑμετέρη γλῶσσα πέδῃσι δέθη;
ὥστε δικαιοσύνης πέρ' ὑμᾶς οὐκ ἔμμεν' ἐρεῖν τι,
οἴους τ', ἰθείας κρινέμεναί τε δίκας.
οὐ μὴν, οὐδεμιῇ γὰρ σχέτλια ῥέζετ' ἀνάγκῃ
ἐν χθονὶ, ῥάπτοντες χερσὶ κάκ' ἔργα κακαῖς.
ἀλλότριοι πάντες θεοῦ αἶψα γένονθ' οἱ ἀλιτροὶ,
ἐξ οὗ εἰς μήτραν σφῶν λίφ' ἕκαστος ἐκύ.
τῆλε γένοντο θεοῦ, καὶ ψεύδεα ἦρξαν ἐνισπεῖν,
ἐξ οὗ τικτόμενοι ἥλιον ἦρξαν ὁρᾶν.
οἷον ἔχουσι χόλον βροτολοιγὰ πέλωρα δράκοντες,
τοῖος καὶ σφείων ἐν κραδίῃσιν ἔφυ.
καὶ δὴ καὶ κωφαῖς ἐναλίγκιοι ἀσπίσιν εἰσὶ,
ταῖς μέλετ' ἀστυφελῶς ὦτα κεκλεισμέν' ἔχειν.
τῶν ἐπαειδόντων ἐνοπὴν ἵνα μή κε πύθοιντο,
τοῦτε μάγου σοφὸς ὃς, πολλὰ σόφ' οἶδεν, ἐῶν.
βρυχαλέους αὐτῶν κατὰ κύριε ἆξον ὀδόντας,
τοὺς ἅτε χάλκειον σφῶν στόμα θειγνὸν ἔχει.
σύ τε μύλας τρῖψον παλάμῃσι τεῇσι λεόντων,
τῆς μένος αἰνότατον, τῆς μέγ' ἔνεστι κράτος.
ὡς ὕδωρ καταλειβόμενοι, τάχ' ἔτ' οὐδὲν ἔσονται,
τόξα πενοῦσιν, ἀτὰρ τὺ κατ' ἅπαντα κλάσεις.
σ[illegible]ωτηχθήσονται κοχλίας ἅτε μυδαλέος τις,
τῷ βίος ἐν βήσσῃ μὴ δολιχὸς ᾖ πέλει.

ὡς βρότεον φέγγους ἔκτρωμα γυναικὸς ἀμοιρεῖ
ὥς σφισιν ἐξέσται φοῖβον ἐς ὕποθ' ὁρᾶν.
πρὶν τὰς ὑμετέρας ῥάμνον γίγνεσθαι ἀκάνθας,
ἐκ γῆθεν θαλερὰς σφᾶς χόλος αἰνὸς ἀρεῖ.
ἀλλὰ παλίντιβ' ὁρῶν ὁ θεόφρων ὄργα γενέσθαι,
γεύσετ' ἐϋφροσύνης ἐν φρεσὶν ἧσιν ἀνήρ.
οὗς τ' ἐν ἀτασθαλίης λάτρεων πόδας αἵματι νίψει,
γεινομένης δεινῆς θειόθεν ἐκδικίης.
καὶ τότε φήσουσιν πάντες, κίχε καρπὸν ὁ ἐσθλὸς,
κὰμ πάσῃ ὁ θεὸς γαίῃ ἔτ' ἐστὶ κριτής.

## ΨΑΛΜΟΣ ΝΘ.

### Ὑπόθεσις.

Ἱστορίην ζητεῖς, φησὶν κατὰ ταῦτα Σαοῦλος,
φαίη ἔπη χριστοῦ σοῦ κἂν ὅμως τὶς ἔμεν.
καὶ γὰρ Ἰουδαίων τὸ ἄπιστον δηλόει ἦθος,
καὶ τὸν σφᾶς οἶτον προσδοκόωντα κακόν.

Ἐχθρὰ μενοινώντων ἐμοὶ ὦ θεὸς ἀθλίῳ ἀνδρῶν,
ἔξελε σὸν δοῦλον, σόν τε με ὄντα λάτριν.
τῶν τε ἀνεγρομένων κατ' ἐμεῖο, καὶ ὅπλα λαβόντων,
ὕβριος ὀργατινέων ἄρνυσ' ἐμ' οὐλομένης.
μήτ' αἰναῖς κείνων χερσ' ἐγγυάλιξον ἐμ' ἀνδρῶν
οἷς ἀνδροκτασίης ἥδιον οὐδὲν ἔφυ.
οὕνεκ' ἐμὴν ψυχὴν σὴν θηρεύουσιν ἰόντες,
πάντες κάρτος ὅσοις οὐκ ἀλαπαδνὸν ἔνι.
οὐχ ὅθ' ἁμαρτωλὸς τελέθω τὶς, ἀλίγκιος αὐτοῖς,
οὐχ ὅθ' ὑπερβεβαὼς εἰμὶ θέμιστας ἀνήρ:

ἀλλὰ δίκαιος ἐπεί, καὶ πάμπαν ἀθῶος ὑπάρχω,
    τεύχεα τ' ἔννυνται, σπεύτε μέλει σφὶ θέειν.
ἔγρεο ἀντιάσαι μέλλων ἐμοί, ὄμματε κάμψων
    πρός με, τὸν ἀρρήτους νῦν ὀχέοντα δύας.
ὦ αἰσυμνητὴρ στρατιῆς κρατερ' οὐκ ἀλαπαδνῆς
    ἀνστάθ', ἐπισκέψων ἔθνε' ἅπαντα, θεός.
ὦ Ἰσραῆλος θεός, ἤπιος οὐδενὶ τούτων
    ἴσθι, ἀτασθαλέειν οἷς περὶ κῆρι μέλει.
ἂψ στρεφθείησαν κύνες ἠῦθ' ὅθ' ἑσπέρ' ἂν ἔλθῃ,
    καὶ λιμώξειαν παντόθ' ὀδυρόμενοι.
καὶ στεφανηδὸν ὅλον γοβροὶ τροχόωσιν ἀν' ἄστυ,
    παύλην εὑρόντες τῶνδ' ἔνι μηδεμίην.
χείλεα φθέγγονται ξιφέεσσιν ὅμοια λαχόντες,
    καὶ τίς ἄρ ἡμετέρων φασὶν ἀκούσετ' ἐπῶν;
ἀλλὰ σὺ κύρι' ὅμως αὐτῶν κατὰ πάγχυ γελάσσεις,
    καὶ σὺ χλευασμὸν τεύξεαι ἔθνος ἅπαν.
τοὔνεκ', ἐπεὶ τοσοῦτον ἀνὴρ κράτος ἔννυθ' ὁ ἐχθρός,
    πρὸς σὲ μετ' εὐχωλῶν ἔρχομ' ἀμύντορ' ἐμόν.
προὔφθασσεν ἡ θείη ἐλεητὺς ἔμ' ἔξοχ' ἱκάνειν,
    δειμηθέντ' ἐκ θεόφιν δυσμενῆ ἄνδρ' ὁρῶν.
μὴ τάχ' ἀποκτείνῃς αὐτούς, τάχα μή κεν ἀμνήμων
    ἐμὸς σῆς ὀργῆς πάγχυ γένοιτο λεώς.
ἀλλὰ διασκέδασον σφᾶς ἔνθα καὶ ἔνθα χαλέπτων,
    κάρφων τε, ζωῆς ὦ θεὸς ἀσπὶς ἐμῆς.
ὅσσα διδάσκουσιν, ταῦτ' αἴσυλα πάντα τέτυκται,
    οὔτ' ἐθέλουσι κακῆς λῆξ' ὑπερηνορέης.
ἀλλὰ καταράων καὶ ψευδῶν ἄγγελοί εἰσι,

ἀμμο-

ἄμμοροι εὐστομίης, ἄμμοροι ἀτρεκίης.
τούνη δ', ἐξόλεσον χαλεπαίνων ἀσκελὲς αὐτοὺς,
ὄππως ἐν γαίῃ μηδὲν ἔτ' ὦσιν ὅλῃ.
αἰθόμενοι κρατέειν Ἰσραηλίδος αἴης,
καὶ πάσης πειράτων τῆς χθονὸς ἶφι θεόν.
ἑσπέρι αὖτ' ἀλόωντο ἀνὰ πτολίεθρον ἄοικοι,
κλαγγῶσίν τε κυνῶν ἔνθα καὶ ἔνθα δίκην.
ζητοῖεν φορβὴν, ἤ κε σφισὶ λιμὸν ὀρύκοι,
ἢ τε τροφῆς κορέοι γαστέρα δευομένην.
βρώμης δ' οὐδεμιῆς τετυχηκότες, ἦτορ ἔδοιεν,
μεστοῦντες κενεῶν τὸ πρόπαν ἄστυ γόων.
αὐτὰρ ἐγὼν ἀρετῆς περὶ σῆς καλὸν ᾆσμα ποιήσω,
σῆς τ' ἐλεημοσύνης ἥει πρὸ' ἡδὺ μέλος.
ὅττι μοι ἀκρόπολις γέγονας, πύργος τε πετρήεις,
κείνῃ ἐμὲ θλῖψις, καὶ βαρὲ' ἔσχε δύη.
νωλεμέως ψάλσω, ψάλσω σοι κύρει ἀπαύστως,
ὦ σθένος, ὦ ψυχῆς ἄφθιτε σῶτορ ἐμῆς.
κρημνὸν, καὶ πέτραν, χ' ὑπερασπιστήν σε λελογχώς,
πεῖραν τ' εὐμενίης τοσσάκι σεῖο λαβών.

## ΨΑΛΜΟΣ Ξ.

### Ὑπόθεσις.

ὅττι καὶ ἀτρεμίη, καὶ ἡ θρησκείη ἀληθὴς
εἰσαῦθις χώρην ἐν βασιλείῃ ἔχει:
ἣ φρενόθεν καὶ ἀπὸ στόματος θεῷ εὐχαρίς ἐστι,
ὃ δρᾶν καὶ ἡμῖν αὐτό κε πᾶσι πρέπῃ.

Τηλόσ' ἀπ' ὀφθαλμοῖιν, ὡς ἤειν ἀποθύμι' ἐόντας,
  ἤοῖιν σέθ', ἀπωσάμενος πανασθενὲς ἄμμε πάτρης.
καὶ χόλον ἀψάμενος τιμήορον ὡς ἄμοτον πῦρ,
  καὶ τῇ σκορπίσσας γῆς ἐπὶ, καὶ τῇ ὅλης:
ἤπιος ὡς ὑμᾶς ἐπανέρχεο, μειλιχίαις τε
  ἡμέας γλυκερῶν σῶν ἐπίδερκε βολαῖς.
χ' ὡς σφόδρ' ἐκίνησας χθόν' ἀκίνητόν περ ἐοῦσαν,
  καί μιν ἔτι στερρὸν μηδὲν ἔαξας ἔχειν.
οὕτως ἄλθηνον τὸ πάλιν τὰ κατάγματα κείνης,
  οἷσί μιν ἀσθενέως χθὼν μάλ' ἔχουσαν ἄπους.
σκληρ' ἡμῖν καὶ ἄτλητα τεῷ τεκμήραο δήμῳ,
  οἶνός θ' ὃν λάβομεν παρ' σου ἔγεντο τρόμος.
νῦν δ' αὖ τοῖς σὲ ὀπιζομένοις σημεῖα πόρεσσας,
  ἄττ' αὖ ἀείροντες, χωρὶς ἔωσι βλάβης.
ὅππως οὖν ὁ τεὶν ῥυσθῇ πεφιλημένος ἐσμὸς,
  χειρὶ βοηθείην δὸς, καὶ ἄκουσον ἐμοῦ.
ἐξ ἀδύτοιο ἑοῖ' ὄμφην θεὸς ἤπυ' ἰάλλων,
  ἣ φίλον εὐφροσύνης μοι ἐπέβησε κέαρ.
αὖ δίχα τὴν Σικίμην ταμέω, τὸ Συχωτίδος ἄγγος
  χοίνους, μετρήσω, σῇ παλάμῃσι λαβών.
κτῆσις ἐμοὶ Γιλεὰδ, κτέανον φίλον ἔσθ' ὁ Μανασσῆς,
  χ' ὠ φραῒμ αὐτὸς ἐμοῦ κράατός ἐστι κράτος.
ἀρχηγὸς δ' ἄρ ἐμὸς πέλεθ' ὁ κλυτὸς ἔξοχ' Ἰούδας,
  νιπτὴρ λουσομένῳ τ' ἐστὶν ὁ Μωὰβ ἐμοί.
ἐκ τ' ἐς Ἰδουμαίην τανύω ὑποδήματα γαίην,
  καὶ δι' ἐμ' ὀθνείην γῆν ἀλαλαγμὸς ἔχει.
ἀλλά τις εἰς ἐχυρὴν προϊὼν ἄξει με πολίχνην;

τίς

τίς πρὸς Ἰδουμαίην ἔσσεθ' ὁδηγὸς ἐμοί;
οὐχὶ σὺ ὃς δειλοὺς ἀποτρωπᾷς ὦ θεὸς ἡμᾶς,
οὔτε μάχης βροτέης ἅπτεαι ἐν δυνάμει;
ἴσθι χραισμήτωρ ὀχέεσσιν ὀϊζύας ἡμῖν.
οὔ τινα γὰρ θνητὴ ἰσχὺς ἄρηξιν ἔχει.
σὺν θεῷ ἐρχόμενοι πολεμόνδ' ἀποδείξομεν ἔργα
ἴφθιμ', οὐ τυχίης ἄμμοροι οὐδεμιῆς.
καὐτὸς δυσμενέας, τῶν νῦν κακούμεθ' ὕπ', ἄνδρας
χειρώσας, μέλλει οἷς κατὰ ποσσὶ πατεῖν.

## ΨΑΛΜΟΣ ΞΑ.

### Ὑπόθεσις.

Λίσσεθ' ὅπως λαῷ τῷ ἔθεν θεὸς ἐχθρὸν ἀλάλκῃ,
χεῖρά θ' ὑπὲρ κυδροῦ κὴν βασιλῆος ἔχῃ,
μήπε διχοστασίη ἄφατον κακὸν, εἰς πόλιν ἔλθῃ,
τῆς τε ἀληθείης ψεῦδε' ὑπέρτερ' ἔῃ.

Ἕδρασμ' ὃς θῆκάς σοι ἐν ἀστερόεντι Ὀλύμπῳ
λαμπρὸν, ἀφ' οὗ δύνασαι γῆν καθ' ἅπασαν
κλῦθ' ἰάχοντος ἐμοῦ στοναχάς τε ἰόντος ἀολλεῖς, (ὁρᾶν.
κλῖνε πρὸς εὐχωλὰς σὸν φίλον ἦτορ ἐμάς.
γῆς γὰρ ἀπ' ἐσχατιῶν τηλουροῦ τάσδε δεήσεις,
οὐλυμπόνδε θρόνον πρὸς σὸν, ἵημι βοῶν.
τοὔταχ' ὅτ' ἀργαλέη μοι ὀϊζὺς θυμὸν ἀτύζει,
κἀμὸν ἀμηχανέει ἐν κακότησι κέαρ.
στῆσον ἐπ' ἠερίης ὑψηλὰ κάρηνά με πέτρης,
ἄμβατος ἥ κε βροτῶν σοῦ δίχα μηδέν' ἔῃ.
ὅττι πεποίθησίς συ ἐμοὶ μόνος ἐσσὶ ἁπάντων,

καὶ κατὰ τῶν δηΐων πύργος ἄτρεπτος ἐμῶν.
τοῦ σέθεν ἐν ναέτης σκηνώματος ἔσσομ᾽ ἄλητος,
θαρσήσω πτερύγων σῶν σκέπας αἰὲν ἔχων.
σὺ γὰρ ἐμὰς ἀρὰς ἀΐεις, ἱκέτῃσίν τε ὀφέλλεις
πάντα, τὸν οὐνόματος μὴ ἀμελοῦντα τεοῦ.
ἡλικίην πολλὴν, δολιχὸν χρόνον, ἤματα συχνὰ,
δημοφελὴς βασιλεὺς σεῖο διδόντος ἔχει,
ὄφρα διαμπερέως ζῇ, καὶ ἔτε᾽ ἄλλα ἐπ᾽ ἄλλοις
πεμπάζῃ, γήρως νόσφι γερόντων πέρ ἐών.
κεἰς χρόνον ἀέναον προπάροιθε σέθ᾽, ὦ θεὸς, ἵζῃ,
τῷ ἐλεητικὸν ἔοι, νητρεκίην τε πόρει.
τῶν κε πρὸς ἀσκηθὴς ἦ δουρυφορούμενος αἰὲν,
παντοίοις ἀρχῆς ἐν μελεδήμασ᾽ ἔῃς.
οὕτως εὐκλεέης σὸν πάντοτ᾽ ἐπ᾽ οὔνομα βύσω,
τίνων σοὶ εὐχὰς ἦμαρ ἐπ᾽ ἦμαρ ἐμάς.

## ΨΑΛΜΟΣ ΞΒ.

### Ὑπόθεσις.

Δῆς βίου ἀβλαβέως κακοτήτων ἐξαναδῦναι
πίστευσον πάντων κοιρανέοντι θεῷ.
ψεύδεται ἐλπώρης ἧς, ὁ θνητοῖσι πεποιθὼς
ἀνδράσιν, ὡς ζάθεος τοῖσδ᾽ ἐνὶ μάντις ὁρεῖ.

Οὐχὶ ἐμὴ πισυνὴ ψυχὴ θεῷ ἀτρέμας ἴσχει;
αὐτοῦ σωτῆρος μούνου ἐόντος ἐμοί;
οἷος ἀλεξητὴρ θεός ἐστι μοι, οἷος ἀμύντωρ
ἀπρόσιτος σκόπελος, πύργος, ἄσειστον ἔδος.
οὗτοσὶ ἐν σφαλεραῖς στείχοντά με φρουρεῖ ἀγυαῖς,

μή τινι

μή τινι ἐγχριμφθῶ δυστυχίῃ κε πλέον.
μέχρις τοῦ πολλοὶ κυρέοντες ἕν' ἄνδρα λοχᾶτε,
ὄφρα κεν ἐξαπίνης οἱ ἐφέητε μόρον;
ὡς κατὰ γῆς τοῖχον κλινθέντα τιν', ἠέ γε φραγμὸν
ῥιφθέντα, κρατερῇ μιν καθέλητε βίῃ.
τουτονὶ ἂρ καθελεῖν τοῖχόν σφισι, τουτονὶ φραγμὸν,
μή κεν ἀορθείη μηδομένοισι, μέλει.
οὐδὲν ἀληθείης ἀλέγουσ', εὔφημα δ' ἔφαντες
πολλὰ, καταράων πλεῖον ἔχουσι κέαρ.
ἀλλά σὺ ἡσυχίως θορύβων ἔχ' ἄπωθεν ἁπάντων
ψυχὴ ἐμὴ, πιστὸν προσδοκόωσα θεόν.
πιστοσύνη γὰρ ἐμὴ θεός ἐστι, πέτρη τε, βίη τε,
καὶ τὸ σαώζεσθαι τοῦδε παρ' ἔρχετ' ἐμοί.
πρός γε μιν ἀμφοτρέμεν τόδ' ἐμὸν φύλακ' οἷον ὀφέλλω
ὄττι ποσὶν φοιτᾶν ἀσφαλέεσσι λάχον.
ἐκ γε γαῖα θεοῦ σωτηρίη, οὐρανόπεμπτος
ἔρχετ' ἐμ', ἔνδοξος δόξα μοι ἐστὶ θεός.
ἄκρη τ' ἀστυφελὴς, καὶ ἄθραυστος, καὶ ἀτέραμνος,
κἀμῆς ἐλπωρὴ παντόθι πᾶσα φρενός.
ὦ θαρσεῖτε μόνῳ ταλασίφρονα θυμὸν ἔχοντες
ἐν φρεσὶν, ὦ γαίης λαοὶ ἐπ' ὄντες ὅλης.
τὰς θ' ὑμέων κραδίας ἐκχεύατ' ἐναντίον αὐτοῦ
ἐλπίδ' ἐφ' ἡμετέρῃ ὄντι οἱ ἐλπόμενοι.
ἀλλ' οἱ ἐφημέριοι, συνόλως μεγάλοι τε μικροί τε
ψεῦδός τ' εἰσὶ κενὸν, σφάλματε, καὶ ματίη.
τοὺς κὴν σταθμίοις ῆς, εὑρήσεις ἐλκέμεν οὐδὲν,
καὶ πολὺ κουφοτέρους πάντας ἢ οὐδὲν ἔμεν.

μή ποτ' ἀτασθαλίῃ, ἔργοις τε πεποίθετε τοίοις,
    ὁπποῖ' δυσσεβίης ῥέζει ὁ ἐχθρὸς ἀνήρ.
μήτε ματαιόφρονες τὰ μάταια διώκετ' ἐόντες,
    μήτ' ἔχεθ' ἁρπαλέας κλεπτέμεναί τι χέρας.
κὴν δ' ἐρυηφενίη τιν' ὑμῶν, ὄβριμος ἐπιῤῥῇ,
    μὴ θέῃ ἀφραίνων τὴν φρένα πρός νιν ἑήν.
ἔστι θεόῤῥητος, τὸν ἀκήκοα πολλάκι, μῦθος·
    κτῆμ' ἴδιον κάρτος τοῦ θεοῦ ἐστιν ἅπαν.
καὶ σέθεν οἰκτιρμὸς σχεδὸν οἰκεῖ, καὶ σὺ ἑκάστῳ
    ἄξια τῶν ῥέζει, κύρει' ἀπ' ἄεθλα διδοῖς.

## ΨΑΛΜΟΣ ΞΓ.

### Ὑπόθεσις.

Θυμοῦ ἀναύδητον τετιημένου ἐν φρεσ' ἐέλδωρ,
    ὧδε θεοφράστων ἄμμι φαείνει ἐπῶν.
συγκείνων ἀγεωργήτῳ, καὶ ἀνύδρῳ ἐρήμῳ,
    μῦθον ἐπουράνιον τὴν μὴ ἔχουσαν ἔραν.

Ὦ κόσμου πρύτανι, πρωταίτιε, ἐπόψιε πάντων,
    τῆτ' ἀτρεκεῖ μοῦνον πίστει ἔφικτε θεός·
τούνῃ ἐμοὶ μοῦνος θεραπεύεαι, ὡς θέμις ἐστὶ,
    πρὶν καὶ ὀλυμπόνδ' αὖ ἠριγένειαν ἴμεν.
σεῖ ἱμείρετ' ἐμὸς μογέων ὡς δίψει θυμὸς,
    σεῖο κατεσκληκὸς γλίχετ' ἐμὸν τὸ κρέας.
τὴνδ' ὄφρα ναιετόω μάλα παιπαλόεσσαν ἔρημον,
    ἣ μήτε κρήνας, μήτε τι ῥεῖθρον ἔχει.
τῇ ἐνὶ παπταίνω ἅγιον σὸν λευσσέμεν οἶκον,
    καὶ δὴ σὴν δόξαν σὴν δύναμίν τε ποθῶν.

ὅτι

ὅττι ἀγανοφροσύνη ζωῆς σὴ φερτέρη ἐστὶ,
    τῷ καὶ χείλεσ' ἐμοῖς κῦδος ἔνεστι θεόν.
ὡς ἱμερτὸν ἐμοὶ τελέθει τόδε, σοῖο δόμοιο
    ἔνδον, ἐνὶ ζωῇ εὐστομέειν σὲ ὅλῃ.
πρός τε σ' ἀερτάζειν ἐντεῦθεν ἐς αἰθέρα χεῖρας,
    τῷ τε σέθ' ἀρρήτῳ οὐνόματ' ἦρα φέρειν.
οὕτω ἐμὴ πίεος ψυχὴ περίμεστος αὖ ἦεν,
    εἰ σὸν ἀγαλλομένοις χείλεσ' ἄροιμι κλέος.
σοῦ μνήμων στρωμνῆς ἐπ' ἐμῆς φίλα δέμνια βαίνων,
    ἠοῖ ἅμ' ἐρχόμενος σοῦ πέρι αὖτε λαλῶ.
οὕνεκ' ἐμοὶ παντὸς τοῦ πήματος ἄλκαρ ὑπάρχεις,
    καὶ μὲ εὐφραίνει σῶν πτερύγων τὸ τέγος.
καί σευ ἐμὸς μυχάτῳ ἀντίχετ' ἐν ἤτορι θυμὸς,
    καὶ γὰρ δεξιτερὴ εἶλαρ ἔμ' ἐστὶ τεή.
ψυχὴν δ' ζητοῦσιν ἐμὴν κατεπεφνέμεν αὐτοῖς,
    εὐρέ' ἀνοίξαντος πᾶσι σέθ' αἶα χανεῖ.
καὶ δνοπαλιζόμενοι ξιφέεσιν, ἐπήρατ' ἔσονται
    τῆς τε ἀλώπεξιν βρώματα, τοῖς τε λύκοις.
ἀλλ' ὁ λεῶν ποιμὴν βασιλεὺς, θεῷ ἥδετ' ἀρέσκων
    πᾶς τὸν ἀγακλειὴς ἔσσεθ' ὃς ὄμνυσ' ἀνήρ.
ἔσται γὰρ χρόνος ὦ θεόθ' ἐμφραχθήσετ', ἄμοιρα
    πᾶν στόμ' ἐτητυμίης ὅ, τι πόθ' ἧκεν ἔτη.

## ΨΑΛΜΟΣ ΞΔ.

### Ὑπόθεσις.

Δαυέα πειρηθεὶς Σαοὺλ τῶν ἐχθρὰ φρονεύντων
    τοῖον, ἀρωγὸν ἑὸν πρὸς θεὸν, εἶπεν ἔπος.

ὡς δ'

ὥσδ' αὔτως πολλῶν ἡμεῖς λοχοώμεν' ὑπ' ἐχθρῶν,
    πιστῇ μὶν καὐτοὶ ἀντιβολῶμεν ὀπῇ.

ΩΣ φιλέεις τέκνων τῶν σῶν πάτερ ἤπι' ἀκούειν,
    ὅσσαγ' ὀλυμπόνδε πρὸς σὲ κάτωθε βοᾷ,
ὥς καὶ θωΰσσοντος ἐμοῦ κλύε, πάντοθεν αἰνοῖς
    ἐμπεριϊσχομένου νηλὶ ἀμηχανίαις.
ῥῦσαι ἐμὴν ψυχὴν ἐκ θυμοβόροιο φόβοιο,
    τόν μοι ὁ ἐχθρὰ φρονῶν ἐνεποίησεν ἀνήρ.
κρύψον ἔμ' ἐνδυκέως, ἵνα μή μ' ὁ ἀτάσθαλος ἐσμὸς
    καὶ ὁ ἀλιτραίνων τετμέμεν ὄχλος ἔχῃ.
οἳ σφετέρας γλώσσας καθάπερ θήγουσι μαχαίρας,
    χ' οἷσισιν ἀντὶ βελῶν ἐστ' ἐχεπευκῆ ἔπη.
ὄππως ἐκ πυκινῶν ἐπὶ ἀψεγέ' ἀνδρ' ἐνέδρων,
    τά σφιν ἰάλλωσιν κῆρα φοροῦντα βέλη.
καὶ τοῦτ' ἐξαπίνης πικροὺς, ποιέουσιν, ὀϊστοὺς
    βάλλοντες, πάντως, εἰς μιν, ἄνευ τε φόβου.
σχέτλια φράζονται, καὶ ὀλέθρια δήνεα θυμῷ,
    καὶ περὶ τολμηροὶ λογίον ἔμ' εἰσὶ φέρειν.
καὶ συνομόσσαντες σφετέροισι με ἄφνως ἀγρεύειν,
    τίς κεν φᾶσ' αὐτὰς ὀξὺ βλέπων περ ἴδῃ;
εὕρεταί εἰσ' ἀπατῶν, σκολιοί τε, καὶ ἀγκυλομῆται,
    καὶ περὶ κῆρ' αὐτοῖς πάντα κάκιστα μέλει.
αὐτὰρ ὀϊστεύσει σφέων ταχέεσσι βελέμνοις,
    τραύματά ῥ' ἐξαπίνης ὥς κε λάβωσι, θεός.
ἥτ' ἰδίη γλώσση ὀλοόν σφιν σκάνδαλον ἔσται,
    πεπληῶτες ὅπως πᾶσιν ἔωσι γέλως.
οἱ δὲ τόδ' ἄνθρωποι πάντες φήσουσιν ὁρῶντες,

ἔργμα

ἔργμα τόδ᾽ ἐκ θεόφιν γένετο, τόδ᾽ ἔρξε θεός.
ἀλλ᾽ ὁ δίκαιος ἀνὴρ ἐνὶ κυρίῳ ἦτορ ἄλυπον
ἕξει, καὶ κραδίης ἐλπίδ᾽ ἐθήσει ἑῆς.
χ᾽ οἷς θυμὸς σφετέροις ἐνὶ στήθεσιν ἐστὶ θεουδής,
τῷδ᾽ ἐπι αὐχοῦντες δῆλοι ἔσονται ἀεί.

## ΨΑΛΜΟΣ ΞΕ.

### Ὑπόθεσις.

Μῆτιν ἑὴν ὃς ἔφηνε λεῷ τῷ ἑῷ, οὗτοσὶ σώζει
εἰρήνην, ἀγροὺς εὐλογέων ὁ θεός.
ἀλλὰ τίς ἀνθρώπων τάδ᾽ ἐνὶ φρεσὶ φράζεθ᾽ ἑῇσι,
καὶ χάριτας τίνει οἱ ἐχέθυμος ἐών;

Σῇ εὐεργεσίῃ πολλὴν ἀνὰ τήνδε φέροντες,
ἧς τ᾽ ἀπολαυέμεναι ἄμμι παρ᾽, ἡσυχίην·
δοξολόγοισι θεός σε ἀμειβόμεθ᾽ ᾄσμασιν, ὕμνοις,
ὅτθι σιωνεῖον κεῖτ᾽ ἐρικυδὲς ὄρος.
ὅσα θ᾽ ὑπέστημεν σοι τίνομεν αὐτόθ᾽ ἅπαντα,
ἰόντες κινυρῇ γήρυϊ πρὸς σὲ λιτάς.
τὰς ἐπεὶ κενεὰς, καὶ ἀπρήκτους οὔποτ᾽ ἀπωθεῖς,
κρῆς πρὸς εὔσπλαγχνον τόσσα σὲ οἰχνεῖ ἅπαν.
ἠλίτομεν δεινῶς μὲν ὑπὲρ τὰ σὰ θέσμια βάντες,
ἀλλὰ σὺ ἡμετέρης φείδευ ὑπερβασίης.
ὡς μάκαρ ἐστὶν ἀνὴρ, τόνθ᾽ εἵλεο τόντ᾽ ἀπὸ πολλῶν
σῆς ναέτην αὐλῆς, ἔλλαβες, ἐσσόμενον.
οὗτοσὶ σοῦ ἀγαθῶν μάλα τῶνδε πεπλησμένος ἕξει,
τῶν ἅγιος νηὸς, δῶμα τὸ σεῖο γέμει.
κεῖθι, δικαιοσύνην κατὰ, θαύματος ἤλιθα πολλοῦ

μεστήν,

μεστὴν, ὦ σῶτερ ξυνὲ φίλ᾽ ἄμμε θεός.
ἐλπωρὴ πάντων πυμάτην ὅσ᾽ ἐφήμεροι αἶαν,
ἠδέ γε τηλουρὸν τῆς ἁλὸς ἄγχι λάχον.
ὃς τὰ θέμεθλ᾽ ὀρέων σῷ ἔμπεδα κάρτεϊ ποιεῖς.
παγκρατὲς, ὡς ζώνῃ, ζωσμένος ἀμφὶ βίῃ.
ὅς τ᾽ ἀμφιτρίτην καὶ ἀγάστονον, ἠδ᾽ ἐρίδουπον,
ἦχόν τ᾽ εὐνάζεις κύμαθ᾽ ὃν ἧκεν ἁλός.
τόν τε ὀρινόμενον λαῶν ὕπο φλοῖσβον ἐρωεῖς,
δαμνάζεις τε μόνῳ νεύματι φῦλα βροτῶν.
ὥς κε λάβῃ γαίης ναετῆρας δεῖμα περαίης,
αὐτόπται τεράτων ὅττ᾽ ἂν ἔωσι τεῶν.
ξὺν σοὶ γηθοσύνοις ἔξεστιν ἅπασιν ὁδεύειν,
φαινομένης τ᾽ ἠοῦς, καὶ ζόφου ἐρχομένου.
τύνη πιαλέης τελέθεις ἐπίουρος ἀρούρης,
ἀρδεύων βαθέων τὴν δ᾽ ὑδάτεσσι ῥόων.
καί μιν πληθύνων σῷ μέτρου ἀΐδρει πλούτῳ,
σὸν θ᾽ ὑδάτων χατέειν οὔποτε κροῦνον ἐῶν.
οὕτως ἀστάχυας τὰ βροτῆσι ἐδέσματ᾽ ἀέξεις.
οὕτω γῆ καρπὸς βωτιάνειρα φέρει.
σεῖο ποτίζοντος τοὺς κείνης αὔλακας ὄμβροις,
οὐδέ τιν᾽ ἀζαλέην βῶλον ἐῶντος ἔμεν.
καὶ γάρ μιν πολλοῖς λάβροις θ᾽ ὑετοῖσι μαλάττεις,
σῇ χάριτ᾽ εὐλογέων οὐρανόθ᾽, ὅσσα φύει.
σῇ τ᾽ ἐλεημοσύνῃ ὅλος ἐστεφάνωτ᾽ ἐνιαυτὸς,
χεῖμα, ὀπώρη, ἔαρ· καὶ τὸ μάλ᾽ ἡδὺ θέρος.
οὕτω σὰ στάζει πιότητα μάλ᾽ ἴχνια πολλήν,
δημόν τ᾽ οὐκ ὀλίγον ταρσὸς ἵησι θεός.

ὥστε δὴ αὐσταλέη τὸ πάρος, πιαίνετ' ἐρῆμος,
ἀμφί τ' ἀγαλλίασις βουνὸν ἕκαστον ἔχει.
καὶ πέδον εὐτρεφέων προβάτων πᾶν, πᾶσά τε
πλήθει, εὐβλάστων ἄγκεά τε σταχύων. (βήσση
ὡς ἀλαλαξέμεναι τἀνθρώπινον αἶαν ἐνοικοῦν,
ᾠδάς σοι λιγυρὰς ᾀδέμεναί τε, γένος.

## ΨΑΛΜΟΣ ΞϚ.

### Ὑπόθεσις.

Πολλάκις ἐκ θανάτοιο χερῶν ὃν ἐρύσατο λαὸν,
ἀγχίμολον κείνῳ ἐρχομένοιο θεός.
τοῦτο δ' αὐτὸ ποιεῖ καὶ νῦν, ἀπὸ κῆρας ἀλάλκων
ἡμῖν, καὶ σωτὴρ ζωοδότης τε πέλων.

Ὅσσοι ἐπ' οἰκητῆς ἔχετε βροτοὶ οἰκία γαίης,
ἄρσατ' ἰύζοντες μακρὸν ἐς ἄστρα βοήν.
καὶ τῷ θεσπεσίου ναετῆρ' ἀλαλάζετ' ὀλύμπου,
καὶ φέρετ' ἀφθάρτου οὐνόματ' ἦρα θεοῦ.
καί μιν ἀειμνήστῳ παντῇ κυδαίνετε δόξῃ,
καὶ λέγετ', ὦ θεὸς ὡς θαυμάσι' ἔργα τελεῖς.
ἐξαπαφήσουσι σφετέραι σοὺς ἐλπίδες ἐχθρούς,
οὕνεκά σοι πάντων ἐν κράτος ἐστὶ κρατοῦν.
εὐρυάγυια τεὶν χθὼν πρὸς ξυνάπασα κινοίη,
οὔνομά τε ψαλμοῖς σὸν λιγυροῖσι κλέοι.
Δεῦρο βροτῶν θνητὸν γένος, ὄφρα κεν ἔργα θεωρῇς,
ῥεκτῆρ ἐκπάγλων τῶν χθόν' ἔπ' ἐστὶ θεός.
ὃς τὰ πρὶν ὑγρὰ, ποιεῖ ξηρὰ, εὐρέα νῶτα θαλάσσης,
ποσσὶ θ', ὑπὲρ πόντου ἐντμήγει οἶδμα θ', ὁδὸν

ταρσοῖς

ταρσοῖς τ' ἀνδρομέοις ἀλλ' ἐπίδρομον ἔμμεν' ἀνώγει
  τῷ πλέ' εὐφροσύνης ἡμετέρου εἰσὶ φρένες.
ὅς τ' ἀτελευτήτως δεσπόζων, ἐστὶ δυνάστης,
  ἔθνεά τ' ἐν κόσμῳ ὄμμασ' ἐφ' οἷσιν ὁρᾷ.
καὶ τοὺς τῶν θνητῶν ἑοῖ οὐ πειθήμονας ἀνδρῶν,
  οὐχ ὑψωθῆναι, καὶ σθενέμεν τι ἐᾷ.
εὖ θεὸν ἐννέπετε, κλειτός τε γεραίρεθ' ἵν' εἴη
  πανταχοῦ, ὦ γαίης παντοδαπ' ἔθνε' ὅλης.
αὐτὸς γὰρ ψυχαῖς ζῆν ἡμετέρῃσι χορηγεῖ,
  αὐτὸς γὰρ στερεοὺς ἄμμι δίδωσι πόδας.
ἐν βασάνῳ θεὸς ἄμμε καθὼς δοκιμάσσαο χρυσὸν,
  καύσας τ' οὐκ ὀλίγῳ ὡς τὰ μέταλλα πυρί.
καὶ δὴ ἐς ἄῤῥητον τάλανας κατὰ κλεῖθρον ἔκλεισας
  καὶ βαρέ' ἡμετέρῳ νώτῳ ἐπ' ἄχθη ἔθης.
τλῆμεν ἐφιζομένους ἡμῖν τοὺς τλῆναι ἄνωγας,
  καὶ πῦρ ἀκάματον, καὶ διέβημεν ὕδωρ.
σὺ δ' ἐς πίειραν γῆν ἄμμ' ἐξήγαγες ἔμπης,
  ἠρεμίης τε λαβεῖν τῆσδ' ἐνὶ πεῖραν ἐᾷς.
τῷ δῶμ' εἰς τὸ τεὸν σοὶ πίονα μηρία κῆαι
  καὶ χρέος εὐχάων τῖσαι ἐλεύσομ' ἐμῶν.
ὧνπερ ἐμὰ προπάροιθε σέθεν ποτὲ χείλε' ἄνοιξα,
  ὥς, τε πότ' ἀχνυμένου τὸ στόμ' ἔειπεν ἐμόν.
οἴσω παμπόλλῳ ὁλόκαυστά σοι ἀγλαὰ δήμῳ:
  καύσω σοὶ κριῶν σπλάγχνα εὐτρεφέων.
πρὸς τούτοις, τιμῆς πλείστης ἐπιβώμια ῥέξω
  ἄξι', ὁμοῦ θύων σοὶ βόας, ἠδὲ τράγους.
δεῦτε θεὸν σφέτερον σωτῆρα φοβούμενοι ἅπαντες,

κλύ

ὑμεῖς πρόθυμοι ἐμῶν ἀκροατ᾽ ἔστε λόγων.
ἐκ γὰρ ὑμῖν θήσω, ὅσσ᾽ σὺ ἔρρεξεν ἐμαυτὸν,
ὅσσα τε τῇ ψυχῇ ἐγγυάλιξεν ἐμῇ.
κεκληγὼς μεγάλῃ ἐκάλεσσά μιν ὀξέα φωνῇ,
καὶ διὰ ἐμῆς γλώσσης, ᾔνεσα κεῖνον, ἔχων.
εἰ δ᾽ ἦ μέμηλεν ἐμῷ ὄργ᾽ αἴσυλα, λυγρά τε θυμῷ,
οὔποτ᾽ ἐμὰς πρόφρων δέξατ᾽ ἂν ὠσὶ λιτάς.
νῦν δ᾽ ἐσάκουσεν ἐμὰς τάς τ᾽ ἀρὰς, τάς τε δεήσεις,
θεῖά τε τῇ ὄσσῃ ὦτα προσίσχει ἐμῇ.
δοξασθείη ὅλῳ κόσμῳ θεὸς ἐμβασιλεύων,
ὅς με προσεύχεσθαι οὐχ οἱ ἐτώσι᾽ ἐᾷ.
μήτ᾽ ἐλεητικὸν ἐκὼν ἀπ᾽ ἐμεῖο ἀπότροθ᾽ ὀρύνει
μήθ᾽ ὡς παιδὶ φίλῳ, λήγει ἔμ᾽ ἐσθλὰ φρονῶν.

## ΨΑΛΜΟΣ ΞΖ.

### Ὑπόθεσις.

Τῇ τοῦ Μεσσίου βασιλείῃ ὁ μάντις ἐνιάπτει
ἐμφιλοχωρήσειν τὴν χάριν, ἠδ᾽ ἀγάπην.
τήν τ᾽ εὐαγγελίου ὀμφὴν διὰ πάντα πορήσειν
ἔθνε᾽, ἀπειρεσίη ὅσσα ἡ αἶα τρέφει.

Εὐμενέοι ἡμῖν ὁ θεὸς, καὶ ὄλβια δοίη,
καὶ ῥέθος αὐγαλέον ποιέοι ἧμιν ἑόν.
ὄφρ᾽ οἱ ἐπιχθόνιοι τὰς κείνου γνῶμεν ἀγυὰς,
καὶ σωτῆρ᾽ αὐτὸν ξύμπαν ὅτ᾽ ἔθνος ἔχει.
σεμνολογοῦσι θεὸς, καὶ εὐλογέουσί σε λαοὶ,
πᾶς ὃς γῆν νέμεται σοῦ τομέει σὲ λεώς.
καὶ μάλα γαυριάᾳ, καὶ θυμὸν ἀγάλλετ᾽ ἰανθείς,

ἰθείῃς κρίνεις ὅττι δίκῃσι βροτούς.
ὅττι τε γαῖαν ὅλην καθάπερ θέμις ἐστὶ διοικεῖς,
καὶ πᾶν ἐν γαίῃ δῶμα θ' ὅτ' ἔθνος ἔχει.
κλῃΐζουσι θεὸς λαοί σε συγγνώμονες ὄντες,
πᾶς δίδοει χαρίτων σοὶ γέρας ἠδὺ λεώς.
καὶ γὰρ ἀπ' οὐρανόθεν πολύκαρπος ἄρουρα τέτυκται,
ἐννεσίῃ τε φέρει τῇ σέθεν, ἅττα φέρει.
εὐλογέων ἡμᾶς θεὸς οἷς ἐπέεσσιν ἀέξοι,
ὃς θεὸς ἡμέτερος, χ' εἷς μόνος ἐστὶ θεός.
εὐφημῶν ἡμᾶς θεὸς οἷσι λόγοισιν ὀφέλλοι,
καὶ πᾶν τῆς γαίης μιν φοβέοιτο πέρας.

## ΨΑΛΜΟΣ ΞΗ.

### Ὑπόθεσις.

Νικητῇ θανάτου ἐπινίκιον ὕμνον ἀείδει,
τῷ θεοῦ ἀϊδίου χριστῷ ἐόντι γόνῳ.
ἄμβασιν ἔνδοξον κλείων, τῇ ἐς οὐρανὸν αὖθις
ἤϊ', ἐπιχθονίοις δῶρα βροτοῖσι διδῶν.

Ὄβριμος ἀνστήτω ὁ θεὸς, καὶ πάντος ἐκείνου,
αἶψα κεδασθήτω φῦλα τὰ δήϊ' ἐοί.
τοῖς τε μιν οὐκ ἀγαπῶσιν, ἀτὰρ μισοῦσι βεβήλοις,
αἰψηρῶς μελέτω, καρπαλίμως τε φυγεῖν.
ὡς εἰς ἠέρ' ἰὼν καπνὸς τάχ' ἀπόλλυτ' ἄοπτος,
ὥς σὺ διάτμηξον σφέας ἔτ' οὐδὲν ἔμεν.
ὥς τε χυτὸς γίνεται, καὶ τήκεται ἐν πυρὶ κηρὸς,
ὣς τὸν ἁμαρτωλὸν τηκέτω ὄμμα θεοῦ.
τοῖς δὲ δικαίοισιν γαῦος, εὐφροσύνη τε παρῆτον,

πρόσθε θεοῦ τέρψις τοῖς ἀγαθοῖσι μέλῃ.
ἀσπασίᾳ σφετέραις θεῷ ἄσματ' ἀείδετε γλώτταις,
    τοῖσι τὸ κείνου ὑπὲρ τἄστρα κεν οὔνομ' ἀρῇ.
ἐξομαλίζεθ' ὁδὸν τῷ μαλθακὸν ἅρμα λαχόντι,
    ἀβρῇ τ', εὔτροχαλον δίφρον ἐλῶντι χορῷ.
κύριος ἀρχῆθεν δ', ὀνομακλήδην τε καλεῖται,
    τοῦ πάρος ἔμπλειοι πάντες ἔητε χαρᾶς.
τοῦτε κριτοῦ χηρῶν, τοῦτ' ὀρφανὰ τέκνα κομοῦντος,
    καὶ θεοῦ ἐν ἁγίῳ νηῷ ἐόντος ἔσω.
τοῖς τ' ἀγόνοις γλυκερῶν πληροῦντος δώματα παίδων,
    ῥύσοντος σφετέρας τοῖς τε δεθεῖσι πέδας.
ὧν δὴ πειθαρχεῖν οὐ βουλόμεν', ἀζαλέοισι,
    δίψει τειρόμενοι, ἐμμενέουσι πέδοις.
ὅττε θεὸς προπάροιθε θεοῦ ἐπορεύεο λαοῦ,
    πάντα διαπρήσσων ὅσσ' ἡ ἔρημος ἔχει·
δὴ τότ' ἐκπάγλως τῆς γαίης γεῖσα σαλεύθη,
    ὄμβροισίν τ' ἀὴρ μυδαλέος μάλ' ἔην.
πὰρ γὰρ ἐκεῖνος ἔην θεὸς, ὃς καθύπερθε ῥίοιο
    τοῦ σινᾶ, κρατερὴν κλάγξε βοητὺν ἱείς.
ὅς τ' Ἰσραῆλος θεός ἐστιν ἐπ' ἤματα πάντα,
    πᾶσίν τ' ἐμποιεῖ κτίσμασιν οἷσι τρόμον.
νῦν δὲ φυτοῖσι φίλον θεὸς ὑψόθεν ὑετὸν ἵεις,
    καὶ τὸ σὸν ἀμψύχεις ξηρὸν ἄνωθε λάχος.
ὄφρα τε εἰαμενὰς λεχεποίας θρέμματα ναίῃ.
    σοὶ γὰρ ἀφαυρὰ φίλον κηπέδαν ἐστὶ κομεῖν.
μῦθον ἀπ' αἰθερίων διδόει παγκοίρανος ἕδρων,
    τῶν τ' εὐαγγελίου μυρία φῦλα πρόμων.

οἱ βασιλῆες, ὅλου οἱ τοῦ στρατοῦ ὄρχαμοι ἄνδρες,
ποιοῦσιν ξυνῆς ὅρκι' ὁμοφροσύνης.
καὶ ἡ τοῦ μεγάροιο γυνὴ κάλλος τε, κλέος τε,
μοιρᾶται παλάμῃ σκῦλα κατ' οἶκον ἑῇ.
οὔτ' αὖ σκηναὶ ὑμῖν πολεμήσουσ' ἀμπέδον ὦσι,
οὔτ' ἂν ὑμῖν κλισίαι ἔνδοθ' ἔωσιν ὄρων·
τότδε περιστερέων ἴκελοι πτερύγεσσιν ἔσεσθε
στιλβούσαις, χρυσοῦ ἀργυρέου τε δίκην.
ὁππόθ' ὁ παντοκράτωρ διδόει τῇ χώρῃ ἄνακτας
τῇδε, τότ' αἶψα μέλαν τὸ σκότος ἐστὶ χιών.
οὖρος τὸ ζάθεον λιπαρὸν, καὶ πουλυβότειρον,
ἐστὶ, καὶ αἰπεινὸν καὶ μάλα πῖον ὄρος.
τί σκαίρειν ὔμμιν δοκέει περιμήκεα οὔρη;
τοῦτ' ὄρος ἀενάῳ φίλτατόν ἐστι θεῷ.
τῷ ἐνὶ ναιετόων ἀποπαύεται οὐδέποτ' αὐτὸς,
τοῦ οἴκησιν ἀεὶ κύριος ἔνδον ἔχει.
τίς θεός ἐστιν ὅδ' ὀρχόμενος; πόσα χίλι' ἁμαξῶν
μυριάδας τε πόσας ὀρχόμενος ἦ φορέει;
κύριός ἐστιν ὁ ὀρχόμενος, χ' ὡ' ἐφήμενος αὐτοῖς,
τοῦ δόμος ἠγάθεος σιναΐς ἐστι πέτρη.
εἰσανέβης ὕψος, φορέων σειράς τε, πέδας τε,
τῇσι τὸ ἀνδρόμεον πᾶν ἐδέδητο γένος.
πολλά τε δῶρα λάβες, λαοῖς τά κε σοῖσι μερίσσῃς,
οἷς τ' ἀπόκεν τίοσῃς φῦλ' ἀπιθοῦντα τεΐν.
ὄφρα διηνεκέως ἀγακλειὴς μίμνῃ, ὃν οἰκεῖς
οἶκος, ὅπως βασιλεὺς ᾖς ὀβρίτιμος ἀεί.
συνεχὲς ὑμνῶμεν γλυκερῇς τὸν κύριον οἴμῃς,

φορ

φορτίον ὃς φορέμεν χρήσιμον ἄμμι δίδοι.
καὶ γὰρ ὁ ἡμείων θεὸς ὤν, σωτήριός ἐστι,
καὶ μόνος ἡμέτερος κύριος ἔσθ' ὁ κρατῶν.
τὴν δ' ἐχθρῶν κεφαλὴν κρανίου μετὰ θριξὶ κομῶντος
κλάσσει, ἀλιτροσυνῶν οἷς τέλος οὐδὲν ἀδεῖ.
ἀλλ' ἔμπης ἀπὸ τῶν παχέων τινὰς αὖθις ἐνισπεῖ
κύριος, ἔκ τε βάθους πρὸς μὲ ἐπάξομ' ἄλος.
ποὺς ἐρυθαίνηται δηΐῳ σὸς ἵν' αἵματι βαφθεὶς
ἥ τε τεῶν λείχῃ γλῶσσα τὸ δ' αὐτὸ κυνῶν.
δήλη εἰσίθμη θεός ἐστι σὴ ὄμμασιν ἡμοῖς,
ὦ ἄνα, κὰμ ἁγίῳ δώματι σεπτὲ θεός.
πρῶτον ἀείδοντες μελιηδέα ᾄσματ' ἀοιδοί,
εἶθ' οἱ ψάλλοντες καλὰ μολοῦσι τεΐν.
μεσσόθι τῶν ῥαδιναῖς κροτέουσαι τύμπανα χερσί,
στείχουσ' ἀδμῆτες, παναπάλαι τε κόραι.
πᾶσα θεῷ ὁμόθρουν ἐκκλησίῃ αἶνον ἐνείκῃ,
ἀντλοῦσ' ἐκ πηγῶν τὸν δ' Ἰάκωβε τεῶν.
αὐτόθ' ὁ Βενιαμὶν, παῖς ὤν περ, ὑπείροχος ἄλλων
ἔσθ', οἱ Ἰουδαΐδαι τ' ὄρχαμ' ἔασι λεῶν.
οἵ τε Σαβούλωνος γένος ὄντες ἀγακλυτοὶ ἄνδρες,
καὶ οἱ τοῦ στελέχους ὅσ' ἀπὸ ναφθαλίου.
σὸς σὲ θεὸς περίεσσε βίην, βασιλῆά σε ποιῶν.
ποίει ἐν ἄμμι θεὸς καρτερὸν, ὅ, ττι ποιεῖς.
σὸν διὰ τὸν νηὸν Σολύμῃ μεγακυδέ' ἐν ἱρῇ,
οἴσουσ' οἱ βασιλεῖς κάλλιμα δῶρα τεΐν.
θηρὶ ὁμόκλησον τῷ ἡμένῳ ἐν δονάκεσσι,
ἥθ' ἁλίη ταύρων, ἅμμιγα τῶν δαμαλῶν.

τῶν χρυσοῦ μοῦνον τοὺς λαοὺς εἵνεκ' ἐλόντων,
ἔθνε' ὄλεσσον ὅτοις ἔργα ἄρηϊ' ἀδεῖ.
πρέσβιας Αἴγυπτός σοι πέμψει, οἱ ἔσχατοι ἀνδρῶν
Αἰθίοπες, σφετέρας πρὸς σὲ τενοῦσι χέρας.
τὸν θεὸν, ὦ γαίης μελέεσσι γεραίρετ', ἅπαντες,
ψάλλεθ' ὅλης πᾶσαι γῆς βασιλεῖαι ἑοί.
ὃς διφρηλατέει ἐνὶ οὐρανῷ ἀστερόεντι,
ἐξ ἀρχῆς μοῦνος τόνδε θάκημα λαχών.
γῆρυν ἀπ' αὐγαλέου ὡς βροντὴν αἰθέρος ἥσει,
ἠδέ μιν ἔκπυστον τεύξει ἅπασιν ἔμεν.
πρὸς θεὸν ἀμφέρετε κράτος, ἰσραῆλος ὃς ἀρχῶν
κύδιστός τε πέλει, τῶν νεφέων τε κρατεῖ.
θηητὸς σφοδρῶς ἁγίοισιν ἐν οἷσιν ὅδ' ἐστὶ,
καὶ σκῆπτρ' ἐν φύλοις Ἰσακίδαο φέρει.
ὥστ' ἀρετὴν θέλκυτε βίην λεῷ ἐγγυαλίζει,
ἄξιος εὐστομίης ἤματα πάντα θεός.

## Ο ΑΥΤΟΣ ΨΑΛΜΟΣ

ἄλλως.

Δηθὰ, καθὼς ὑπνῶντις ἐὼ βαθεῖ ὄσσε δαμασθεὶς,
πολλὴν τῶν ἀσεβῶν ὕβριν ἐνεγκάμενος:
ὦ νῦν ἐξαπίνης σῇ ἐγείρεο χωόμενος ὀργῇ,
καὶ βλοσυροῖς στρέψας ὄμμασ' ἄϊσσε θεός.
ὄφρα τεοὶ φθινύθωσι διεσκορπισμένοι ἐχθροὶ,
σεῖο πράττοντος νηλέα τοῦσδε δίκην.
οἵτε σὲ μισήσαντες, ὑπαὶ σῆς μκύνιδος ὁρμῆς,
πάντες ἐς ὠκεῖαν ποσσὶ τραπῶσι φυγήν.

ὡς ἀμ-

ὡς ἀμβὰς γίνεται εἰς ἠέρ᾽ ὁ καπνὸς ἄφαντος,
  οὐδέ τι ἴχνος ἑῆς, λείπει ὄπισθεν, ὁδοῦ:
οὕτω μαιομένους στῆναί σοι δηϊότητα,
  σφῆς ὑπολειφθῆναι κωορέης σὺ ποίει.
ὥς, τε μελιοσάων κάματος κατατήκεθ᾽ ὁ κηρὸς,
  εἴ τις ἀμαιμακέτου ἄσσον ἐθῆκε πυρός:
ὣς δ᾽ αὕτως κεῖνοι φλογεροῖο σέβ᾽ ἐγγὺς ἰόντες,
  πᾶν γιγνέσθωσαν σφῶν ὕπ᾽ ἄφαρ τὸ κράτος.
ὄφρα θεασάμενος τόδ᾽ εὐφραίνοιτο δίκαιος
  πᾶσι, γηθοσύνης ἐν φρεσὶ μεστὸς ἐών.
ὦ βροτοί, ὦ ναέται ξύμπαντες ἀπείρονος αἴης,
  ὄμβρος ἀενάου τοῖσιν ἔνεστι βίου:
Ἀσῦτε, καὶ ἀϊδίῳ γλυκερὰς θεῷ ἄδετ᾽ ἀοιδάς,
  ἀσῦτε, καὶ ἐν ψαλμοῖς αἴρετε τῷδε κλέος.
κλειτόν τ᾽ αἰνοῦντες ποιεῖτε τὸ οὔνομα κείνου,
  τῆς χθονὸς ἐν πρώτοις, καὶ πυμάτοισιν ὅροις.
ἀσῦτε οἱ ἐγκονέειν μαλακόν τιν᾽ ἀγειρόμεν᾽ οἶμον,
  κἀνθεσί μιν χλοεροῖς στρώσατε, ἠδὲ ῥόδοις.
ἠδὲ ταπήτεσιν κοσμήσατε ἔνθα καὶ ἔνθα,
  ἔργοις εὐφυέων δαιδαλέοισι χερῶν.
καὶ πᾶσαν τιμὴν, πᾶσάν τε προσάψατε δόξαν,
  ὑμμετέρων ἐχθρῶν τῷ δαμάσαντι κράτος.
ὡς φαιδρὸς λαμπροῦ ἐπ᾽ ὀχήματος ἔρχετ᾽ ἐλαύνων,
  καὶ πρὸς ὑμᾶς πραῢς μείλιχον ὄμμα τρέπει:
οὗτος ὁ νικητὴς, ὃς ἐφ᾽ ἧς ἀρετῇσι καλεῖται
  κύριος αὐτοκράτωρ, κύριος αἰὲν ἐών.
τοῦ προπάροιθε χαρᾶς ἀπολαύετ᾽, εὐφροσύνης τε,

πάντ' ἀθερίζοντες δείματα, πάντα φόβον.
οὗτος γὰρ γενέτης σφετέρου γενετῆρος ἐρήμοις,
καὶ δειλαῖς χήραις ἤπιός ἐστι κριτής.
σωτὴρ ὄλλυσθαι μέλλουσιν, ἀνάλκισιν ἀλκτήρ,
τίμωρος πάσης λειπομένοισι βίης.
καὶ θεὸς εἰς αἰῶνα μένων ἁγίῳ ἐν ὁμίλῳ,
τῶν δοξαζόντων ταὐτοῦ ἄληκτα κλέος.
τέκνα τε πολλὰ δίδους τοῖς πάμπαν ἐοῦσιν ἀτέκνοις,
ἔκ τ' ἀγόνου σπείρων ἔθνεα συχνὰ γονῆς.
τούς τε ὑπὸ στιβαρῶν δεσμῶν χεῖράς τε πόδας τε
σφιγχθέντας, κρατερῇ τῶν δ' ἀπὸ χειρὶ λύων.
ἔκ τ' εἱρκτῆς αἱρέων σὺν καιρῷ ἐσαῦθις ἐν ὥρῃ,
τῆς τε ἐλευθερίης σφᾶς ἀπολαῦσαι ἐῶν.
τοὺς δὲ ἀναινομένους φίλα περ φρονέονθ' οἱ ὀπηδεῖν,
ἀφραδίῃ σφετέρων, καὶ τυφλότητι φρενῶν:
αὐσταλέῃ λείπων κὰμ ξηρῇ ἀπειθέας ἄμμῳ,
κὰμ χώραις, ὅσσας καύματ' ἄπαυστα φλέγει.
οὔ ποτε γευσομένους τινὸς ὑετοῦ, ἠδέ γε πηγῆς,
ἧς ῥεῖ ἀπ' ἀενάου ὕδατα δῖα βίου.
αὐτὰρ ὑπ' ἀζαλέης δίψης μέλλοντας ὀλέσθαι
σῶμά τε, καὶ ψυχήν, κρείττονα τοῦδε, ὅλην.
κεῖν' ἄρ' ὀβριμοεργὲ θεὸς σέο πρόσθε πορείην
λαοῦ, ἀπ' Αἰγύπτου, ποίεες, αὐτὸν ἄγων:
καὶ διὰ ἐνναετῶν χώρας ἔστειχες ἐρήμου,
εἰς τόδ' ἔδος ναόσων κεῖνον ἐκεῖθεν ἐλών:
τὴν κεῖν' ἂρ κυορέην τὴν ἐὴν φρίττοντα πελώρην,
τηνίκα εὖτ' ἀρετὴν σόν τε τρέοντα μένος:

καίπερ

καὶ πρὸ ἀκινήτου χθονὸς ἔγκατα νειόθ᾽ ἐσείσθη,
 ὥσεί τι ψυχὴν δείματι πάλλετ᾽ ἔχον.
αὖτε ἢ ζωοῖς αἰνῶν κεκμηκόσ᾽ ἀπ᾽ ὄργων,
 ἱδρὼς μυδαλέον ῥεῖν ἀνὰ σῶμα φιλεῖ.
οὕτως αἰφνιδίους προΐηκαν οἱ οὐρανοὶ ὄμβρους
 σῆς ὑγρανθέντες πρὸς χόρδος, αἰνὲ θεός.
σεῖό τ᾽ ὀπιζόμενοι τὸ κράτος, σάφ᾽ ἐν οὔρεϊ Σινᾶ
 εἶναί ἐ ἀΐδιον δειξαμένοιο θεόν.
πρός τ᾽ ἀγορευομένου θεοῦ Ἰσραῆλος, ὃν αἰεὶ
 σῆς ἐνὶ φρεσὶ δίκην κήδεαι, ἠδὲ φιλεῖς.
νῦν δ᾽ οὐ τοσούτῳ θεὸς ἐν χειμῶνι πάρεστι,
 νῦν δ᾽ οὐδεὶς γίνεται τῆς χθονὸς αὖτε τρόμος.
ἀλλ᾽ ἀπαύσυθε φόβου, καὶ δείματος ὄρχεαι, ὕων
 ὕδατα σῆς χάριτος γῆς ἐπὶ τοῦδας ἅπαν.
καὶ σὴν δειναιῷ φρύγουσαν καύματι χώραν,
 ὡς κόνιν αὐαλέην, ἔμπαλι τοῖσδε βρέχεις.
ὅπως πουλαίας φορβὰς τὰ σὰ θρέμμαθ᾽ ἐν αὐτῇ,
 ἠδ᾽ ὑγιεῖς εὑρεῖν αἰὲν ἔχωσι νομάς.
καὶ γὰρ σοὶ πάντων μέλεθ᾽ ὅττι μάλιστά γε κείνων,
 καὶ γὰρ σοὶ μεγάλη σφῶν πέρι φροντὶς ἔνι.
τῷ ῥα τὰ ἀσθενέοντ᾽ αἰναῖς ἐπὶ θλίψεσιν, οἰκτῷ
 χρηστῷ ἀναψύχων, ῥωμαλέ᾽ αὖτε ποιεῖς.
χαίρεθ᾽ ἅπαντα βροτῶν ἅμα γηραλέων τε νέων τε
 ἔθνε᾽, ὁ πανδερκὴς ἥλιος ὅσσα βλέπει.
χαίρετ᾽ ἀπ᾽ οὐρανίης ἐπεὶ ὕμμιν ὁ κύριος ἕδρης,
 κὴν πρόφρων διδαχήν, ὅν τε δίδωσι λόγον.
ἄφθονα, σὺν δυνάμει πολλῇ, καὶ πλήθει συχνῷ

τῶν κηρυττόντων αὐτὸν ἅπασι βροτοῖς,
τῶν τ' ἀγγελλόντων οὐκ ὀργὴν, οὐδέ τι δεινὸν,
ἀλλὰ φιλοφροσύνην τοῦ θεοῦ, ἠδὲ χάριν.
οἱ βασιλῆεσσι ξυνοῦ στρατοῦ ἔικελοί εἰσιν,
εἰς ἀνδροκτασίην μαιομένοιο θορεῖν.
ὅρκια συμμαχίης φιλίης τε βέβαια ταμόντες,
καὶ τοῦ βούλεσθαι πάντοθ' ὁμοφρονέειν.
οὐδέ τις ἀντιβίην ἄλλῳ τὰς χεῖρας ἀείρει,
ἀλλ' ἕταρος πιστὸς πᾶς ἑτάροισι μένει.
μάρνανται δ' ἐπὶ τοὺς κοινοὺς θρασυκάρδιοι ἐχθροὺς,
θωρηχθέντες ὅπλοις οὐρανίοισι δέμας.
καὶ περιγινόμενοι σφέων, πάμπολλα παρ' αὐτῶν
αἱροῦσι κρατερῇ, σκῦλα, θεοῖο βίῃ.
τὰ προσδεξαμένη, κατὰ μοῖραν ἅπαντα δατεῖται,
καλλοσύνη ξυνόλου ἡ βασίλισσα δόμου.
ἡ νύμφη χριστοῦ, τὴν κάρτ' ἐστέρξατο κεῖνος,
καὶ πιστὴν αὐτῷ ζεῦξεν ἄκοιτιν ἔμεν.
Χ' ἡ τῶν εὐσεβέων γενέτειρ' ἐκκλησία, ἥτε
πάντων τῶν πιστῶν κεδνὴ ἐοῦσα τροφός.
ὡς ἀστράπτουσιν αἱ πελειάδες, ἠύτε χρυσοῦ
πυρροῦ, ἢ λευκοῦ ἀργύρου ἀγλαΐ.
ἦμος ὑπ' ἀκτίνεσσ' ὑπερίονος ἠελίοιο,
πωτῶνται γύροις ὕψι ἐν ἠερίοις:
ὣς ἄρ στίλβουσι στρατὸν εἰν οὐρείοισιν ἔχοντες
τηλόθι, χαλκείοις τεύχεσιν οὐθ' οἱ ἀγοί.
πάντα σέλας πέλεται, καὶ φῶς παραχρῆμα διαυγὲς
αὐτόθ' ὅπου σφετέρων εἰσὶ μετὰ κλισιέων.

ἀστ'

ὥσθ' ἦμαρ μελαίνης ἐκ νυκτὸς τοῖσδε γενέσθαι,
  παντοκράτωρ βασιλεῦς οἴσισι τοῦσδε δίδοι.
ὅς δέ τι, ἀμφὶς ἔχον πλέθρα πόλλ' ὀριβώλακος αἴης,
  χεῦμα μάλα στεῤῥὸν, καὶ καλόν ἐστιν ὄρος.
οὐδὲν φροντίζον λιγέης ἀνέμοιο ἀϋτμῆς,
  τῆς ὕπο πιλνᾶσθαι συχνάκι δένδρα, φιλεῖ.
οὐδέ τι δειμαῖνον, λάβρως ὅταν οὐρανὸς ὀμβρῇ,
  χειμάῤῥων τε πόριξ πάντα ῥέεθρα γέμῃ:
ὡς καρπὸν τίκτουσα θεῷ ἐκκλησία ἡδὺν,
  κάρτος ἀκίνητον, θάρσος ἄσειστον ἔχει.
οὖρος ἔσσ' αὐτοῦ καλλίστης πλῆθον ἀρούρης,
  αἰπὺ, καὶ ἀκρότομον, καὶ μάλα καρποφόρον.
τίπτε δ' ὑπερβάλλειν τόδ' ὄρος πειράζετ' ἀπεχθῶς
  ὕμμες ἂρ σὺν κόσμου πάντα τὰ λοιπὰ ὄρη:
μὴ κομπήσαθ' ὅτι σθένος ἐστὶν ὔμμιν ἀμέγαρτον,
  μηδ' ἔπι τῷδ' ὑμέας οἴετ' ἀρείον' ἔμεν.
κεῖνο θεὸς γὰρ ὄρος κατὰ θυμὸν τέρπετ' ἐνοικῶν,
  οὐδὲ παρὲκ τούτου δῶμά οἱ ἄλλο ἅδει.
οἰκήσει δ' εἰς αἰώνων αἰῶνας ἐν αὐτῷ,
  ὧν θεὸς, ὧν ὕπατος κύριος οἷος ἀεί.
ὢ τῆς ἀφροσύνης, ὢ τῆς ἀεσίφρονος ὁρμῆς,
  κοῦ ὁρμᾶσθε, θεοῦ πρός τ' ἀλαπάξαι ἕδος.
ἦρ' οὐκ ὔμμι θεὸς, θεὸς οὗτος φαίνεται εἶναι,
  ὃς διὰ τοὺς θνητοὺς θνητὸν ἔσηλθε δέμας:
ὥστε βροτῶν γένος ἐκ θανάτου, θανατούμενος αὐτὸς,
  εἵλετο, καὶ θείῃ τόνδ' ἐδάμασε βίῃ.
καὶ νῦν νοστήσας ἐκ τῶν ἀΐδαο πυλάων,

ἆς κα-

ἃς ξυνέαξεν ὅλας, αὐτὸς ἄτρωτος ἐών·
ἶφι θριαμβεύων ἐπὶ χρυσέου ἅρματος, οὐρανοῦ
ἔμπαλιν εἰς αὐλὴν, οὐρανὸν ὄρχεθ᾽, ἑκών.
ξὺν δ᾽ αὐτῷ μεγάλης θεραπείης νήριτον ὄχλον,
τεύχεσιν ἐνδύμενον σιγαλόεσσιν, ἄγει.
πολλὰς μυριάδας, πρὸς πολλαῖς μυριάδεσσι,
λαμπομένων χαλκῷ νώροπ᾽ ἅπαν τὸ δέμας.
κύριον ἡμέτερον, σφέτερόν θ᾽ ἅμα, δορυφορούντων,
ὃς σάφα γ᾽ ἐν σινᾶ δεῖξε πάλ᾽ αὐτὸν ὄρει.
τῶν ὀπίσω, πᾶσιν χαίρειν τε, καὶ ἡδὺ θέημα
ἡμῖν τοῖς δειλοῖς καὶ ταλαίνεσσι βροτοῖς·
δέσματα τοῖς ἡμεῖς πρότερον μάλ᾽ ἐδούμεθα πάντες,
ἐν σειραῖς ἄγεται, καὶ στιβαρῇσι πέδαις.
πρῶτος ὑπόδρα ἰδὼν σατανᾶς βροτολοιγὸς, ἀπηνὴς,
ἕλκεθ᾽, ἅμ᾽ οἷς γοερὸν πᾶσ᾽ ἑτάροισι βοῶν.
πειράζων τε πέδας ῥῆξαι κρατεροῖο σιδήρου,
λωβῆσαί τε βροτῶν ὡς τὸ πάροιθε γένος·
πλήττεθ᾽ ὑφ᾽ ἕλκοντος κατὰ κρᾶς, καὶ τύμματα συχνὰ
λαμβάνει, ὄφρα μάθῃ μείλιχον ἦτορ ἔχειν.
εἶτα δ᾽ ἀποτμηθεῖσα κόρη τὰς χεῖρας ἁμαρτὰς,
αἰσχρόπεπλος, θυγάτηρ αὐτοῦ ἐοῦσα κίει.
τῆς ὀπίσω φοιτῶν ὁ νόμος, κλασθεῖσαν ἀεικῶς
ἐκκυνηθέντι μετὰ γράμματι ῥάβδον ἔχει.
τῷδε μέλας θάνατος, καὶ σαρκῶν γυμνὸς ὀπηδεῖ,
οὐκέτι ὡς τὸ πάρος ῥιγεδανός τις ἐών.
αὐτὰρ ἀφαυρότατος, δύναμίν τε πρόπασαν ὀλέσσας,
δυρατέην τρομερῇ χειρὶ φορεῖ δρεπάνην.

τοὔχ

τοὔσχατον αὖ πάντων τις ὀρέπι' ἄμαξα κομίζει,
ἐξαλαπαχθέντος τοῦ ἀΐδαο δόμου.
τῶν ἐπὶ ἀκροτάτων πεπεδημένος αὐτὸς ὁ ᾅδης,
τὸ στόμα κεῖτ' ἀνόδους δεινὰ κεχηνὸς, ἑῶν.
ὦ ἄνα, ὦ βασιλεῦ βασιλήων ἔξοχ' ἁπάντων,
ὦ χριστ' ἀϊδίου τοῦ θεοῦ υἱὲ θεὸς.
σοὶ κλέος ἀφθίτω, τόσσης φίλε δέσποτα νίκης
εἵνεκα, πρὸς πάντων πᾶς ὅσ' ὁ κόσμος ἔχει.
σοῦ χάριν ἠλυτέρας νῦν ᾄδουσ' ἠὲ πρὶν ᾠδὰς
ὄρνιθες, γύροις ὕψι ἐν ἠερίοις.
λαμπρότερός θ' ὁ μέγας πολὺ ἥλιος ἄμμι φαείνει,
καὶ ἡ μήνη δνοφερῆς νυκτὸς ἐοῦσα φάος.
πλείονά τ' ἢ πρότερον, καὶ καλλίον' ἄνθεα πάντῃ,
καὶ ἁδροτέρους στάχυας πότνια γαῖα φύει.
κουφότερόν τε εὐκραέες πνείουσιν αἱ αὖραι,
ἡσυχίην τε ἄγει πᾶσ' ἀνέμοιο βίη.
καὶ ὡς ἐνὶ συλλαβέειν λόγῳ, ἔργμα φύσις σὸν ἅπασα
κὴν δείκνυσι νέοις σήμασι χαρμοσύνην.
τὴν μιμησάμενοι καὶ ἡμεῖς μέγα γαννύμεθ' αὐτοὶ,
τοὺς ἔλες ἐκ ζοφερῶν τοῦ ἀΐδαο μυχῶν.
καὶ οἷς μεγαλοπρεπέως πατρῷον ἐς οὐρανὸν ἀμβὰς
μυεῖ ἀπ' οὐρανόθεν νῦν διὰ δῶρα δίδως.
τίμια, καλὰ λαβὼν παρὰ σοῦ γενετῆρος ἀνάρχου.
ξυνὰ γὰρ, υἱὸς ἐὼν, πάντα μετ' αὐτοῦ ἔχεις.
πρὸς τούτοις, κατ' ἀπειθούντων ἀλκιώτε βίκωτε,
μήτις ἂν ἐκβάλλειν σοῦ σε δύναιτο θρόνου.
ἀλλ' ἵν' ἄτερ τέλεος σὺ ὅλῳ τῷ κόσμῳ ἀνάσσῃς,

ἐντο

σύ τε τεοῖς ἐχθροῖς κύριος αἰὲν ἔῃς.
ὦ κύδιστε θεός, πάσης τε ὑπείροχε δόξης,
σοὶ μούνῳ ἡμέας χρὴ κλέος αἰπὺ ἀρεῖν.
εἴθ' ὑπὲρ αἶαν ἄγει φαεσίμβροτος ἥλιος ἦμαρ,
εἴτε μέλαινα πάλιν νὺξ ἀπὸ κεῖνο τρέπει.
σὺ ζυγὸν ἡμετέρους τιθέεις, καὶ σταυρὸν ἐπ' ὤμους,
κὰμ ζωῇ φορέμεν τῇδε λύγρ' ἄμμε κέλῃ.
ἀλλ' οὐκ ἀχνυμένους καταλείπεις, νόσφι λαθείς,
οὐδ' ἀπολέσθ' ἡμέας ἐν κακότησιν ἐᾷς.
μᾶλλον δ' ἐν πάσαις ἡμῖν ἀλγηδόσ' ἀρήγεις,
ὥστε γενέσθ' ἐλαφρὸν πᾶν, βαρύπερ τὸ ἐόν.
τίπτ' οὖν ἠὲ κακόν τι δεδοίκαμεν; ἠέ τι ἐχθρόν;
εἰδότες ἄμμι θεὸν τοῦτον ἀρωγὸν ἔμεν:
ὃς περὶ μὲν σώζειν οἷος, περί τ' ἐστὶ βοηθεῖν,
καὶ οὐ μηδὲν δύναται ἄμμ' ἀέκητι βλαβεῖν.
καὶ ὃς πάνταρχος ἐών, βλοσυρώπην πότμον ἀφ' ἡμῶν
καὶ στυγερὴν δυνάμει κῆρ' ἀπερύκει ἑῇ.
ὥστε τιν' ἐν θανάτῳ βιοτὴν αἰώνιον εὑρεῖν,
ἀμβλῶν οὐρανίους γλῦτε λιπόντα δόμους.
τοῦτον οἱ ὀκνοῦντες θεραπευέμεν, ἠὲ διώκειν
τολμῶντες, κρατερὸν κύριον ἠδὲ θεόν:
δεινὰ κολασθέντες, μέλλουσ' ἀπολέσθαι, ὑπ' αὐτοῦ
ἔσθ' ὅτε, κεἰς ὄλεθρον πάντες ἄπαυστον ἴμεν.
καὶ γὰρ σφῶν ἅτε οἱ ἐχθρῶν κατατρίψετ' ἐόντων,
τὰς σκληρὰς κεφαλάς, καὶ τὸ τριχωτὸν ὅλον.
οὕνεκ' ἀτασθαλίης αὔτ' οὐ παύσαντ' ἀλεγεινῆς,
οὕνεκα μὴ στυγερῆς λῆξαν ἁμαρτοσύνης.

κόσ-

κόσμον γὰρ ξύνολον διελεύσεται, ὅσσος ἀπ' ἠοῦς
    τείνετ' ἐς ἑσπερινὰς ἠελίοιο δύσεις.
ὡς αὐτίκρυς ἔφυ. καὶ τοὺς μὲν τῶν παχέων πορ,
    ἠὲ κατοικούντων τοῦ πελάγους τὸ βάθος:
ἄξει ἐπ' ἐστρέψας, ἀπ' ὄγκον ἅπαντα βαλόντας,
    βένθεά τ' εὐρείης ἐκπρολιπόντας ἁλός.
τοὺς δὲ κακῶς ὀλέσει, καὶ ἀπεχθέϊ αἵματι φύρσει,
    τοὺς νέκυας διαβὰς ἔνθα καὶ ἔνθα πόδας.
οἷς τε κύνες αὐτοὺς ὄβρικα ἑλώρια τεύξει,
    ἀλομένοις κατέδειψαν τὰ βροτόεντα μέλη.
καὶ δὲ νῦν αὖθις, μ' ἰνδάλλεται ὡς τὸ πάρος πρὸ,
    νῦν πάλιν ἐννοίαις ἠύτ' ἐν ὄμμασ' ὁρῶ.
ὦ θεὸς, ὦ ἁγίῳ βασιλεῦ πολύκλειτ' ἐνὶ χώρῳ,
    πῶς σὺ θριαμβεύων πρὸς τὸ σὸν ἔρχῃ ἕδος.
τάξει ἐν πρώτῃ λιγυροὶ μολέουσιν ἀοιδοί,
    τοῖς ῥέει ἐκ στομάτων, ὡς μέλι, ἡδὺ μέλος.
εἶθ' οἱ συρίζειν δεδαηκότες ἢ κιθαρίζειν,
    ἢ ἔτι τερπωλῆς εἰδότες ἄλλο γένος.
τοῖς μίγδην τέρενες κόπτουσαι τύμπανα κοῦραι,
    φοιτῶσίν τε καλοῖς, ἀργυρέοις τε ποσί.
κρούετε φόρμιγγας, συρίζετ' ἀείδετ' ἀοιδάς,
    κόπτετε παρθενικαῖς τύμπανα χερσὶ κόραι.
καὶ τοῖς ἀρχομένοις ἐν ἕκαστον θῆλυ, καὶ ἄρρεν,
    αἰνείτω μεγάλως, οὕνεκα τοῦδε θεόν:
ὅστ' Ἰσραῆλος πηγῶν ἄπο, πολλὰ καταρρεῖν,
    ποιεῖ ἀενάους νάματ' ἔχοντα πόρους.
τίς κεν ἀριθμῆσαι στείχοντας ἔπειτα δύναιτο

ἥρωας

ἥρωας, σφετέροις κυδαλίμους ἀρεταῖς·
τοῖς ἐνὶ πρωτεύει Βενϊαμὶν βαιὸς ἐὼν περ,
  βὰς ὑπὲρ ἡλικίην κυορέκησιν ἑκών.
κοίδε πῶς μολέοι, πῶς φαιδρὸν ἔθ᾽ ὄμμ᾽ ἐπαείροι,
  εἰς τὸ ἀκινήτως ἄστρα φαεινὰ δρακεῖν.
πῶς τε καλὸν τὸ δέμας λαμπροῖς ἐσταλμένος εἴη,
  πλεῖον τῶν λοιπῶν, φαρέεσιν ἡγεμόνων.
εἰ θέμις ἐστὶν ἐρεῖν, κλεινή μιν ἐγείνατο Ταρσὸς
  τῶν θεοπνεύστων ἄγγελον ὄντα λόγων,
καὶ πολλῶν λαῶν, πολλῶν τε διδάσκαλον ἐθνῶν,
  τῶν τ᾽ ἐπὶ τῆς γαίης, τῶν τ᾽ ἐνὶ κεύθεσ᾽ ἁλός.
ὃς πρῶτον Σαῦλος, μετέπειτα δὲ Παῦλος ἐκλήθη,
  χριστοφόρος γεγονώς, ἐχθρὸς ἐὼν ποτ᾽ ἀνήρ.
χαῖρε καὶ εἰς τὸ τέλος παμπόλλων ἔξοχος ἄλλων
  ἴσθ᾽, ἐπὶ σοῖς καμάτοις φίλτατε Παῦλε μόνων.
ἀλλόθι δ᾽ αὖ ἐστὶν τοὺς ἐκγεγαῶτας ἰοῦδα
  ἄρχοντας, σφετέροις σὺν λογάδεσσιν ὁρᾶν.
λίμνης τ᾽ ἰθαγενεῖς τεινεζαρὲθ, ἠδὲ Σαβουλών,
  καὶ τοὺς Ναφθαλίην πατρίδ᾽ ἔχοντας ὅραν.
πρὸς τούτοις δὲ κατοικοῦντας βετσαΐδα γαῖαν
  ἀμφί τ᾽ Ἰορδάνιον ναιετόωντας ὕδωρ.
τοίους ἡγεμόνας τοσούτων κρείττονας ἐχθρῶν,
  τόσσων τ᾽ ἄρχοντας τίς ῥ᾽ ἀπέδειξε λεῶν;
οὐχὶ κράτιστε θεός σὺ τόδ᾽ ἐν σφισὶν εἰργάσω; οὐχὶ
  πᾶν τὸ σφῶν πέλεται ἀνδραγάθημα τεόν;
ποίεε οὖν κἄπειτα πρόφρων ἅττ᾽ ἤρξαο ποιεῖν,
  ἠδ᾽ ἀρετὴν ἡμῖν σοῖς θεράπουσι δίδου.

ὅππως

ὅππως τὴν ῥώμην, καὶ τὸ σθένος ἔμπεδοι ὄντες,
    δεκτά σοι ἕρδωμεν, χρυσά τε σοῖσιν ἀεί.
σεῖο δὲ ἐν σολύμοις ἱεροῖς περικαλλέα νηὸν,
    τὸν σκηνῶμ' ἅγιον, καὶ φίλον ὄντα τεῖν.
εἰς ὃν ἀφικόμενος βασιλήων συχνὸς ὅμιλος,
    σὺλλογίης μέλλει δῶρά σ' ἀρεστὰ φέρειν.
τὺ μόνον ἐξώλεις σατανᾶ θεὸς ὄλλυε τέχνας,
    κρυπταδίας τ' ἀπάτας, λαθριδίους τε δόλους.
ὡς γάρ τις σκιαροῖς θὴρ ἐν δονάκεσσι καθίζων,
    ἀπροϊδῶς προβάτων εἰς μέγα πῶϋ θορεῖ.
ἥτε βίῃ πίσυνος καταδάψει, ταῦτα μενοινᾷ,
    κρεῖά τε οἱ τεῦξαι βρῶμα, βρότον τε πόσιν:
ὡς δ' αὔτως ἡμῖν τεύχει κἀκεῖνος ἐνέδρας
    σοῖς πρόβασ' ὅτι σέθεν χωρὶς ἔχουσι μένος.
οὐκ οἶος, πολλοῖς δ' ἑτάροισι χρώμενος ἄλλοις,
    οἷς τοῦ φθεῖσ' ἡμᾶς δεινὸς ἔνεστι πόθος.
εἰδομένοις ταύρων τινὶ ποιμνίῳ εὐρυμετώπων,
    τῶν ἅμα σὺν μόσχοις σφοῖσι πορευομένων.
ὥσπερ γὰρ λιμῷ στόμαθ' οἵδ' οἴγουσι δαμέντες,
    καὶ σφέτερον βαίνουσ' αἶψα βοτὸν μέτ' ἰμεν:
ὣς ἱμειρόμενοι πλούτου χάσκουσι καὶ αὐτοὶ,
    καὶ χρυσοῦ σφετέρης κῆδος ἔχουσι τροφῆς.
σόν τε καπηλεύουσι λόγον, καὶ ψεύδεσι δεινῶς
    σίνονται πολλοὺς αἱμυλίοισι λεώς.
τοὺς δ' ἂρ ἐλεγχ' ἀλίης σῆς λυμαντῆρας ἐόντας
    ἀμφαδὸν, εἰς τ' ὄλεθρον σῇ χερὶ βάλλε θεός.
φθεῖρε δὲ καὶ πᾶν ἔθνος ἐελδόμενον πτολεμίζειν,

καὶ χαλκῷ παύειν νηλέϊ σὸν τὸ κλέος.
φθεῖρε, διασκεδάσας ῥέα ἠΰτε καπνὸν ἢ αὔραν,
εἰρήνην θ' ἡμῖν, ἠρεμίην τε πόρει.
ὥστε διδασκόμενον καθαρῶς, σὸν ῥῆμα γενέσθαι
ἐν πάντεσσι φατὸν, καὶ περίπυστον ὅροις.
οὕτω παντοδαπῶν ἀρχῶν ἀμαχητὶ κρατήσεις,
αὐτοκράτωρ τ' ἔσεαι πᾶσαν ἀν' αἶαν ἄναξ.
πρὸς σὲ ἡ Αἴγυπτος πρέσβεις Νείλοιο παρ' ὄχθων
πέμψει, δουλεύειν σῇ μεμαυῖα βίῃ.
αἰθιοπές τε χέρας σοι ἀορτάουσι, καὶ αὐτοί,
οἷσιν ἡ ἐσχατιὴ τῆς χθονός ἐστι πατρίς.
κλείετ' ἀλήκτα θεὸν, ψαλμοῖς τε γεραίρετ' ἰδ' ὕμνοις,
τὸν πάντων οἶον δεσπότε' ὄντα θεόν.
ὑμέες ὦ πᾶσαι βασιλεῖαι ἀν' ἤθεα γαίης,
ὑμέες ὦ κορυφαὶ τῆς χθονὸς οὖσαι ὅλης.
αἰθέρ' ἐν ἀρχῆθεν στρωφώμενον ἔνθα καὶ ἔνθα,
ἐντὲ ἐπουρανίοις ἀψῖσιν, οἷσι δόμοις.
κεῖνδ' ἐνεργείην τ' ἰσχύν τε, κράτος τε παρέξει
εἰδομένοις βρονταῖς αὐτὸς ἑοῖσι λόγοις.
εἴξαθ' οἱ οὖν ὑμέες καὶ ἐάσαθ' ἵν' οἷος ἦ ἄρχων,
οὔνομα κύδιστον, δόξαν ἅπασαν ἔχων.
εἰς αὐτὸν δ' ἀνενείκαθ' ὅσ' ἂν τελέσητε κατ' αἶσαν,
ὠφελίμως τ' ἄλλοις, ὠφελίμως τε ὑμῖν.
αὐτοῦ γὰρ χάριτ' ἔσθ' ὅσ' ἐστὲ, καὶ οὐδ' ἐλάχιστον
ἄμμοροι εὐτυχέως τῆσδε δύνασθε τελεῖν.
ὃς μεγαλοπρεπέως σκηπτούχῳ χειρὶ κυβερνᾷ,
ἐξ Ἰσραῆλος τὸν γεγαῶτα λεών.

κἀρ νεφέεσσιν ἑὴν σαφέως ἐπιδεικνύει ἰσχύν,
ἐκ σφείων ζωῆς ἰσραὴλ ὕδαθ᾽ ὕων.
θαυμάσιος μάλ᾽ ἐν οἷς ἁγίοις· μάλα τ᾽ ἐστὶν ἀγαστὸς,
γεύσασθαι πάσης σφᾶς τε τύχης ἐάει.
οὗτος, ὁ Ἰσραῆλος ἑὸν θεὸς, ἠδὲ κατοικῶν
αἰὲν ἐν οὐρανίοις κτίσμασιν οἷσι, δόμοις.
καὶ κράτει προέχων, τοῦ καὶ μεταδώσετ᾽ ἀφειδῶς
δήμῳ, πρὸς παντὸς τοῦ βλαβεροῖο τροπήν.
χαῖρε μέγιστε θεὸς, δυνάμει τε ὑπέρτατ᾽ ἀλήκτῳ,
ὦ σῶτερ μερόπων χαῖρε φέριστε θεός.
σὲ κλεέτω πᾶν ζῶον ἐπ᾽ αἶαν πνεῖον ἰδ᾽ ἕρπον,
ἠὲ ἄλλος δίνης βένθεος ἔνδοθ᾽ ἐόν.
κόσμος ὅλος ποίημα τεῆς ἀπὸ χειρὸς ὅλοιτο,
πρὶν καταπαυθῆναι σὸν κλυτὸν οὔνομ᾽ ἔμεν.

## ΨΑΛΜΟΣ ΞΘ.

### Ὑπόθεσις.

Ἀμφαδίην τὸν τοῦ χριστοῦ μαντεύεται οἶτον,
τῷ βροτέον σώζειν αὐτὸς ἔμελλε γένος.
δηλῶν τήν τε πόσιν, καὶ τὴν ἐν σταυρῷ ἐδητύν
αὐτοῦ ἀεικελίην, ὄξος ἄρ᾽ ἠδὲ χολήν.

Ἐλθὲ βοηθήσων ἐμοὶ ὦ θεός· ὦ θεὸς ἐλθέ.
ἔκ τε τεῇ δεινῶν ῥῦσ᾽ ἐμὲ χειρὶ κακῶν.
σῶζέ με τὸν δειλὸν τὸν λάβρ᾽ ἐπὶ ὕδατα κλύζει,
ὕδατα τὰ ψυχῆς αἰσθάνομ᾽ ἄσσον ἴμεν.
κεῖμαι ὑπ᾽ ἀτλήτου βεβυθισμένος ἰλύος ἄχθους,
οὐδέ τιν᾽ ἡ ἀχανὴς πυθμέν᾽ ἄβυσσος ἔχει.

ἔμπεσον εἰς πελάγους τὸ μεσαίτατον, ἔς τε τὸ βέν-
    καὶ πηγοῖς κεῖται κρᾶς ὑπὸ κύμασ' ἐμόν. (θος
ἀσθενέω κραυγῆς μεγάλης ἀπὸ πνεῦμα κεκμηκώς,
    χ' ὁ τρηχὺς γῆρυν λαιμὸς αὐαίνεθ' ἱείν.
ἀμβλὺς τὰς ὄψεις γενόμην, τόσα πρὸς σὲ δεδορκώς,
    σεῖο βοηθείην ἤματα προσδοκόων.
πλείους γὰρ μισοῦσι κακόν μ' ἔρξαντά περ οὐδέν,
    τῶν δὲ τριχῶν, κεφαλὴ ἧστισιν ἥδε κομᾷ.
καὶ μοὶ οἱ ἐχθροὶ παρ' ἐμεῖό περ οὔτι παθόντες
    ἐχθρὸν, ἐμοῦ σφετέρῃ κρείσσονές εἰσι βίῃ.
αὖ, τε ταλαίπωρον τάδ' ἀναγκάζουσί με τίνειν,
    ἃ σφισιν ἥρπαξαν μηδέποθ' αἵδε χέρες.
ὦ θεὸς ἀφραδίης σὺ ἐμῆς ἐὸς ἴδρις ἁπάσης,
    οὔτε ἁμαρτιέων λήθει ἐμῶν σε χρέος.
μηδέποτ' αἰσχύνῃ τοὺσδ' αἰκισθῆναι ἐάσῃς
    σύ μοι, ὅσ' εὔνοιαν προσδοκόωσι τεήν.
ὦ Ἰσραήλος θεὸς, ὦ στρατοῦ ἐγχεσιμώρου
    κοίρανε, ὃς τὸ κράτος προσφορῇ οὐδὲν ἔχεις·
μὴ ἀπορῆσ' ἐάσῃς σέθ' ὀρυθειόωντας ἀρωγῆς,
    τοὺς σὲ ἀρηγόν' ὅλῃ διζομένους κραδίῃ,
σεῖο χάριν γὰρ πολλὰ φόρω κατ' ὀνείδεα θυμὸν,
    σεῖο χάριν τ' αἰδοῦς πλῆρες ἐμ' ἔστι ῥέθος.
ἀλλότριος γενόμην τοῖς πᾶσιν ἐμοῖσιν ἀδελφοῖς,
    καὶ ξεῖνος μητρὸς τοῖς τεκέεσσιν ἐμῆς.
οὕνεκά με ζῆλος μόνον οὐ κατὰ σοῖο βιβρώσκει
    δώματος, ὃ πλατέην οἶον ἔπ' αἶαν ἔχεις.
τάς τε ἐπεσβολίας ἀσεβῶν γε σε λοιδορεόντων,

δειλαίον

δειλαιὸν πάσας αἰθαλόομ' εἰς με πεσεῖν.
θερμὰ κατὰ βλεφάρων νηστείων δάκρυα βάλλω,
ἀλλ' ἔμπης πέλεται καὶ τόδ' ὁρῶσι γέλως.
σακκῷ ἐμὰ ξύμπαντ' ἐκάλυψα τὰ ἅψε' ὀρυμνῷ,
καὶ τοῦτ' ἔλεγχον γεύτο καὶ αὐτὸ κακοῖς.
μοῦνον ἐμεῖο πέρι θρυλέουσι καὶ οὐδενὸς ἄλλου,
ἐν πολυανθρώποις, οἷς ἕδος ἐστὶ πύλαις.
καὶ οἱ πίνοντες λέσχῃς ἔνι αἴθοπα οἶνον,
αἰσχροῖς ᾄδουσιν πότμον ἀείσμασ' ἐμόν.
αὐτὰρ ἐγὼ τλήμων εὐχῇσί σοι εὔχομ' ἀπαύστοις.
σοῦ σὲ ἐπιστάμενος κάρτ' ἐλεήμον' ἔμεν.
τῷ σοῦ ἐμοὶ ἐλέους μνησθεὶς ἐπιτάῤῥοθος ἴσθι,
καὶ τάσδ' οἰγομένοις οὔασι δέξο λιτάς.
σῶζε, καὶ ἐκ βαθέος δύστηνον ἔμ' ἔξελε πηλοῦ,
μὴ κατ' ἔμ' ὄφρα πίῃ ἰλυόεσσα τάφρος.
αὐτὰρ ὅπως τῶν μισούντων ἐμὲ θήρατρ' ἀλύξας,
καὶ τόσου ῥυσθῶ βένθεος ἐξαναδύς.
μὴ καταποντίζῃ τόσα μ' ὕδατα, μή με θύελλα
κλύζῃ, μὴ δῖνος κυματόεις με ἄρῃ.
μήτ' ἐπ' ἐμοὶ κλείσῃ φρέαρ ὃν στόμα, δεινὰ κεχηνὸς,
γῆς τε κάτω μ' ὀρατῆς εἰς τὸ βέρεθρον ἄγῃ.
κλῦθί μου, ὅττ' ἀγαθὸς, χρηστός τε μάλ', ἠδ' ἐλεήμων
ἐσσὶ φιλοφροσύνης ἔμπλεον ἦτορ ἔχων.
κλῦθ' ἐπ' ἐμὲ βλέψας τὸν δύσμορον, ἄθλιον, οἰκτρὸν,
τῆς τ' ἐλεημοσύνης ἐνδεᾶ ὄντα τεῆς.
μήτ' ἀπ' ἐμεῖο τεοῦ τὴν σὴν δούλοιο πρόσοψιν
κρύψ', αἰνοπροβλήτοις ἀχθομένοιο κακοῖς.

ἀλλ' ἐπάκουσον ἄφαρ, ψυχήν τε μου, ἄγχι παραστὰς
  λύτρωσ' ἀτάων, ἧσι παλαίει, ἐῶν.
χ' εἵνεκ' ἐμῶν ἐχθρῶν ἐμὲ ἄρνυσο, χ' εἵνεκα πάντων,
  τιμὴν δ' ἔμ' ὀνειδίζειν εἰς φίλον ἐστὶ δύην.
σὺ γὰρ ὀνειδισμοὺς, οἷς τρύχομ' ἐπίστασ' ἅπαντας,
  χ' ὅσσα με ἡ μιαρὴ κέρτομα γλῶσσα λέγει.
οἷσι βαρυστενάχων λυπρὸν καταδάπτομαι ἦτορ,
  καὶ φίλον ἐν γοεροῖς στήθεσι θυμὸν ἔδω.
προσδέχομ' εἴ τιν' ἐμάς κεν ἔχοι δι' ὀϊζύας οἶκτος,
  ἀλλὰ φιλοίκτιστον μηδένα δέρκομ' ἐμόν.
τοὺς τε παρηγορέοντας τόδ' ἐμοὶ τὸ πάθημα πραΰνειν
  καί τισι μέλλοντας μειλιχίοισι λόγοις·
δίζημ' ὀφθαλμοὺς μὲν ἔνθα καὶ ἔνθα τιταίνων,
ἀλλὰ τοιοῦτον δ' εὑρεῖν οὐδαμοῦ οὔτιν' ἔχω.
τείρει ἐμοὶ κενεὴν πολυκηδὴς γαστέρα λιμὸς,
  καὶ πικρ' ἐμοὶ δίδοται στυγνὸν ἔδεσμα χολή.
ξηρά μοι ἀργαλέῃ πέλεθ' ὡς τέφρα χείλεα δίψῃ,
  καὶ πόσιν οὐκ ἀγαθὴν δειμοῦ τὸ ὄξος ἔχω.
εἰς βρόχον ἡ ἰδίη αὐτοῖσι τράπεζα γένοιτο,
  σφῶν πρόσθ', εἴς τ' ὀλοὸν σκάνδαλον, εἴς τε τίσιν.
ὄμματα, μή τι ὁρᾶν κεν ἔπειτ' ἀλαοί γε δύνωνται,
  ὡς σκότος ἐννύχιον σφῶν νέφος αἰὲν ἔχοι.
καὶ συχνοῖς κάμψον σκληρὸν σφίσι τύμμασι νῶτον,
  ὥστ' ἀτρόμους αὐτοῖς ὀσφύας οὐκέτ' ἔμεν.
ὥς τινα χείμαῤῥον, χόλον ἐκ σὸν χεῦον ἐπ' αὐτοὺς,
  μήτε τεὴν ὀργὴν τις χαλεπὴν κε φύγοι.
εἴη ἐνναετῶν, αὐτῶν ἡ ἔπαυλις ἐρήμη,

καὶ

καὶ σκηναῖς οὐδεὶς σφῶν βροτὸς οἶκον ἔχοι.
ὅττι διώκουσιν, τύπτουσί τε, τοὺς σὺ πάταξας,
πρός τε σοῦ αἰνὰ τεοῦς γαυριόωσι παθεῖν·
τάς τε πρὶν ἀμπλακίας κορυφοῖσιν ἔτ᾽ ἀμπλακίῃσι,
ὄφρα δικαιοσύνης ἄμμορ᾽ ἔωσι τεῆς.
ἐκ τῆς τῶν ζώντων σφᾶς βίβλου ἔλεγχον ἐχούσης
ἆρσον, ἵν᾽ ὀλλομένου ἀνδράποδ᾽ ὦσι μόρου.
μὴ ξὺν τοῖς ὁσίοις γραφθεῖεν, ξύν τε δικαίοις,
τῶν ἴδιον παρά σοι οὔνομ᾽ ἕκαστος ἔχει.
ἀλλά μοι ἀκτεάνῳ καὶ ἀποτμοτάτῳ τελέθοντι
ἄλλο μετ᾽ ἄλλο φίλον θυμὸν ἀμύσσει ἄχος.
σύ με παρηγορέοις, καὶ σὴ ἐς ἄμμιν ἀρωγὴ
ἔλθοι ἐμοί, τόσσων ἐκτ᾽ ἐμ᾽ ἔλοιτο κακῶν.
ὑμνήσω γλυκεροῖς θεὸν ἄσμασιν, σοῦ τε χαριστῶν
ἔνθα καὶ ἔνθ᾽ αἴνης, οἱ κλέος ἐσθλὸν ἀρῶ.
καὶ τοῦθ᾽ οἱ τὸ γέρας παρ᾽ ἐμοῦ πολὺ μᾶλλον ἀρέσσει,
ἤ τις ὁπλὰς ταῦρος ξὺν κεράτεσσι φύων.
ταῦθ᾽ οἱ πτωχ᾽ ὁρόωσ᾽, ἰδ᾽ ἄγαν γανόωσιν ὁρῶντες
καὶ σφίσι χαρμοσύνη μηκέτι λύπη ἔνι.
οἱ γὰρ διζόμενοι θεὸν, ἤματα γηθόσυνοι κῆρ
ἔσσοντ᾽ οὐρανίου ἔμμορ᾽ ἅπαντα βίου.
ὅττι βοηθείης χρείαν ἐπακούει ἐχόντων,
τῶν τε πεδηθέντων κύριος οὐκ ἀμελεῖ.
τῷ μιν ἐπαινεσάτω σελαγίζων ἀστράσ᾽ ὁ αἰθὴρ,
καὶ γῆ καὶ πέλαγος χ᾽ ὅσ᾽ ἐνὶ τῷδε ῥέπει.
καὶ γὰρ ἀπ᾽ οὐρανόθεν φίλον εἰς Σιῶνα σαώσει
οὖρος, Ἰουδαίας οἰκοδομῶν πόλιας.

αὖθις ὅπως κεν ἐκεῖ σὺ ναιετόωντα τιν' ὦσι
δώματα, πυροφόρου κληρονόμοι τε πέλου.
δώματα, τῶν αἰεὶ μέλλουσι κτήτορες εἶναι
ὄλβιοι, οἱ ἀνδρῶν ὄψιγον εὐσεβέων.

## ΨΑΛΜΟΣ Ο.

### Ὑπόθεσις.

Δευόμενος κατὰ τῶν ἐχθρῶν, τάδ' ἐλίσσετ' ἀμύνης,
ὄντων καὶ πολλῶν, καὶ μάλ' ὑπερφιάλων.
οἷα δίκην ἑκέως ἀβέβηλος ἅπας τιν' ὁρεῖτο,
παντόθι τοὺς αὐτῷ δυσμενέοντας ὁρῶν.

Ὅππως νόσφι βλάβης, καὶ πήματος, ἐξαναδύω
τῶνδε δαΐων ἀχανοῦς ἐκ βερέθροιο κακῶν·
βάσιν ἴθι, χραισμήσων ἐμοὶ ὦ θεὸς, ἠδ' ἐπαρήξων,
δεῦρο φίλ' ἄλκαρ ἐμοὶ κύριε ἐσσόμενος.
πᾶσι γέλως, ξυνόν τ' αἶσχος, κακὰ φῦλα γένοιντο,
ὅσσοι φράζονται ψυχῇ ὄλεθρον ἐμῇ.
ἂψ ἀναχάζοιεν, καὶ σκώμματα πλεῖστ' ἀΐοιεν
δύσμορ' οἱ αἰὲν ἐμοὶ λυγρά τιν' εὐχόμενοι.
δυσκλείης ἀναχάζοιεν πλέοι εἶθαρ ἅπαντες,
οἷς κατ' ἐμεῖο μέλει, εὖγε, καὶ, εὖγε, βοᾷν.
οἳ δ' ἀλαλάζοιεν, σφετέραις τε ἀγαλλιόῳντο
ἐν φρεσὶ, δίζεσθαι πάντοτε τοῖς σὲ μέλει.
οἷς τε ποθεινότατον σωτηρίη ἡ τεὴ ἐστι
πάντων, ὅσσα, τόσος κόσμος ἔσω περ, ἔχει·
νωλεμέως σὲ γεραίρειν λιγυρῇσιν ἐν οἴμαις,
χαῖρε, πιφαύσκοντες, χαῖρε μέγιστε θεός.

ἀλλ'

ἀλλ' ἐγὼ ὡς προΐκτης, καί τις πολύπλαγκτος ἀλήτης,
μαρνάμενος δειναῖς κεῖμαι, ἀμηχανίαις.
τῷ σὺ ἀλεξητὴρ θεὸς ἐλθέ μοι, ὗτε χρόνιος ὤν.
σοῦ δίχ' ἀρωγὸν ἐπεὶ κοὐδέν' ἀμύντορ' ἔχω.

## ΨΑΛΜΟΣ ΟΑ.

### Ὑπόθεσις.

αἰτεῖ ὀϊζύοντι ἑοῖ θεὸν ἔμμεν ἀρωγόν,
ἔκ τε μὶν αἴνυσθαι τῆς κακότητος ἑῆς.
τοίας δ' ἀμ στόμ' ἔχει καὶ νῦν ἐκκλησίη ἀράς,
γήραος ἱκομένη παρχεδὸν ἠπεδανοῦ.

Τεχνῆμον κόσμου, καὶ πάντων ὅσσα γένοντο,
ᾧκεν πιστεύσω νόσφι σέθ' οὔτιν' ἔχω.
ὄφρα μὴ αἰσχύνην τι ἐμοὶ ἀτύχημα προσάψῃ,
τύνη ἐμοὶ σωτὴρ, τύνη ἐμ' ἴσθι φύλαξ.
κἀμὲ δικαιοσύνην κατὰ σὴν τῶνδ' ἔξελε δεινῶν,
καὶ τὰ σὰ πρὸς κινυρὰς οὔατα κλῖνε λιτάς.
χραίσμει ἤδ' ἀστεμφές μοι ῥῖον ἔσ' ἀκρόπολίς τε
ἔρκος τ' εἰς ὃ φυγὼν οὔκεν ἁλωτὸς ἔω.
ἐς ῥά μοι ἀψευδεῖ τοῦτ' αὐτὸ ὑπέσχεο φωνῇ,
ὅττ' ἐπαλεξῆσαι ἐσσὶ πρόθυμος ἐμοί.
καὶ γὰρ κρησφύγετον τὸ ἐμὸν μόνος εἶ, καὶ ἄσυλον,
χάλκειος πύργος τ' ἀστυφελής τε πέτρη.
ὦ θεὸς ἐκ βειαρῶν ἀσεβοῦς με τλήμονα ῥῦσαι
ἀνδρὸς τοῦτ' ἀνόμου τοῦ τ' ἀδίκοιο, χερῶν.
προσδοκίη σὺ ἐμὴ, σὺ ἐμὸν γὰρ κύριε θάρσος,
ἐλπίς τ' ἐκ γενετῆς κύριε ἐσσὶ ἐμῆς.

σοὶ ἐπιπίστις ἐμὴ κείνης ἔτι κεῖται ἀφ᾽ ὥρης,
ἧ πρῶτ᾽ ἐκ μητρῆς ἤλυθον οἰγομένης.
καὶ σύ με τικτόμενον σῇ χεὶρ᾽ ἐξήγαγες αὐτῆς,
τῷ σε διὰ στόματος μήποτε παύομ᾽ ἔχων.
πολλοὶ εἴσκουσιν τέρατί με χαλίφρονες ἄνδρες,
ἀλλὰ πεποίθησίς μοι κρατερὴ σὺ πέλῃ.
πανῆμαρ στόμ᾽ ἐμὸν εἴη σοῦ μεστὸν ἐπαίνου,
σῆς στόμ᾽ ἐμὸν δόξης πλεῖον ὁσημέραι ἔοι.
ὀκνηρόν μοι ἐπὴν καὶ γῆρας ἀφαυρὸν ἐπέλθῃ,
μὴ ἀποβληθέντος τότ᾽ ἀθερίξομ᾽ ἐμοῦ.
μήτε ταλαίπωρον προλέλοιπ᾽ ἔμ᾽, ὅταν προλελοίπῃ
τοῦτ᾽ ἀποφθυξαμένη ἰσχὺς ἅπασα δέμας.
ψιθυρίζουσιν γὰρ ἐμοῦ πέρι δήϊοι ἄνδρες,
μήτιας ἐγκάθετοι ἀρτυνέουσι βροτοί.
ὧδε φατίζοντες. θεὸς ἐγκατέλειψεν ἐκεῖνον,
δεῦτε διώξωμεν, καί μιν ἕλωμεν ὁμοῦ.
καὶ γὰρ ἑλεῖν αὐτὸν δυνάμεσθα βοηθοῦ ὄντα
ἄμμορον, ἀθανάτῳ παρὰ θεῷ, ἠδὲ βροτοῖς.
ἀλλὰ σὺ οὐ δήθυνον ἐμοῦ φίλ᾽ ἀπόπροθι μίμνων
ὦ θεὸς, ὦκα δ᾽ ἐμοὶ ἔρχου ἀρηξόμενος.
εἵματ᾽ ἐλεγχείην περιεσσάμενοι αἶσχος, ὀλέκοιντο
πάντες, ἐμῇ ψυχῇ οἱ κακὰ μηδόμενοι.
αἶσχος ἀεικέλιον, καὶ ἐντροπὴ ὄμματα κεύθοι
οὐλοά, τῶν τεύχειν λυγρά μοι ἐλδομένων.
ἀστεμφῶς δ᾽ ἐγὼ, κρατερόφρονα θυμὸν ἐρείσας,
ἐλπίσομ᾽ αὐξήσων σὸν στόματ᾽ εὖχος ἐμῷ.
γλῶσσα δικαιοσύνην σὴν κενεὲς ἤδε λαλήσει,

καὶ

καὶ σωτηριέων ἔργ' ἀμέτρητα τεῶν.
ἔρχομαι ἀγγελέων δύναμίν τε βίην τ' ἀμέγαρτον
κυρίου, ὦ μηδεὶς ἔικελος ἦκε βροτῶν.
κοὔποτε σ' ὐκελαδῶν λήξω, μόνος ὅττι δίκαιος
τῆς τε δικαιοσύνης ὦ θεὸς ἐσσὶ δοτήρ.
ἐκ νεότητος ἐμῆς σὺ δίδαξαο σόν με μαθητήν,
θαύματα τῶ σὰ χρόνου μέχρι παρόντος ἐρῶ.
μὴ πολιοκρόταφόν με λίποις ἐπὶ γήραος οὐδῷ
καύτ' ἀδρανέις βάκτρῳ τ' ἐμπεδόοντα πόδας.
εἰσόκε σὸν πολλῶν παίδεσσι βραχίονα παίδων,
καὶ σθένος αὐδήσω τοῖς μετέπειτα τεόν.
σεῖο δικαιοσύνη ψαύει θεὸς αἰθέρος ἄκρου,
ὦ μεγαλουργὲ τεὴν τίς προσέοικε θεός;
ὅς με λαβεῖν ἐάας διάπειραν ἀμηχανιάων,
καὶ πολλῶν χαλεπῶν ἀργαλέων τε κακῶν.
καὶ ζῶντ' ἐκ θανάτου μ' ἀνάγεις πάλιν, ἔκ τε ἀβύσσων
τῆς χθονὸς, ὥσθ' ἠδύ μ' ἥλιον αὖθις ὁρᾶν.
καὶ μέγαν αὖ ποιεῖς, καὶ ἀοίδιμον ἠδὲ κραταιὸν,
τῶν τε ἀνιάων παρακαλέων με λύεις.
τῶν ἐπιμνωόμενος, καθὰ θυμελικός σοι ἀνήρ τις,
φόρμιγγ' σύηρεκτον χορσὶν ἐμῇσι κροτῶ.
σήν τε δι' ἀτρεκίην χάριτάς σοι ἅτ' οἶκε προσάπτων,
παντοίῃ κρέκω ὄργαν' ἀοιδοσύνης.
Ἰσραήλος ἐπεὶ ἅγιος θεοῦ ὄρχαμός ἐστι
λαοῦ, κἀμὸς ἀεὶ ζῶν τε μέλλων τε θεός.
καὶ δὴ τὸ στόμ' ἐμόν σε ἀγάλλεται ἔξοχα κλεῖον,
ψυχή θ' ἣν τόσσων ῥύσαο ἐκ καμάτων.

πρὸς

πρὸς τούτοις γλῶσσ' ἡ μελέτην ἔχει ἤματα πάντα
ἤδε, δικαιοσύνης σῆς πέρι γῆρυν ἱεῖν.
αἰσχύνης ἐπεὶ πειρηθήσονται ἅπαντες,
ὅσσοι μέλλονται λυγρὸν ὄλεθρον ἐμοί.

## ΨΑΛΜΟΣ ΟΒ.

### Ὑπόθεσις.

Τεύχουσαν Χριστὸν βασιλείην ἔξεμεν αὐλῆς,
πᾶσαν τοῦ ξυνόλου κόσμου ἐπ' ἐσχατιήν.
καὶ τῶν δυστήνων λυτρωτὴν αὐτὸν ἔσεσθαι,
πρός τε κυνησέμεναι φῦλα βροτῶν οἱ ἀεί.

ΟΣ κράτει ἀϊδίῳ πάντων οἰήια νωμᾷς,
σύν τε κρίσεις φορέεις σκῆπτρα σὰ σύν τε δίκῃ
δὸς κρίσιν εἰς μετέπειτα τεὴν βασιλῆα διοικεῖν,
σήν τε δικαιοσύνην παῖδα τὸν αὐτοῦ ἔχειν.
ὄφρα δίκης λαὸν τὸν σὸν κατὰ τέθμια κρίνοι,
σοῖς τε ἀλάλκ' ὀλοὴν τοῖς πενιχροῖσι βίην.
τὤρεα εἰρήνης τῷ λαῷ ὅρκια πιστά,
κνημοὶ εὐείκειαν δῶρα δικαιοσύνης.
οὐτιδανοὺς δικάσει, περιποιήσει τε πένητας,
τοὺς διαβάλλοντας χειρὶ καθ' ἐκτρίβει.
πάντα φοβήσονταί σε τὰ ἔθνε', ὄφρ' ἠελίου φῶς,
ὄφρα τε ἡ μήνη νυκτὸς ἄγαλμα μένει.
νωλεμέως, εἰς αἰώνων αἰῶνας ἅπαντας,
καὶ ἐξ ἄλλων γενεῶν εἰς ἑτέρας γενεάς.
ὡς ἐπὶ πιπτάμενον καταβαίνει κώδιον ὄμβρος,
ὡς γῆν ἀρδεύει τοῦ ὑετοῖο ῥοή.

οὕτω

οὕτω ἀπ' οὐρανόθεν καὐτὸς καταβήσετ' ἐπ' αἶαν,
　ὕδασιν ὑγραίνων πᾶσαν ἄρουραν ἑοῖς.
αὐτοῦ ἐπ' ἄρχοντος βροτοὶ ἀνθήσουσι δίκαιοι,
　ἥ τε γαληναίης ἀκμάσει ἁδροσύνη.
καρτερὴ εἰρήνη ξυνόλῳ τότε κόσμῳ ἀνάξει,
　μέσφ' ὅτε τῆς μήνης λήξει ἔτ' ὂν τὸ φόως.
ἀρξάμενός τε μιᾶς ἀπὸ αἰγιαλοῖο θαλάσσης,
　μέχρ' ἑτέρης βασιλεὺς ἔσσεται αἰγιαλοῦ.
καὶ τοῦ Ἰορδάνεω ἀπὸ καλλιρόοιο ῥεέθρων,
　μέσφα πρὸς γαίης ἔσχατα πείραθ' ὅλης.
ἀντ' αὐτοῦ προπεσοῦνται ὀδὰξ οἱ ἔνοικοι ἐρήμων,
　λείξουσίν τε κόνιν φῶτες οἱ ἐχθροὶ ἑοί.
τῆς ἁλὸς οἱ βασιλεῖς ἤτ' ἐγγύθ', ἢ ἔνδοθ' ἔχοντες
　οἰκία, μέλλουσιν τίμια δῶρα φέρειν.
ὄλβιοι οἱ Ἀράβων σημάντορες, ἠδὲ Σαβέων,
　οἴσουσ' ὑψίστῳ οἱ βασιλῆϊ τέλος.
πρός τε κυνήσουσι ξύμπαντες ἅμ' αὐτὸν ἄνακτες,
　δουλεύσει τε ἑοὶ φῦλα τὰ πάντα βροτῶν.
λύσει γὰρ δυέων κεκράγοντα τὸν ἄθλιον αἰνῶς,
　τόν τε βοηθείης ἔμμορον οὐδεμιῆς.
φείσετ' ὀϊζυροῦ, καὶ ἀμηχάνου, ἠδὲ πενιχροῦ,
　τῶν τ' ἀπόρων ψυχὰς κάρτεϊ σώσει ἑῷ.
τὰς αὐτῶν ψυχὰς λυτρώσετ' ἀφ' ὕβριος αἰνῆς,
　ἔκ τε ἐπηρείης ῥύσεται, ἔκ τε δόλου.
πρόσθ' αὐτοῦ τιμῆς ἀντάξιον αἷμα μεγίστης,
　καινομένων σφείων ἔσσετ' ὄβαζε ῥέον.
ζώσει, τῶν τ' Ἀράβων κειμήλια χρυσὲ' ἀπ' αἴης

λήψε-

λήψεται, εὐχωλῶν ἐνεκὲς αὐτιόων.
τῶν τ' εὐφημεόντων ἐξ ἀκόων ἦμαρ ἐπ' ἦμαρ,
τῶν τε διαμπερέως Χριστῷ οἱ εὐχομένων.
ἠλιβάτοισιν ἐφ' ἡ Δημήτερος οὔρεσιν ἀκτὴ
ἱρὴ, σὺν πολλῇ ἀκμάσει ἀφθονίῃ.
εἰνοσίφυλλον ὄρος Λίβανος καθὰ σείετ' ἀήταις·
τὼς ἔα σείεσθαι λήϊα μέλλει ἰδεῖν.
ἀνθήσει τ' αὐτοῦ ἐνὶ ἄστεσ' ὁ εὐκτιμένοισι
καρπὸς, ἐν εἱαμεναῖς χόρτος ἅτ' εἰαρινός.
οὔνομ' οἱ ἄσβεστον, καὶ ἀγήραον ἤματα πάντα,
κλεινόν τ' ἔσσετ' ἀεὶ, τηλεκλυτόν τε μένον.
εἵως ἠέλιος πυρόεις περὶ γαῖαν ὁδεύσει,
τέως ᾄσουσιν καὶ τόδ' οἱ ὀψίγονοι.
εὐλογίης μέτοχοι δι' ἐκεῖνον πάντες ἔσονται,
πάντα παρέστ' ἐθνῶν φῦλά οἱ ἦρα φέρειν.
ἄξιος εὐστομίης ὁ θεὸς χ' ὁ κύριός ἐστι,
τοῦ Ἰσραῆλος κύριος ἠδὲ θεός.
ὃς μόνος ἠγαθέαις ἀριδείκετα θαύματα χερσὶν
ἔργα θ' ἑῇ ἀρετῇ ἀξιάγαστα τελεῖ.
ἔμμορον εὐεπίης αὐτοῖο τὸ οὔνομα εἴη,
οὔνομα πανθάγιον, καὶ μεγαλουργὸν ἐόν.
τῆς αὐτοῦ δόξης πλέα ἔθνεα πάντα γένοιτο
ἠμὲν, γῆς, ἠμὲν, ὅσσά τι ἐστὶν ὅλους.

## ΨΑΛΜΟΣ ΟΓ.

### Υπόθεσις.

ἔμμεν' ἀνεξικάκους τοὺς εὐσεβέοντας ἀνώγει,

ἐμπέ

ἐμπείρους αἴσης ἐν βίῳ οὐκ ἀγαθῆς.
μήθ' ὁσίης ἀμελεῖν, ὁρόωντας θαλλέμεναι πρὸ,
χωεὶς θυμοδακῶν δύσθεα φῦλα κακῶν.

ΩΣ Ἰσραῆλος φύλοισι μάλ' εὐμενὲς ἴσχει
κῆρ, ῥίου ναέτης οὐρανίοιο θεός.
τοῖς φρένες ἰθεῖαι, κραδίαι τ' ἀνυπόκριτ' ἔασι,
τοῖσί τε μήτ' ἀπάται, μήτε μέλουσι δόλοι.
σμικρὸν κάρτ' ἀνὰ μέσσον ἔην, τοῦ ποσσὶν ὀλισθεῖν
τοῖσδέ με, καὶ σφαλεροῖς γούνασ' ὄραζε πεσεῖν.
καὶ γὰρ ὑπερφιάλους ζῆλός με ὁρῶντά τις αἰνὸς
τόσσης τῶν ἀσεβῶν εἷλεν ἐπ' εὐτυχίῃ.
οὐ γὰρ κίνδυνος θανάτου σφισὶ δεινὸς ἐφῆπται,
οὐ σθένειν κρατερῇ σφᾶς φθένει οὖσα τύχη.
ἀλλ' ὡς ἠλιβάτοις πέτρῃς ἐνὶ πύργος ἀρηρὼς
ἥττων χειμῶνος μηδενὸς ἵστατ' ἐών·
οὕτως ἄρρηκτοι, στιβαροί τε μένουσι καὶ αὐτοί,
καὶ μοίρης πάντως οὐκ ἀλέγουσι κακῆς.
οὔτε καθὼς ἄλλοι ὀχέουσιν ὀϊζύας αἰνάς,
οὔτ' αὐτίκα πενίη σφὶν φορέει, οὔτε νόσος.
τοὔνεκ' ἀγακλειτοὶ ὑπερκυδείῃσι γίνονται,
καί σφι καλὸν δοκέει χρῆμα μάλ' ὕβρις ἔμεν.
ὄλβῳ τ' οἰδαλέοι, κτεάτεσσί τε φυσιόωντες,
πάντοθι πρωτεύειν, πᾶν τ' ἐθέλουσι κρατεῖν.
ὅσσα τε πορφύρει κραδίῃ σφισί, χ' ὅσσ' ἄρετ' αὐτοῖς
ἐστί, τάδ' ἄμμορ' ὅλως πάντα τελοῦσι φόβου.
οὔτε χαλινοῦσι σφετέρην ἀποφώλια γλῶσσαν,
οὐδὲ σὺν οὐδεμιῇ φειδοῖ ἱεῖσαν ἔπη.

πάντα

πάντα δὲ μέμφονται λόγου ἄξι' ἅτ' οὐδενὸς ὄντα,
 καί σφιν ἅπαντα κακῶς ἦ δὴ μάλ' ἔστι λέγειν.
καὶ διαβάλλοντες, καὶ λοιδορέοντες ἀφειδῶς,
 ἂν στόμα τολμῶσιν καὶ τὰ ὑπέρτατ' ἔχειν.
λαιμῷ μαρνᾶσι ψευδηγόρῳ αἰπὺν ὄλυμπον,
 καὶ ἡ σφῶν γαίην γλῶσσα διέρχεθ' ὅλην.
τῷ σφόδρ' εὐμενέτης σφι προσέρχεθ' ὁ πουλὺς ὅμιλος,
 αὐτόθι εὑρίσκων ὕδατα πολλὰ πιεῖν.
τίς θεὸς, αὐδῶντες, ταῦτ' εἰδέν' οἷός τε κεν εἴη;
 καὶ πῶς ἰδμοσύνην ὤν τις ἐν αἰθέρ' ἔχοι;
οὗτος ὁ δυσσεβέων πάντως πέλετ' ὄχλος ἄμοιρος.
 τοῦτο τὸ ἔστ' ἀμελῶς τοῦ θεοῦ ἔθνος ἔχον.
ὄλβιοι ἄνδρες ὅμως ἐπὶ γῆς, καὶ χρήμασ' ἀγητοὶ
 κἄνδοξοι, τιμῆς τ' ἄμμοροι οὐδεμιῆς·
οὐκ οὖν ματιδίως ἁγνὸν κέαρ ἐν φρεσὶν ἴσχω;
 καὶ μύστους λόω χεῖρας ἀπόπροθ' ἐμάς;
μάψ τε πανημέριος μαστίζομαι ἄλγεσιν ἦτορ,
 αἶψ' ἠοῦς πάσχων πήματα φαινομένης,
ἤτοι ἐγὼ θάλλοντας ὁρῶν ὧδ' ἄνδρας ἀλιτροὺς,
 ἐν φρεσὶν ὥρμαινον τοῖα καὶ αὐτὸς ὄρ' εἰν.
τοῦτο δὲ ποιήσας τὰ σέθ' ἂν κατὰ τέκνα κεκρίκειν
 πάνθ', ὅσ' ἐπιχθονίου ἔμμορ' ἔγεντο βίου.
τῷ μερμήριζον κατ' ἐμὸν τάδε πολλάκι θυμὸν,
 ὄφρ' οἷός τ' εἴην νῷ κατ' ἐμῷ κε λαβεῖν.
ἀλλά μοι ἀργαλέας τόδ' ἐνκύοχεν αὐτὸ μερίμνας,
 μηχανὴ εὑρίσκειν οὔτις ἐπειδὴ ἔην.
εἵως οὐ φρέσ' ἐμῇσι θεοῦ μυστήρι' ὑπέσδυς,

πότμον ἐπεφράσθην, σφᾶς τοῦ ἔβλεψα τυχεῖν.
καὶ γὰρ ὀλισθηρὰ σφείων σὺ τὰ γούνατα ποιεῖς,
καὶ ῥιπῇ βάλλεις ὡς ἀνέμοιο χαμαί.
ὡς ἄφαρ ὄλλυνται, ἐκ τ' οὐδὲν ἔτ' εἰσὶ λιπόντες,
χ' ὡς αὐτοὺς δαμάᾳ τύμματι μοῖρα ταχεῖ.
ὡς διὰ νύκτα φανεὶς ἀμενηνὸς ἀποίχετ' ὄνειρος,
ὅσσ' ὅτε λυσιμελὴς ὕπνος ἀπῆλθε λιπών.
ὡς κείνων σὺ τὰ φάσματ' ἐόντ' ἀμενηνὰ καὶ αὐτά,
κύριε ποιῇ ὅλῃ αἶψα γέλωτα πόλει.
νῦν δ' ἐμὴ κραδίη βεβολημένη ἀλγεῖ ὀϊστῷ,
καὶ νέφρ' ἀνιῶνται δεινὰ πεπαρμέν' ἐμοί.
ὅττ' ἄφρων προπάροιθε σέθεν, καὶ ἀβέλτερός εἰμι,
ὡσεί τι κτῆνος τῷ νόος οὔτις ἔνι.
ἀλλ' ἀφραδής περ ἐὼν σε προὔλιπον οὐδέποτ' ἔμπης,
σοὶ πρὸς ἐμῇ ἀλύτως δεξιτερῆφι δεθείς.
καὶ σὺ ἔμ' ἐννεσίην κατὰ σήν, καὶ μῆτιν ἀγινεῖς,
καὶ δόξῃ κοσμεῖς δεξάμενος με καλῇ.
κἂν ἀπὸ τῆς γαίης με ἀρὼν κατ' ἐς αἰθέρα νάσσῃς,
ἔσσετ' ἐν αἰθέρ' ὅμως, πλὴν σέθ' ἔμ' οὔτι φίλον.
κἂν πάντ' αὖθις ἐμοὶ κατέχειν χθονὸς ἤθεα δοίης,
ἐν χθονὶ μηδὲν ὅμως, πλὴν σέθ' ἔμ' ἔσσεθ' ἀδόν.
τοῦ γὰρ ἐμοὶ κόσμου μοῦνος πολὺ φίλτερος ἐσσί,
καὶ πάντων κόσμος φίλταθ' ὅσ' ἴσχει ὅλος.
ὅττ' ἂν τηκόμενον τοὐμὸν κρέας ἀσθενὲς εἴη,
ὅττ' ἂν κῆρ μογέοι ἀκρατὲς ἐν φρεσ' ἐμόν·
νωλεμέως σὺ ἐμοῦ βειαρὸν κράτος ἦτορος ἔμπης,
εἰς τ' ἀτελεύτητον μοῖρ' ἐμὴ ἐσσὶ χρόνον.

οἱ γὰρ ἰδοῦ σε λιπόντες ὁμῶς ἀπὸ πάντες ὀλοῦνται,
 βάντες ἀνοστήτους εἰς ἀΐδαο μυχούς.
τοὺς θ' ἅτε μαχλοσύνης ἐνόχους εἴδωλα σέβοντας,
 πάντας σῆς ὀλλῦς κάρτεϊ δεινὰ χορός.
ἀλλὰ θεῷ φρέν' ἐμὴν τὸ προσκολλᾶσθαι ἰαίνει,
 ἔντε μόνῳ πᾶσαν κυρίῳ ἐλπίδ' ἔχειν.
ὅππως κηρείξω τὰ σὰ ἔργματα ὦ θεὲ ἀγαστά,
 τῆς τε εὐκλείης ἄξι', ἅπασι βροτοῖς.

## ΨΑΛΜΟΣ ΟΔ.

### Ὑπόθεσις.

Χαλδαίων τε κατ' ὠμοφρόνων, τοῦτ' Ἀντιόχοιο,
 οὔκουν ἁμαρτήσῃ, ταῦτα λέγεσθ' ὁ λέγων.
ἄττα γε ῥωμαϊκοῖς τοῖς μυστιπόλοισι προσάπτειν,
 καὶ φίλε χριστ' ἐχθροῖς, τίς κε δύναιτο τεοῖς.

Ἄφθαρτ' ἐσθλὲ θεὸς, παλάμῃσιν ὃς ἠνία κόσμου
 ῥύμαλι παντοκρατεῖ τόν ποτε κτίσσας ἔχεις:
τίπτε ταλαιπώρους ἡμᾶς σέθ' ἀπόπροθ' ἀπωστοὺς,
 ἀνδράσι κῦρμ' ἐάας δυσμενέεσιν ἔμεν;
τί σκύζῃ ζαφελῶς ἡμῖν βαρυμήνιδι θυμῷ,
 ἀληκὼ οὐδεμίην τοῖς σέθ' ἔχουσιν ἄνσυ;
τοῖς τε τεῆς μήλοισι νομῆς, σὲ νομῆά τε πιστὸν
 πιστεύουσι, κακῶν, καὶ σφισὶ ῥῦμα πέλειν.
ἔσθι τεῆς μνήμων ἀλίης, σὸν ἐπίβλεψ' ὅμιλον,
 ὃν λάχες ἀρχῆθεν δῖον ἅτ' ἔθνος ἔχειν.
ὅν τ' ἴδιόν σοι γίγνεσθαι λυτρώσαο κλῆρον,
 οὐ ῥα σιωνείῳ ὄρει, τῷ σέθ' ἕδρῃ.

ἧς

βῆθ' ἐχθρῶν κεφαλὰς στυγερὰς ποσὶ σοῖσιν ἐπ' αὐ-
κάββαλε εἰς γαίης σφᾶς τὰ κατώταθ' ὅλης. (δρῶν,
πάντα βεβήλωσαν τεὸς ὅσσ' ἱρὸν εἶχεν ὁ οἶκος,
ὠρύετ' ἐν ναῷ μυσαρὰ φῦλα τεῷ.
καὶ σφέτερ' ἱδρύουσ' ἰνδάλματα ἔνδοθι κείνου,
σήματα μοῦνον ἐμὸν πᾶσι σεβαστὰ βροτοῖς.
χ' ὡς ὑλιτρεφέων ταμέων τὰ πρέμνια δενδρέων,
σφῶν πέλεκυς στράπτει ὑψ' ἐνὶ χερσὶν ἑῶν.
ὅσσατε δαιδαλέαι γλύψαν περικαλλέα χεῖρες,
αὔδιχα κόπτουσιν χαλκῷ ἅπαντα βίῃ.
ἱρὸν ἀφειδοῦντες κατὰ σὸν καίουσι μέλαθρον,
χραίνουσ' οὐνόματος τοῦ σέθ' ἔδεθλον ὅλον.
τοῖον θ' ἡ σφείων κραδίη τινὰ μῦθον ὀρέξει,
δεῦθ' ἁρπάξωμεν σφίσιν ἅμ' ὅσσα λάχον.
δηιόωσιν ὁμῶς ἀμότῳ πυρὶ, ἄττα πάλ' ἔσχεν
ἄσκησις διδαχῆς σῆς χθὸν' ἐπ' οἰκὶ ὅλῃ.
οὔτε τιν' ἡμετέρων σημείων, ὡς πόθ', ὁρῶμεν,
οὔτε προφητάων εἷς ἔτι ἄμμι παρά.
οὔτε παρ' ἧμιν ἀνὴρ τις ἔτ' ἐστὶ, διδασκέμεν εἰδὼς
ὅσσα μετελθέμεναι σοῦ ἔχει, ὅσσα φυγεῖν.
ἄχρι τοῦ ὦ θεὲ ὅμως οὕτω ψόγον αἰνὸν ἀνάψας
ἄμμε κατηγορέειν μέλλει ὁ ἐχθρὸς ἀνήρ;
πόσσα τε βλασφημεῖν ἐπὶ ἤματα χεῖλος ἐάσεις
δήιον, οὐνόματος λοιδορίῃσι τεοῦ;
τοῦ χάριν ἀλλόθ' ἔχεις τὴν σὴν χέρα; τοῦ χάριν ἴσχεις
δεξιτερὴν κὰλ τοῦ τῆλε σέθ' ὧδε τεήν;
ἀλλὰ θεὸς βασιλεὺς ἔμπης ἐμέθ' ἐστὶν ἀγαυὸς,

ἐξ οὗ γεννηθεὶς ζῆν βροτὸς ἦρξα χρόνου.
τοῦ πάρ' ἐπ' ἀνθρώπους σωτηρίη ἔρχετ' ἰοῦσα
πᾶσα, ὅση γαίης ἀμφὶ τὰ μέσσα πολεῖ.
τύνη σῇ ἀρετῇ τμήσσεις δίχα κύριε πόντον,
ἐν κυανῇ τὺ φονεὺς ἐσσὶ δράκοντος ἁλί.
τῶν τε ὀβριμοσθενέων κητέων ξὺν κράατα τρίβεις,
τοῖσιν ἐρημάδ', ἔμεν γῆν κατέχουσι, τροφήν.
τύνη γίνεσθαι κέλεαι κρήνας τε ῥόους τε,
καὶ μεγάλ' ἐξαῦθις νάματ' ἄνυδρα ποιεῖς.
δουλεύουσα βροτῶν καμάτοις σὴ ἡμέρη ἐστί,
σὴ πάλιν ἡ σκοτέων εὐφρόνη ἐστὶ πλέη.
τὺ φάος ἠλιακὸν τεκτήναο, ἄστρα τε λαμπρά,
ἄλλοτε φαίνεσθαι, ἄλλοθ' ὑπ' αἶαν ἴμεν.
καί τισι σύμπασαν κατακλείεις πείρασι χώρην,
κἂν χέρση τραφερή, κἂν ὑγρὴ ὅσσα κυρῇ
σῆς χερὸς ἔργμα πέλει. τὸ λαχὸν θέρος ἤματα μακρά,
χεῖμα τε ἢ ψύχους μεστὸν ἔπλασσε βίη.
μνώεο οὖν πάντων ὅτι κύριον ἄφθιτον ὄντα
δεννάζει μεμαὼς δεινά σ' ὁ ἐχθρὸς ἀνήρ.
λαός τε κραδιῶν ὅτι τις κεχρημένος ἐσθλῶν,
οὔνομ' ἐπεσβολίαις σὸν σφετέρῃσι βολεῖ.
μὴ θηρὶ ψυχὴν δῴης σῆς τρυγόνος ἔσθειν,
αἰνομόρων ἐπὶ μὴ πάγχυ λάθοιο τεῶν.
αὐτὰρ συνθεσίης σῦ νυς μέμνησο παλαιῆς,
δῃώθησαν ἐπεὶ τῆς χθονὸς ἤθε' ὅλης.
καὶ οἱ ἐΰδμητοι τὸ πάρος δόμοι, σύστατέες τε,
οὐδὲν ὁρῶντ' εἰ μὴ νυνὶ ἐρείπι' ἔμεν.

μήποτ'

μήποτ᾽ ἐλεγχείην ἐπικείμενον ἄνδρα πενιχρὸν,
ἄπρηκτον παρὰ σοῦ ἄψ ἐάσειας ἴμεν.
τοῖς γὰρ ὀϊζυροῖς, καὶ ὄλβου δευομένοισι,
οὔνομ᾽ ἐϋκλείσαι σὸν μερόπεσσι, μέλει.
ἔγρεο, σύ τε δίκην δίκασον θεὲ, μνώε᾽ ὀνειδῶν,
τοὺς σε χαλιφρονέων βάλλει ὁσημέρ᾽ ἀνήρ.
μήτε τεῶν δεινῆς ἐχθρῶν ἐπίλησαι ὁμοκλῆς,
ἢ μινύθειν δόξης σῆς μεμάασι κλέος.
καὶ γὰρ ὁ ἰωχμὸς τῶν εἰπέμεν οὐκ ἐθελόντων
σοὶ ἀσεβῶν, ἐπὶ τὸ πλεῖον ἴησιν ἀεί.

## ΨΑΛΜΟΣ ΟΕ.

Ὑπόθεσις.

Ἄμμε παρηγορέων, φαρισαίοις οἶτον ἀπειλεῖ,
καὶ πᾶσι Χριστῷ ἐχθρὰ φρονοῦσι κακοῖς.
μελλέμεναι φάσκων τὸν δ᾽ ἔσθ᾽ ὅθ᾽ ἅπαντα δικάζειν,
καὶ κράτ᾽ ἀνθρώπων κλαζέμεν οὐχ ὁσίων.

ἩΔὺ τεῖν χαρίτων δίδομεν γέρας ὦ θεὸς, ἡδὺ
σοὶ φέρομεν χαρίτων, ὡς δέον ἐστὶ, γέρας.
καὶ τὰ ἀγητὰ τεῶν ἀγγέλλομεν ἔργματα χειρῶν,
οὔνομ᾽ ὅθ᾽ ἡμείων ἐγγύθι ἐστὶ τεόν.
ὁππόταν ἐμ᾽ σύνκαιρον δόξῃ, τότε πάντα δικάσσω
κρίμασιν, ἰθυκρίτης, οὐ σκολιοῖσιν, ἐών.
γαῖα τάκη, καὶ πάντες ὅσοι ναίουσιν ἐκείνην,
αὐτὰρ ἐγὼ στερρὰς κίονας αὐτῇ ἔδων.
τοῖς ὑπερόπλοισιν λόγον ἀνδράσι πολλάκις εἶπον
τοῖον, καυχωλῆς ληγέμεν ἄμμε δέει.

καὶ τοῖς εὐσεβίης ἀλιτροῖς μεγάλ' οὔτιν' ἔχουσι,
μὴ πίσυν' ἀνδρομέῃ νήπιοι ἔστε βίῃ.
μὴ κέρατ' ἄρσαθ' ὑμῶν τὰ κραταιὰ πρὸς ὕψος, ἐόντα,
μή τε σκληρ' ἀδέτω ὔμμιν ἴηλαι ἔπη.
οὐδενὸς ἠύθ' ὑμᾶς ἐπελευσομένοιο κακοῖο,
οὔτε ἀπὸ πρώτης ἠελίου ἀντολίης.
οὔτ' ἂρ ἐκεῖθεν, ὅπου χθόνα δύσεθ' ὕπ' αὖθις ἐκεῖνος,
οὔτ' ἀπ' ἐρημαίης θηροτρόφοιο λόφων.
ὅττι κριτὴς ὁ θεὸς, χαμ' ἐὼν τὸν βούλετο ῥίπτει,
χ' ὃν θέλει ὑψηλῷ ἵζει ἐν αὖθις ἕδει.
αὐτὸς ὁ δ' ἐν παλάμῃ φορέων πολυχανδέα κρωσσὸν,
οἴνου μηδὲν ὅλως πλήρη ἔχοντος ὕδωρ·
ἐκ τοῦ πινέμεναι πολλοῖς διδοῖ, αὐτὰρ ἀλέτης
εἰς τρύγα, χεῖλος ἀνὴρ πᾶσιν ὀρέξει ἑόν.
ἀλλ' ἐγὼ αἰῶνας λιγέαις ἐς ἀτέρμονας ᾠδαῖς
ὦ γαθὲ λατρεύσω σῷ Ἰάκωβε θεῷ.
καὶ κέραθ' οὐχ ὁσίων ἀνδρῶν ξυνάπαντα κατάξω,
ἀνδρὸς ὄφρ' ἀρθείη τοῦ ὁσίοιο κέρας.

## ΨΑΛΜΟΣ ΟϚ.

### Ὑπόθεσις.

οὕνεκ' ἀπόρθητον Σολύμων τὸ πολίχνιον ἱρῶν
σῶσε, θεῷ χάριτας τοῖσδε νόμοισι φέρει.
ὧσδ' αὔτως χ' ἡμεῖς εὐγνώμονες ὦμεν, ἔτ' αὐτῷ
κὰν χρέα τοῦ ὁσίου ἐσμοῦ ἔχοντι ὕπερ.

ΓΝωστὸς Ἰουδαίης θεὸς ἐν χθονὸς ἤθεσίν ἐστι,
κὰμ τῷ Ἰσραὴλ οὔνομα κυδρὸν ἔχει.

Καὶ Σολύμων ἱερῇ κλισίας οἱ τεῦξε πόληϊ,
    ἔν τε Σιωνέῳ δῶμ' εὔπηκτον ὄρει.
Ἔνθ' ἰοὺς διακλάζει ἄγων, καὶ ἀγκύλα τόξα,
    καὶ σάκος εὔκυκλον, καὶ ξίφος, ἠδὲ μάχην.
Μείζονα τῆς τῶν ληστάων τὸ δόξαν ἀνάκτωρ,
    τοὺς κεν ἀπεικάζῃς τοῖς ὀρέεσσι, λάχες.
Καὶ οἷς κραδίη σφετέραις μάλ' ἐνὶ φρεσίν ἐστιν ἀγήνωρ
    λῃῒς γίγνονται δήϊα φῦλα τεΐν.
Καὶ σφῶν λυσιμελὴς ὕπνος βλέφαρ' ἀμφικαλύπτει,
    ὥς τινος ἐν κοίτῳ κειμένου ἀνδρὸς ἑῷ.
Ὅσσοι τ' ἀγχέμαχοι μήστωρές τ' εἰσὶ φόβοιο,
    τεύχουσ' ἀδρανέας πάντες ἔραζε χέρας.
Σοῦ γὰρ ὁμοκλεῦντος, τάχ' ὕπνον χάλκειον ἰαύει,
    καὶ ὁ δίφρος εὔκυκλος, καὶ ὁ θοὸς ἵππος ὁμοῦ.
Ἐκπάγλως φοβερὸς πέλεαι, φοβεροῖο σέθ' ὀργὴν
    τίς κεν μὴ φυγέῃ θαρσαλέος περ ἐών;
Καὶ κείνην οὐλύμπου τὴν σὴν κρίσιν ἄκρου ἰάλλεις,
    αὐτίκα σιγὴ ὅλην καὶ δέος αἶαν ἔχει.
Τουτάχ' ὅτ' ἐρχόμενος κρίνειν θεὸς ὄρχεαι αὐτήν,
    καὶ σώζειν μελέους οὕς τινας ἦδε φέρει.
Ὅττε βροτῶν θνητῶν εὖ ἐπ' ἀμπλακίῃσι κολάζεις,
    πολλοὶ γίγνονται μνήμονες αὖτε σέθεν.
Καὶ θεραπεύοντες σε, γινώσκουσ' ἴδμονι θυμῷ,
    ὅττι κολαζέμεναι καὶ σφέας ἰσχὺν ἔχεις.
Εὔξασθ' οὖν ψεύσασθε θεῷ δ', ἄγχ' αὐτοῦ ὅσ' ἐστέ,
    δῶρα δότε βρότεον τῷ φοβέοντι γένος.
Καὶ τῷ ἡγητῆρα λεῶν ποιοῦντι ἄθυμον,

καὶ τῷ πλοιῶντι σκῆπτρα φοροῦντας ὁρᾷς.

## ΨΑΛΜΟΣ ΟΖ.

### Ὑπόθεσις.

ἢ θεοῦ ἀνδρομέην ἐπεὶ ἐκ φρεσὶν ἐσήλυθε μῆνις,
τοῖον δεῖμ᾽ ἄφνω, τοῖος ὄρωρε φόβος.
οὐ γὰρ φοβεῖσθ᾽ ἔμπης, τρομέειν τε μόνον δέον ἐστί,
ἀλλὰ καὶ ἐννοέειν θαυμάσι᾽ ἔργα θεοῦ.

Ἀγκαλέω βοάων τὸν κύριον ἠθάδι φωνῇ,
καί μου εἰσαΐει ὠσὶ βοῶντος ἑοῖς.
ὁσσάκι πόλλ᾽ ἐχθρῇ πάσχω κακὰ χειρὶ παλαιῶν,
αὐδῶ ἅτε ναυηγῷ, ὅρμος ὅδ᾽ ἐστὶν ἐμοί.
νύκτα δι᾽ σύννηλον καὶ ἄμβροτον, οὔποτ᾽ ἀνίσχων
παύομ᾽ ὀϊζύεσιν χεῖρ᾽ ἐνὶ τῷδε τείν.
καὶ ἡ ἐμὴ ψυχὴ ἀλγηδόσι τόσσα βαρύθει,
ὥστε παρηγορίης φροντίδ᾽ ἐμ᾽ οὔτιν᾽ ἔχειν.
χ᾽ οὕτως ἀλγεινοῖς κεκαφηότι κήδεσιν ἦτορ,
εἰς νοῦν μεμνῆσθαι σοῦ θεὸς ἔρχετ᾽ ἐμοί.
πρόσθε σε εἰπέμεναι ὅσσῃ τινὰ πενθάδι μῦθον,
ὅτ᾽ ὀλιγηπελίη τοὐμὸν ἐσῆλθε κέαρ.
λυσίκακον βλεφάροιν σὺ ἐμοῖιν τῆλ᾽ ὕπνον ἀπέργεις,
γλῶσσά μοι, ὀκνηρῷ ταρβεῖ πᾶσα δέει.
μνώομαι ἡμερέων αἳ μηδὲν ἔτ᾽ εἰσὶ παλαιῶν,
τῶν τε παρελθόντων οὐκ ὀλίγων μετ᾽ ἐτῶν.
νυκτὶ ἀοιδοσύνης ἐν ἐμῆς παρὰ μνῆσις ἔμ᾽ ἐστί,
νύκτ᾽ ἐνὶ κῆρ πρὸς ἐμὸν ὢ πόλλα λάθρῃ πρὸς ἐμόν.
καὶ ζητήματ᾽ ἐμὸν τάδε πνεῦμα κατηφὲς ὀρεχθεῖ,

κειμέ-

κείμενος ἐν στρωμναῖς, οὐχ ἅτε πρόσθε φίλαις.
οὐκοῦν πάνθ' ἡμᾶς εἰς κύριος ἤματ' ἀπώσει;
οὐκοῦν εὐμενέως ἧμιν ἐπαύσατ' ἔχων;
ἦ ῥα τέλους αὐτῷ ἐλεητὺς ἡ ἔλλαχ' ἐοῦσα,
ὅν τε ὑποσχεσίῃ πᾶσ' ἐκίχησε πέρας;
μῶν ἐλεαιρέμεναι ἐπελήσατο; μῶν χαλεπαίνων
οἶκτον ἀνηκέστῳ ὃν κατέκλεισε χόλῳ;
ταῦτα μενοινήσας φρεσὶ πολλάκις, ὕστατον εἶπον·
αὐτὸς ἐγὼ κατέδω κῆρ ἀχέεσσιν ἐμόν.
δεξιτερὴ δ' οἵη τε μόνον μεταβαλλέμεν ἐστὶ
πάντα, τοῦ ὑψίστου αἰθέρ' ἔχοντος ἕδρην.
τοὔνεκα σῶον γίνομαι μνήμων αὖ κύριε ἔργων,
χ' ὅσσα πρὸ παμπόλλων θαύματ' ἔρεξας ἐτῶν.
τῶν τε σέθεν κλείω ἀπὸ δῖα τελέσματα χειρῶν,
καὶ σὰ διὰ γλώσσης ἀνδραγαθήματ' ἔχω.
ὡς ἁγίαις στείχεις ἐν ὁδοῖς τὰ σὰ γούνατα πήξας
ὦ θεὸς, ὦ ῥώμην τίς σοι ἔοικε θεός;
τύνη γὰρ θαυμαστὰ μόνος θεὸς ἔργα περαίνεις,
κὰμ λαοῖς δηλοῖς κάρτος ἅπασι τεόν·
σὺ σθένει οὐ βροτέῳ, θείῳ δὲ ὑπείροχε πάντων,
τόν σοι ἅτ' οἰκεῖον ῥύσαο ὄντα λεών.
τέκν' ἄρ Ἰώσηφος τὰ πάλαι φὼς σπεῖρεν ἀμύμων,
χ' ὧ τοῦδ', ἀψεγέως ὃς βίον ἦγε, γονούς.
ῥεῖθρα θεός σε βλέπον, σὲ βλέπον πεφοβημένα ῥεῖθρα,
καὶ χέθ' ἀμύθητον βένθεα πάντα δέος.
λάβρους τὰ σκιόεντα νέφη χέεν ὑψόθεν ὄμβρους,
ὑγρή τ' ἠερίοις χθὼν ὑετοῖσιν ἔην.

καὶ δεινὸν τὰ νέφη σμαραγεῦντα πρὸ ἦχον ἴαλλεν,
  καὶ τὰ σέθ' ἔνθα τρόχων ῥίμφα καὶ ἔνθα βέλη.
βροντὴ ἐν οὐρανίοις ἐπάϊστος δώμασιν ἦεν,
  ἀστραπὴ ἐν γαίῃ σῇ σελάγιζεν ὅλῃ.
καὶ σεισμ' αἶψ' αἰνὸν χθόνα βωτιάνειραν ἵκανεν,
  οὐθ' οἵητ' ἀτρόμως ὡς πάρος, ἔσκεν ἔχειν.
ποσσὶ διέπρησσες σοῖς ἠεροειδέα πόντον,
  καὶ τὰ μέγιστα τεὴ ῥεῖθρα γίνοντο τρίβος.
οὔτιν' ὅμως πάμπαν σῶν ἴχνι' ἐφαίνετο ταρσῶν,
  οὔτε τις εἶχε τεῶν σῆμα ποδῶν τι ῥόος.
ἀλλ' Ἀαρῶνα διδοὺς, καὶ Μωσέα ποιμένας αὐτῷ,
  ἦγες σὸν προβάτων ἠΰτε πῶϋ λεῶν.

## ΨΑΛΜΟΣ ΟΗ.

### Ὑπόθεσις.

Τῶν ἀρχαιοτάτων παραδείγμασι χρώμενος ἔργων,
  πάντοτε πιστεύειν παρκαλεῖ ἄμμε θεῷ.
ὡς γὰρ τοὺς πιστὸν σώζει φρεσὶ θυμὸν ἔχοντας,
  ὣς καὶ ἀπιστεῦντας χειρὶ κολάζει ἑῇ.

Δεῦτέ νυ, καὶ σφετέρῳ τάδε θέσθε τὰ ῥήτ' ἐνὶ θυμῷ
  ἃ φραάσσω, τοῦ ἐμοῦ πᾶν συνάθροισμα λεῶ.
δεῦτε, τάτ' οὐαθ' ὑμῶν στόματος παρακλίνατ' ἐμοῖο,
  τοῖς ἔπεσ' εὖ κεν ἐμοὺς ὄφρα μάθητε λόγους.
ἱστορίας γὰρ ὑμῖν ἀρχαίους τ', ὠφελίμους τε,
  τῶν τε παλαιγενέων ἔργα τιν' ἔρχομ' ἐρῶν.
ἅτ' ἄγε ἡ ἀκοῇ ἴσμεν, καὶ βλέψαμεν αὐτοί,

ἠὲ τὰ ἡμέτεροι ἄμμι τοκῆες ἔφαν.
ὄφρα διδαχθέντες πρὸς ἐκείνων, ταῦτά κεν αὖθις
χ' ἡμεῖς τοῖς αὐτῶν παισὶν ἔχωμεν ἐρεῖν.
ὄφρα θ' οἱ ὀψίγονοι τάδε κεν τὰ διδάγματ' ἴδοιεν,
πὰρ σφετέρων προγόνων δυνάμενοί γε μαθεῖν.
χ' ἡμεῖς τὰς ἀρετὰς τοῦ κυρίου, ὅσσα τ' ἔοργεν
ἀλκῇ δεξιτερῆς, σφὶν κε λέγοιμεν ἑξῆς.
δόγματι μαρτύριον σ' Ἰακὼβ ἧς ἵδρυσε βουλῆς,
καὶ τῷ Ἰσραὴλ ὃν παρέδωκε νόμον.
ὃν καὶ τοὺς προγόνους, καὶ τοὺς ἐκέλευσε προπάππους,
ἐσσομένοις τοῖς σφῶν ἐκ τεκέεσσι θέμεν.
ὅππως χ' οἱ παῖδες, χ' οἱ τῶν πάλιν ἐκγεγαῶτες,
νῦν κε προσίσχοντες τόνδε δαῶσιν ὅλον.
σφὴν τε πόθ' ἐλπίδα κεκιχηκότες, ἐν μάρει αὐτοὶ
καὶ σφετέροις τέκνοις θεοῦ ἐνέπωσιν ἔπη.
ὡς ἐπὶ θεμελίῳ στερρῷ τε καὶ ἀστυφελίκτῳ,
πᾶν ἵν' ἐπ' ἀενάῳ θάρσος ἔχωσι θεῷ.
μήποτε θαυμαστῶν αὐτοῦ λήσαιντό κεν ἔργων,
ἔργων τῶν κόσμος μεῖζον ἂρ οὐδὲν ἔχει.
ἀλλ' ἐπιμνησθέντες τούτων, καὶ ὀπιζόμεν' αὐτὸν,
τηροῖεν σφιν ἑῷ τὰ προσέταξε νόμῳ.
μή τε καθὼς πατέρες σφείων σκολιοί τ' ἰταμοί τε,
δυσπειθεῖς τε ἀεὶ καὐτοὶ ἔωσι θεῷ.
κεῖνοι γὰρ δεινῶς φρέσ' ἀτασθαλέοντες ἀλιτραῖς,
οὐ πάμπολλ' αὐτῷ ἤματα πιστοὶ ἔσαν.
οὔτ' ἀμετάβλητοι σφέτερον καὶ ἔμπεδοι ἦτορ,
οὔτε θεοῦ πιστῷ πνεύματ' ἐφαψάμενοι.

ὡς Ἐφραιμογενεῖς τὸ πάλ' ἀνέρες ἀσπιδιῶται,
    τῶν ὅπλα τόξ' ἰοῖς ξὺν πτερόεσσιν ἔην.
οἵ ῥα ἀφιστάμενοί ποτ' ἐν αἰνῇ δηιοτῆτι,
    τίνοντες χαλεπὴν τῶνδ' ἐπ' ὄλοντο δίκην.
οὐ γὰρ ἐτήρησαν τὰ θεοῦ ξυνθήματα πιστῶς,
    οὔτ' ἐνὶ τοῖς νομίμοις τοῦδ' ἐθέλησαν ἴμεν.
καὶ σφᾶς ληστοσύνη τῶν θείων ἔλλαβεν ἔργων,
    καὶ τῶν θαυμασίων, τῶν σφίσι γεινομένων.
πολλά γε τοῖς αὐτῶν προγόνοις ἀπὸ θαύματ' ἔδειξε,
    ἐντὸς ἄρ Αἰγύπτου τῶν πολυπύρου ὅρων.
ἐν Ζοάνης πεδίῳ, στόμ' ὅπου τὸ Τανιτικὸν ἀθρεῖ
    πᾶσιν, ὃ οἰκήτωρ τοῦσδε πόληος ἐών.
οἶδμα διατμήξας πολυφλοίσβοιο θαλάσσης,
    τεῖχος ἅτ' ἐξῆρεν πᾶν ἑκάτερθεν ὕδωρ.
καὶ διὰ τοῦ πελάγους ᾗ χειρὶ διήγαγεν αὐτούς,
    ὡς διὰ λαοφόρου ἐν πεδίοισι τρίβου.
ἀμφαδίην νεφέλην δίοθεν προΐηλε φαείνειν,
    ἡγεῖτ' ἠματίην ἣ σφισιν αἰὲν ὁδόν.
λαμπάδα τ' οὐρανίης πυρόεσσαν ἀπ' ἄντυγος ἧκεν
    ἣ σφισι νυκτερινὴν οἶμον ἔδειξε πάλιν.
οὔρεϊ πέτρας στερεὰς ἐνὶ ῥῆξεν ἐρήμῳ,
    χ' ὕδατος ἀπειρεσίων σφᾶς ἐνέπλησε ῥόων.
νάματ' ἀπ' ἠλιβάτων ῥυέεσκεν ὅτ' αὐτίκα ῥίων,
    ὡς κάτω ἀέναος ῥεῖν ποταμός τις ἔφυ.
τόσσα σφᾶς ἔμπης εἰς σοῦ ἔρξαντα βέβηλοι
    ἤλειτον, εἴς τ' ὀργὴν νιν προέτρεψαν ἑήν.
κἂν ποιηέσσῃ πειρητίζοντες ἐρήμῳ,

ἤτη-

ᾔτησαν ψυχαῖς μιν σφετέρῃσι τροφάς.
πόλλ᾽ ἀγορεύοντες μάλ᾽ ἀτάσθαλοι ἐχθρὰ κατ᾽ αὐτοῦ,
καὶ δὴ καὶ τοίους ἀφροσύνῃσι λόγους.
μῶν καὶ δόρπ᾽ ἡμῖν, μῶν εἴδασιν ἄμμι τραπέζας
ὧδε βεβριθυίας ἐντυνέοι κε θεός;
κεῖνος τὴν πέτρην ἀτέραμνον σχίσσε πατάξας,
καὶ πολὺ ἐξ αὐτῆς ἦκεν ἀγήνοχ᾽ ὕδωρ.
ὡς ἐπικλύζοντας ποταμούς τινας, ἠὲ χαράδρας,
ἢν λάβρον εἰς γαῖαν οὐρανὸς ὄμβρον ἕῃ.
αὐτὰρ πῶς ἄρτον μενοεικέα; πῶς κρέα δώσει
ἐνταυθοῖ λαῷ βουλόμενός περ ἑῷ;
τοὺς δ᾽ ὡς δράξαθ᾽ ἑοῖς ἀΐων θεὸς οὔασι μύθους,
πῦρ μαλερὸν ζαθέου ἄφνω ἀνῆψε χόλου.
καὶ φλογὸς ἀκαμάτου βίη ἐν Ἰακώβῳ ἐφάνθη,
ὀργή τ᾽ Ἰσραὴλ ὦκ᾽ ἐπὶ ἤρχεθ᾽ ὅλον.
οὕνεκα μὴ πίστει προσεκολλήθησαν ἀληθεῖ
τῷ θεῷ, ἐκ πολλῶν σφᾶς περ ἑλόντι δυῶν.
μήτ᾽ εἰς τὸ ζάθεον στερρῶς σωτήριον αὐτοῦ
ἤλπισαν, αἰσθόμενοι πολλάκι τοῦδε πάρος.
καὶ μὴν ἠερίοις νεφέεσσ᾽ ἐπετέλλετ᾽ ἄνωθεν,
οὐρανοῦ ἧς μεγάλας χερσ᾽ ἀνέῳξε θύρας.
ὗσέ τε ἀμφιλαφῶν σφὶν ἔραζε τὸ μάννα δι᾽ ὄμβρων,
μάννα τὸ οὐρανίης βρώσιος ἄρτος ἔην.
χ᾽ οὕτως ἀγγελικῆς θνητοί περ ἐδητύος ἄνδρες
αὐτῆς, πάσσασθαι εὐπορέοντες ἔχον.
κραιπνὸν ἀμαιμακέτης ἀνιόντα τὸν εὖρον ἀπ᾽ ἠοῦς,
ἀργέστην τε ἑῷ κάρτει ἔγειρε νότον.

καὶ

καὶ τότ᾽ ἀπ᾽ οὐρανόθεν κρέατ᾽ ἄφθον᾽ ἔηκεν ἐπ᾽ αὐτοὺς
τόσσα γε, ὅσσος ὁ χνοῦς, χ᾽ ὡ κονιορτὸς ἔφυ.
τῶν τε τανυπτερύγων ὀρνίθων τόσσον ἀριθμὸν
ὅσσος ἐν ἀτρυγέτῳ ἄμμου ἂν εἴη ἁλί.
μεσσόθι τῶν κλισιῶν αὐτοῖσι χάμαζε πεσουσῶν,
ὥστε κρεῶν σκηνὴν οὔτιν᾽ ἄμοιρον ἔμεν.
καὶ τόθ᾽ ὑπὲρ τὸ μέτρον σφῶν νήπιοι ἐμφορέοντο,
φείσαθ᾽ ἱμερτῆς ἀκρατέες γε τροφῆς.
οὐ γὰρ λῆμμ᾽ αὐτοὺς πολυχανδὲς ἐκώλυσ᾽ ἐόν περ,
τῷ φαγέειν σφετέρων πλῆσ᾽ ἐπιθυμιέων.
ὡς δὲ τόδ᾽ ἔπλησαν γλυκερῆς κεκορημέν᾽ ἐδωδῆς
ὡς σφισὶν ἐν στόματι βρῶτ᾽ ἐρίηρ᾽ ἔτ᾽ ἔην:
τόττε δὴ ἐξαπίνης ὀργιζομένοιο θεοῖο,
σφᾶς ἐφ᾽ ὁ παντώλης αἶψ᾽ ἀνόρουσε χόλος.
τοὺς τ᾽ ἄλλων ῥώμῃ κρείττους ἔφθισεν ἐόντας,
τοῦ τ᾽ Ἰσραῆλος φῦλα καὶ ἐκκριθ᾽ ὅλου.
ἀλλ᾽ οὐδ᾽ ὡς δεινῶν ἔτι λῆξαν ἀτασθαλιάων,
ἀλλ᾽ οὐδ᾽ ὡς πιστοὶ τοῖς τέρασ᾽ αὐτοῦ ἔσαν.
τῷ ῥὰ μινυνθάδιος θεόθεν σφισὶν ἔπλετο αἰών,
ὀλλυμένοις σπουδῇ πρόσθε τοῦ αἶαν ἰδεῖν.
καὶ παρὰ πάντα βίον κεκακωμένοι, ἔνθα καὶ ἔνθα,
πεῖραν ἀπειρεσίων λάμβανον ἐν φρεσ᾽ ἀχῶν.
ἦμος δ᾽ ὀργισθεὶς ὀλοῇ σφέας ἔκτανε πληγῇ,
ὥστε νεκρῶν δειλῶν οὔτιν᾽ ἀριθμὸν ἔμεν.
τῆμος ἄρ᾽ ἠῶθεν διζήμενοι ἷκον ἐπ᾽ αὐτὸν,
τοῦ πεποιήκεισαν μηδένα πρόσθε λόγον.
καὶ τότε μνήσθησαν πάμπρωθ᾽ ὅτι κύριος αὐτοῖς

ἀκρό-

ἀκρόπολις, πύργος, καὶ μόνος ἦε φύλαξ.
ὅττι τε λυτρωτῆρα πιστόν τινα, ἢ ἐπαρωγὸν
μηδένα, ὑψιθρόνου ἔχον ἄνευθε θεοῦ.
καὶ δὴ μειλιχίοις, καὶ αἱμυλίοισι λόγοισι,
ψευδέσι τε γλώσσαις χρώμεν' οἱ ἦρα φέρον.
ἀλλ' οὐκ ἐν πραπίδεσσι κέαρ σφισὶν ἔμπεδον ἦεν,
ὥστ' ἀντίχεσθαι σφᾶς περὶ κῆρι θεοῦ.
οὔτ' ἀπεριτρέπτως διαθήκης ὄρκια θείης
πιστὰ φυλαξάμενοι, πιστοὶ ἐς αὐτὸν ἔσαν.
αὐτὸς δ' εὔσπλαγχνος μάλ' ἐών, τότ' ἄπιστον ἐκείνων
τάς τε ἁμαρτοσύνας ἐν φρεσὶν ᾗσιν ἔτλη.
καὶ μὲν συγγνώμην σφίσι πολλάκις ἵλαος ἔσχεν,
οὐ ζωῆς ἐθέλων σφᾶς ἀπαπειρέμεναι.
ὅν τε χολωσάμενος πρὸ θυμὸν στρέψεν ἀπ' αὐτῶν,
οὐθ' ἧψεν φλογερῆς πῦρ ὅλον εἷο χολῆς.
μνήσθη γὰρ δειλοὺς σάρκ' ἔμμεναι, ἠδὲ ἀήτην
οἰχόμενον, καὶ μὴ ἄψ ἐπανερχόμενον.
ποσσάκις ἐν δολιχῇ οἱ ἀνήκοοι ἦσαν ἐρήμῳ,
καὶ σφετέραις ἐχόλουν δεῖν' ἐν ἁμαρτοσύναις;
ποσσάκις ἐν γαίῃ μιν ἀνύδρῳ, καὶ ναετήρων
δευομένῃ, ὀργῆς ἂψ ἐπέβησαν ἑῆς;
τῶν τ' εὐεργεσιῶν αὐτοῖο λελησμένοι ἁπασῶν,
πείρησαν σφετέρου ἀφραδίῃσι θεοῦ;
τῷ τε ἀπ' Ἰσραὴλ ἁγίῳ γεγαῶτι παλαιοῦ,
ὤρειναν δεινὴν οὐλομένην τε χολήν;
οὐκέτι δεξιτερῆς τῆς αὐτοῦ μνήμονες ὄντες,
οὔτ' ἔργων ταύτῃ σφὶν παρ' ὅσ' ἔρξεν ἐών.

ἤματι τῷ, ὅτε δυσμενέων σφᾶς ῥύσατ᾽ ἀπ᾽ ἀνδρῶν,
    ἐσσυμένων ψυχὰς σφίσ᾽ ἀφ᾽ ἅπασιν ἑλεῖν.
οὐδ᾽ ἄρα σημείων, τεράτων τ᾽ Αἰγύπτῳ ἐν αὐτῇ,
    ἐν Τάνεως χθαμαλῷ γεινομένων τε πέδῳ.
ὁππότε καλλιρόους ποταμοὺς καὶ ἀργυροδίνας,
    φοίνιον, ἀλλοίων, αἷμα κέλευσεν ἔμεν.
εἴς τε βρότον πάντ᾽ ἀνδρόμεον στρέψασκε ῥέεθρα,
    ὡς πότιμ᾽ ἐξ αὐτῶν οὐδὲν ἔθ᾽ ὕδατ᾽ ἔχειν.
καὶ τῶν οὐλομένων κυνομυιῶν πληθὺν ἀτειρῆ,
    χ᾽ αἵματος ἄπληστον, σφᾶς κατ᾽ ἧκε φαγεῖν.
φῦλα δὲ καὶ βατράχων ἐπὶ τούτοις βορβοροκοιτῶν
    μυρία, τοῖς δεινὸς σφᾶς ὀλέσ᾽ ἔσκε πόθος.
πάρ τ᾽ ἐδίδου στυγεροῖς ταὐτῶν βλαστήματα βρούχοις,
    λήϊά τ᾽ ἀνδρομέην ταῖς ἀκρίδεσσι βόσιν.
καὶ τὰς οἰνοπέδους φθινύθεσκε χαλάζῃ ἀλωάς,
    καὶ τὰ σφῶν πάχνῃ συκόμορ᾽ ὤλεσ᾽ ἑῇ.
τῷ τ᾽ ἀργῆτ᾽ αὐτῶν τὰ θρέμματ᾽ ἔδωκε κεραυνῷ,
    καὶ σκηπτοῖς ἀδινὰς φθῖσεν ἑῆς ἀγέλας.
καὶ μάλα χωόμενος κακοδαίμονας ἧκεν ἐς αὐτούς,
    τιμωροὺς βροτέης αἰνοτάτους κακίης.
καί σφιν ἐπετρώπησε βλαβεῖν, καὶ πλῆξαι ἀφειδῶς,
    καὶ φοβέειν, καὶ ὁμῶς κτεινέμεν, ἠδὲ φονεῖν.
μῆνιν θ᾽ ἣν χαλεπὴν ἐπὶ τὸ πλέον εἴασ᾽ ἱκέσθαι
    καὶ ταῖς σφῶν ψυχαῖς οὐκέτ᾽ ἄμυνε μόρον.
καὶ σφῶν ἔκταν᾽ ἅπαντ᾽ ὀλοῷ βοσκήματα λοιμῷ,
    ὥστε βοῶν νεκρῶν σταθμὸν ἅπαντα γέμειν.
καὶ τῆς Αἰγύπτου κατὰ πάσης πυρφόρον αἶαν,

ἔκτανε

ἔκτανε τὰ κτηνῶν πρωτότοκ', ἠδὲ βροτῶν.
κληρούχους τε μιῇ πατρῴων ὤλεσεν οἴκων
νύκτ' ἐν, ὅπου σκηναί σοι πρόπαλ' ὦ Χάμ' ἔσαν.
καὶ τὸν ἑοῖ κεῖθεν περιφειδόμενον ἤγαγε λαὸν,
ὡς μῆλ' ἠγαθέῃ εἰροπόχ' εἷο χερί.
καὶ σφισὶ τὴν ἄβατον γῆν θ' ἡγεμόνευσεν ἐρήμην,
βώτης ἡγεῖθ' ὡς ταῖς ὀΐεσσιν ἀνήρ.
θαρσαλέως μάλ' ἄγων, καὶ ἀπήμονας, ἀτρέμας ἴσχειν
κεκλόμενος, κοὐδὲν δειδιάσ' ἐχθρὸν ἑῶν.
τοὺς δὲ σφῶν δηΐους ἄνδρας στείχοντας ὀπίσσω,
οἶδμα πολυρρόθιου αἶψ' ἐπέκλεισεν ἁλός.
χ' οὕτως εἰς ἁγίην αὐτοὺς εἰσήγαγε χώρην,
κεἰς τόδε δεξιτερῆς κτίσμα τὸ οὖρος ἑῆς.
ἔκτε βαλὼν ἔθνη, ὅσ' ἐν ἤθεσι δώματα κείνοις
ἐσχήκεισαν, ἑῷ ταῦτ' ἐμέρισσε λεῷ.
καὶ περιγραψάμενος σχοίνοις, ἐνὶ χῶρον ἑκάστῳ
ἀλλοτρίης ἴδιον δῶκε νέμεσθαι ἔρας.
ὄφρα γ' ὅπου τὸ πάροιθ', ἐθνῶν σκηνώματ' ἔγεντο,
νῦν Ἰσραῆλος φῦλά κεν οἶκον ἔχῃ.
ἀλλ' εὐεργεσίας τόσσας μέτα, νήπιοι ἔμπης
ὤρειναν δεινὴν τῷ θεῷ αὖτε χολήν.
αὖτε μιν ἀρχηγόν θ' ὕπατόν τε περ ὄντα κρεόντων,
πειρητίζοντες σφοῖς, ἅτε πρόσθε, λόγοις,
οὐδ' ἔτι μαρτυρίοις αὐτοῦ ἐνέμειναν ἰδ' ὅρκοις,
οὓς τηρεῖν ζαθέῃ σφίσ' ἐνέτειλεν ὀπῇ.
αὐτὰρ ἀπειθεῦντες κάλλειψαν ἀολλέες αὐτόν,
χ' ὡς οἱ σφῶν πατέρες, πάντ' ἀθέριξαν ἄνοι.

καί μιν λειψάμενοι πάντες στρέφθησαν ὀπίσσω,
ὡς ὀπίσω στρέφεται τόξον ἀφαυρὸν ἐόν.
καί μιν ἀλιτροσύναις σφετέραισι παρώργισαν αἰνῶς
ἐν τολμῶντες ἄκροις ἵρ᾽ ὀρέεσσι θύειν.
καὶ ζάκορόν μιν ζηλωτὴν ἠνάγκασαν εἶναι,
εἴδωλα ψυχῶν οὔτε χατοῦντα σέβον.
ὡς ἴδεν ὡς ἄφαρ οἱ ἐξέζεσεν ἄγριος ὀργή,
ὡς σφόδρ᾽ Ἰσραὴλ λαὸν ἀπέρριφ᾽ ἑόν.
κοὔτ᾽ ἐν ἀγακλειτῇ σκηνὴν ἀπεώσατο Σιλοῖ,
ἧχί περ ἀνθρώποις ξυνὴν ῥ᾽ ὅθ᾽ ὁμίλει ἑκών.
δουρυαλεῖς δηΐοις σφετέροις τοὺς ἀλκὶ φερίστους,
καὶ τοὺς ὡραίους, συγγενέας τε διδῶν.
ὅν τε λεὼν πάντ᾽ ἀμφιτόμῳ ξίφει ἐγγυαλίζων,
ἔκ τε χόλον καίων δεινὰ καθ᾽ ὧν κτεάνων.
καὶ τότε πῦρ μαλερὸν περικαλλέας ἥρπασε κούρους,
χ᾽ αἱ σφῶν σὺν κλείης παρθένικ᾽ ἄμμορ᾽ ἔσαν.
πεφνόμενοί τε πέσον τῷ φασγάνῳ ἱερουργοί,
οὐδέ τοδ᾽ αὖ χῆραι μυρόμεν᾽ ἦσαν ἔτι.
εἶτα καθὼς ὕπνον τὶς ἀπωσάμενος βλεφάροιιν,
χ᾽ ὡς οἴνου κρατερὸς κεκλομένοιο βοῶν:
δυσμενέων ἀνδρῶν κλόνον αὐτὸς ἔτρεψεν ἐγερθείς,
σφῶν τε διωξάμενος νῶτα πάταξε θεός.
καί σφιν ἀνακλείην, λυγρόν τε προσῆψεν ὄνειδος,
ἤματα τὸ σφεῖας πάντ᾽ ἐβιήσατ᾽ ἔχειν.
καὶ τοῦ Ἰωσήφου σκήνωμα φίλου περ ἐάσας,
φυλήν τ᾽ ἐκλέξας οὐκ Ἐφραῒμ ἐτεήν:
τὴν Ἰακωβογενοῦς φυλὴν μόνον εἵλετ᾽ Ἰούδα,

καὶ

καὶ τὸ Σιῶνος ἑοὶ καρτ᾽ ἀγαπητὸν ὄρος.
ἔνθ᾽ ἅγι᾽ αὐτὸς ἑοὶ, καὶ οὐρανομήκεα τεῦξεν
δώματ᾽ ἐς ἀϊδίην χερσὶν ἑῇσι μονήν.
ὥστε ἐρειδόμενον στιβαροῖς τ᾽ ὀχυροῖς τε θεμέθλοις
χωρίον, ἀσφαλέως εἰς ἀεὶ ἵστατ᾽ ἐόν.
Δμῶά θ᾽ ἑῇ κραδίῃ πεφιλημένον ἔξοχα πάντων,
λάτριν τ᾽ Ἰσαΐδην χειροτόνησ᾽ οἱ ἔμεν.
ἐκ σηκῶν ἑ λαβὼν, ὄϊων ἐπίουρον ἐόντα,
καὶ τοῖς πατρῴοις τάσδε νέμοντα πέδοις.
πάρ τε λοχευομένων καλέσας, ἵνα τὰς κε λελοιπὼς,
ποιμνῶν εἴη σῶν Ἰάκωβε νομεύς.
ὃς δὴ τὸν Ἰσραὴλ βόσκοι πιστῶς τ᾽ ἀκάκως τε,
ὥς ἑ λαβὼν πιστῶς νῦν, ἀκάκως τε νέμει.
καὶ λαοῦ ποιμὴν τοῦ ἰφίου ἴφιός ἐστι
φροντίδ᾽ ἐφ᾽ ἧς ἀγέλαις οὐκ ὀλίγην τιν᾽ ἔχων.

## ΨΑΛΜΟΣ ΟΘ.

### Ὑπόθεσις.

ἄστεος εὐδμήτου, καὶ τοῦ μεγακυδέος ἱροῦ
δεινὴν ἐσσομένην ἔσθ᾽ ὅθ᾽ ἅλωσιν ὁρῶν:
κύριον ἐκ κραδίης ἱκετεύει, ἀλαλκέμεν ἐχθροὺς
τοῖσδεσι, ἵλαον τοῖς ἔθεν αὖτις ἔμεν.

Κύριε τῆς γαίης, καὶ οὐρανοῦ, ἠδ᾽ ἅμα πάντων,
ὅσσα δυοῖν ποράτοιν τοῖνδε μεταξὺ πέλει:
εἰς κτέαρ, εἴς τε λάχος τεὸν ἀλλόθρο᾽ ἔθνεα ἦλθον,
οὐδενὸς οἷς πλὴν τῆς ὕβριος εἴς σε μέλει.
ἤλυθον ἄρ, καὶ εἰδώλοις ὀβρικυδέα νηὸν,

τὸν σὸν ἔχρηναν, ὅλως ὃς πρὶν ἄχραντος ἔην.
κλύτ' ἐλαφιοσάμενοι ἁγίην θ' ἱερήν τε πολίχνην,
σωρὸν ποίησαν χερμαδίων τιν' ἔμεν.
τοῖς τε ὑπουρανίοις πετεεινοῖς βρώματ' ἔδωκαν
ὠμησταῖς, δμώων τίμια γυῖα τεῶν.
τὰς θ' ὁσίας σάρκας θήρεσσιν ἐλώρια τεῦξαν,
τοὺς γῆ κὰμ δρυμοῖς, κὰμ ὀρέεσσι φύει.
αἵματος οὐρείας τάφρους ἐνέπλησαν ἀθώου,
αἷς ἀμπισχόμενον στῆ τὸ πάλ' ἄστυ τεόν.
αἷμα δίκην ὕδατος κέχυτ' ἔνθα καὶ ἔνθα ἀφειδῶς,
καὶ πάντα βροτέῳ μυδαλέ' ἐστὶ λύθρῳ.
πυθόμεν' ἀμπεδίον κεῖτ' ὀστέα μυρία νεκρῶν,
τὰ κτερεῖσ' οὐδεὶς καὶ καταθάψ' ἐθέλει.
τῷ ῥα ἐλεγχείην ἡμῖν κατέχευαν ἅπαντες,
ὅσσ' ἡμῖν ξυνοῖς γείτονές εἰσιν ὅροις.
τῷ μυκτηρισμὸς γενόμεσθα περικτιόνεσσι,
καὶ δὴ χλευασμὸς, καὶ δὴ ἅπασι γέλως.
μέχρι τοῦ ἀσπελέως οὕτω βαρύμηνις ἐὼν τις
κύρει', ὀδύσσασθαι ἄμμι φέριστε θέλεις;
μέχρις τοῦ ζῆλον τὸν ἐνὶ πραπίδεσσιν ἀνῆψας,
παμφάγον ὡς, ἐάσεις, πῦρ τι κατ' ἄμμε φαγεῖν;
φείδεο σῆς ἡμῶν ἀγέλης, καὶ ἐπ' ἔθνεα μῆνιν
χεῦον, ἀκουάζειν σῶν ἀδίδακτα λόγων.
εἴς τ' ἄλλας βόσμος κασιλείας ἅστινας ἴσχει,
σεῖο θεοκλυτέειν ταῖς ὄνομ' οὔτι μέλει.
ὅττι λεὼν σὸν ἄγοντες ὁμῶς ἔδον, ἠδὲ φθείροντες,
ἀρχέγονος γενετὴρ τῷ Ἰάκωβος ἔην.

κλει-

κλεινά τε πορσάμενοι πτολίεθρα διήρπασαν αὐτοῦ,
    σφῆ τε ἀΐστωσαν δώμαθ' ἅπαντα βίῃ.
μὴ εἴης μνήμων τῶν τὸ πρὶν ἀτασθαλιάων,
    τῶν κεν τήνδ' ὀφλεῖν ἄμμε δίκην σοι ὀργῆς.
ἀλλ' αὐτῶν πάντως ἀλογήσας, λησάμενός τε,
    αἰνῶς σῆς χάριτος χραίσμεε δευομένοις.
αἰψηρός τε τεῇ ἐλεητύϊ ἄμμι βοηθὸς,
    τόσσαις μαρναμένοις δυστυχίῃσι γενοῦ.
καὶ γὰρ νῦν παῦροι γενόμεσθα μάλ' ἠδὲ πενιχροὶ,
    οὐδέ κεν εὕροιμεν σοῦ τιν' ἄρηξιν ἄνευ.
τὺ οὖν ἀνθρώπων ὦ σῶτερ ἀληθινὲ πάντων,
    χειρὶ βοηθείην ἄμμι πάρισχε τεῇ.
ὅττι δὴ οὐκ ἀρετῆς ἐπὶ ἡμετέρῃσί τις ἔρξῃς,
    ἀλλὰ δι' οὐνόματος τοῦ σέο πουλὺ κλέος.
ῥῦσ' ἡμᾶς, ῥῦσαι, καὶ ἁμαρτάδας ἄμμι τόσας περ,
    χρηστὸς ἠδ' εὔσπλαγχνος, σὸν διὰ τοὔνομ' ἄφες.
τίπτ' ἀνέχεις ἀπεριτμήτων ἵν' ἐρῇ κέ τις ἐθνῶν,
    πῇ ὁ σφῶν ἐστὶν, τῷ πίσυν εἰσὶ, θεός;
μᾶλλον δ' ἡμετέρων αὐτοῖς προπάροιθεν ὀπωπῶν
    δεῖξον, ὅθ' ὡς λέγεαι ἔκδικος ἐσσὶ θεός.
ἔκδικος ἀμφιπόλων, ὅπερ ἐκκέχυθ', αἵματος ἱροῦ,
    τῶν σέθεν, ἠδ' ἀσεβοῦς ἐχθρὸς ἀτασθαλίης.
καὶ τῶν σφιγχθέντων σέθεν ἐλθέμεν ἐγγὺς ἔασον,
    ἐρχομένας μυχάτων ἐκ κραδιῶν, στοναχάς.
σῆς τε ἀμαιμακέτῳ περιποιοῦ κάρτεϊ χειρὸς,
    τοὺς περιβαλλομένους στύγν' ἐπὶ, δεσμὰ, μόρῳ.
καί ῥα παλίντιθ' ὅπως παρὰ γείτοσιν ὄργα γένοιτο,

καὶ ὅππως ὅσσ' ἔρξαν σφεῖς κε πάθωσι πάλιν.
εἰς σφέτερον κόλπον σφὶν τρὶς καὶ τετράκις αὖτις,
ἄττ' ἔδοσαν πρότεροι ἄμμ', ἀπὸ πάντα δίδου.
καὶ σφᾶς κερτομίων, τοῖς σοῦ χρήσαντο κατ' αὐτοῦ,
αἴτει ὀφειλομένην κρίμασι σοῖσι δίκην.
ἡμεῖς δ' αὖ λαὸς σὸς κύριε, σεῖό τε ποίμνη,
ἡμεῖς σῆς ζαθέης ἔκκριτα μῆλα νομῆς·
ἄμμαθ' ὁμορρήτοις σὲ ἅπαντα γεραίρομεν ὕμνοις,
δόξαν ἀείδοντες τοῖς καὶ ἔπειτα, τεήν.

## ΨΑΛΜΟΣ Π.

### Ὑπόθεσις.

Τηλόσ' ἀπὸ πόλεως τῶν δυσμενέων κλόνον ἀνδρῶν
τῆς ἰδίης εἴργειν, λίσσετ' ἐσαῦτε θεόν.
οἷα πέριξ καὶ ἡμῖν πολέμους τε μάχας τε βλέπουσιν,
ἔμμενες ἐν κραδίῃ, αὖ στόμ' ἔχειν τε πρέπει.

Δεῦρ' Ἰσραῆλος σῆς ποίμνης ὦ 'γαθὲ ποιμήν,
ἀράς τε ζαθέοις οὔασι μάρψον ἐμάς.
ὃς τὸν Ἰώσηφον πρόβατ' ἠΰτε σύννομ' ὁδηγεῖς,
τούς τε χερουβὶμ ἔχεις ἅρμα, φάνηθι παρών.
ὅστε πρὸ τοῦ Ἐφραῒμ Βενιαμίν τ' ἠδὲ Μανασσῆ
ἵστασ', ἔγειρε τεῶν νῦν κράτος ἠῢ χερῶν.
ἐλθὲ σαωσέμεναι κακὰ πολλὰ τετληκότας ἡμᾶς,
πάρ τε κάλει, λύπη τοὺς ἀμέγαρτος ἔχει·
φαῖνε τὸ αἰγλῆεν μάλα σὸν θεὸς ἄμμι πρόσωπον,
καὶ σῶοι, δυνατοὶ τοῦτ' ἐσόμεσθα, βλέπειν.
ὦ πολεμιστάων σύμπαντος, ἰδ' ἀγχιμαχητῶν,

μῶν

μῶν λαοῦ δέξῃ οὔ τινα σοῖο λιτήν;
ἦ ῥα προσευχόμενός περ σ' ἐξιλήσεται οὐδείς,
χ' ὡ δεινὸς χρόνιος σὸς κότος ἔσσετ' ἄγαν;
ψωμίζεις ἡμᾶς, ἀλλ' οὐ μελιηδέϊ ἄρτῳ,
δάκρυ ἄμοιρα μέτρου πινέμεν ἄμμι δίδως.
σύ τε περικτιόνεσσ' ἡμῶν περὶ νεῖκος ὄρωρεν,
ἐν τ' ἄνδρεσσι μέγας δυσμενέεσσι γέλως.
ἄρσον ἐφ' ἡμείας σῆς δᾶδα διαυγέ' ὀπωπῆς,
οὕτως ἐξ ὄλεθρον φεύξομεν αὖτε σόοι.
κὴν ἐξ Αἰγύπτου σῇς χερσὶ μετ' ἄμπελον ἦρας,
κήν τε σοὶ ἔσθ' ὅτ' ἔμεν χρῆμ' ἀγαπητὸν ἔας:
τὴν δ' ἐξ ἱμερτῆς γῆς ἔθνεα πάντα βεβληκὼς,
ὥς τι φυτὸν πεδίον κεῖν' ἐφύτευσας ἔχειν.
ἐντινάς τ' αὐτῆς πλατέην προπάροιθε κέλευθον,
ὥστ' ἄρα μιν ῥίζας ἔνθα καὶ ἔνθα φύειν.
οὔτε μόνον κείνην, τῇ ἐνὶ πρώτιστα φυτεύθη,
τοῖς βλαστοῖσι περὶξ γῆν καθ' ἑοῖσι λαβεῖν:
ἀλλὰ τὰ ἠλίβατα σκιῇ οὔρεα ἀμφικαλύψαι,
καὶ τὰς ἠγαθέας, κλήμασιν οἷσι, κέδρους.
καὶ γὰρ κλήμαθ' ἁλὸς μέχρις ἔλλαχ' ἀφιγμένα δίνης,
τὴν διὰ νηυσὶ θέειν σιδονίδεσσι μέλει.
καὶ τὰς παρφυάδας κείνου ποταμοῖο πρὸς ἀκτὴν
τεῖνε τὸν Εὐφράτην νῦν ἔθος ἐστὶ καλεῖν.
τίπτ' οὖν αἱμασιὴν τῇ ἐπέφρακτο πρὶν ἀφεῖλες,
ὥστε μιν ἀνδράσ' ἔλωρ θηρσί τε πᾶσιν ἔμεν:
πᾶς γὰρ πημῆναι μεμαὼς, οἱ ἐπιχράει ἀνὴρ,
ὃς κατὰ συγκυρίην νιν πὰρ ἑώρακ' ἰών.

πᾶς θ' ὑλικοίτης μιν σῦς λυμαίνετ' ἐπελθὼν,
  πᾶς κατά μιν νέμεται θὴρ ἐν ἀγροῖσιν ἐών.
ὦ στρατιῆς μεγάλης μεδέων θεὲ, μείλιχος ἴσθι
  οἴνην τ' οὐρανόθεν τήν δ' ἐπίβλεψον ἀθρῶν.
ἥν δὲ καταρτισόν νιν, σὴ τὴν χειρὶ φύτευσας,
  καὶ τὸν παῖδα, κράτος τῷ πάλ' ἔδωκας ἔχειν.
χ' ὅππως λήξωσίν νιν τυφέμεν ἠδὲ ὀρύσσειν
  οἳ καὶ ἐπιζαφελῶς σφᾶς ἐς ὁμόκλει ὀρῶν.
δεξιτερὴν τ' ἀνδρὸς σχὲς ὕπερθε, τὸν ἔκτισεν αὐτὴ,
  καὶ βροτοῦ, ὃν τεῦξας χρῆμ' ἐχυρόν σοι ἔμεν.
οὕτω μηδέποτ' ἄψ σε προδώσομεν ἄλλοσ' ἰόντες,
  οὔτε τινὸς λάτρεες πλὴν ἐσόμεσθα σέθεν.
ἀλλὰ μακροχρόνιον ζωὴν σέο ἄμμι διδόντος,
  μνησόμεθ' ἀγκαλέειν σὸν πάλιν οὔνομ' ἀεί.
ὦ κράτει ἀϊδίῳ δουρικλυτὰ φῦλα κυβερνῶν
  κύριε, σοῖς ἡμᾶς πρηῢς ἐς ὄμμασ' ὅρα.
καὶ σῶν μαρμαρυγῇ ἡμᾶς ἐπίλαμπε παρειῶν,
  καὶ δειμαίνοντες ζήσομεν οὔτι κακόν.

## ΨΑΛΜΟΣ ΓΑ.

### Ὑπόθεσις.

ἦχον σκηνάων κατ' ἔτος τιν' ἐπώνυμον ὀρτὴν
  ὁ κλυτοῦ ἐκγεγαὼς Ἰσραήλαο λεώς:
τῇ ἐνὶ τοῦτ' αὐτῷ τὸ μέλισμ' ἔθος ἔσκεν ἀείδειν,
  ὅττι λατρευέμεναι τῷ κέλετ' ὄντι θεῷ.

Ἄδετ' ἀγαλλόμενοι θεῷ ὃς κράτος ἧμιν ὀπάζει,
  κλείετε κυδρὸν ὁμῶς Ἰσραήλαο θεόν.

δέξα-

δέξασθε ψαλμοὺς, δότε τύμπανα, κρούσατε χορδὰς,
    τῆς ἦχον φόρμιγξ, ἥτε ἵησι λύρη.
σαλπίσαθ' ἠλυθρόους σάλπιγγας χερσὶ λαβόντες,
    ὄφρα νέον μήνη δείκνυτ' ἐσαῦθι φάος.
ὄφρα τε ἠσηκυέων ἀπὸ πήξιος οὔνομ' ἑορτὴ
    εἰληχῦ', ἱρὴ ἡμετέρη ἄμμι παρῇ.
ἀρχαῖον γὰρ ἔθος τόδ' ἐν Ἰσραήλι τέτυκται
    καὶ θεσμὸς τοῦ σοῦ κλειτ' Ἰάκωβε θεοῦ.
ὃν τοῦ Ἰωσήφου τοῖς μαρτυρίην τέκεσ' εἶναι
    κέκλετο ἐκ φαρίης γῆς ὅτ' ἔβασκεν ἴμεν.
ἔνθ' ἀλλογλώσσοις ἄνδρεσσί τε βαρβαροφώνοις
    πόλλ' ὡμίλησαν, τειρόμεν' ἔξοχ' ἔτη.
μέχρις οὗ τοῖς σφείων ὤμοις θεὸς ἄχθος ἄφειλε,
    καὶ μογερὰς χύτρων ἤγαγ' ἄπωθε χέρας.
δυστυχέων ἐπεὶ σοι ἀρηγόν' ἐμ' ἠράου εἶναι,
    αὐτίκ' ἀλεξητήρ σοι γένον' ἄσσον ἰών.
καὶ σῶν εἰσήκουσα λιτῶν, ὅτ' ἔκεισο θυέλλαις
    περικυκλωθεὶς ἀλκῆς ἔμμορος οὐδεμιῆς.
καὶ τὸ τεὸν δοκίμασσα κέαρ παρὰ πίδακι δίῳ,
    ὅθι μοι οὐχ ὁσίοις ἀντὶ λόγοισιν ἔθυς.
πεύθεο μαρτυρίων φίλ' ἐμῶν δῆμ' ἅττα κεν εἴπω,
    οἵγε σὰ Ἰσραὴλ ῥήμασιν οὖατ' ἐμοῖς.
μὴ θεὸν ὀθνεῖόν σοι ὁμέστιον ἔμμεν' ἐάσῃς,
    μήτε λάτρις τελέθῃς ἀλλοτρίοιο θεοῦ.
μοῦνος γὰρ τεός εἰμι ἐγὼ θεὸς, ὅς σε ἀπ' αἴης
    αἰγυπτίης, ταύτην εἰς χθόν' ἀγήοχ' ἑλών.
εὔρυνον τὸ σέθεν στόμα, χάσκε σὰ χείλε' ἀνοίξας,

ὄφρ' ἐμέθεν σὺ κλέῃς πλησαμένοιο γέμητι.
αὐτὰρ ὁ λαὸς ἐμῆς ἐμὸς οὐκ ἀλεγίζει ἰωῆς
καὐτὸς ὁ Ἰσραὴλ οὔ τι με πάγχυ φιλεῖ.
τῷ σφετέρων κραδίων σφέας ἐννεσίῃσιν ὀπηδεῖν
εἴασα τῶν τ' ἰδίων φραδμοσύνῃσι φρενῶν.
εἰ δ' ἐπείθη ἐμοὶ ὁ λεὼς ἐμός, εἰ δ' ἐπορεύθη
Ἰσραὴλ ταύτην, τὴν ἐγὼ ὄρχομαι, ὁδόν·
αἶψ' ἂν τοὺς αὐτοῖς ἐδάμασσ' οὐκ εὐμενέοντας,
ἐχθροῖς ἂν βαρέας αἶψ' ἐφέηκα χέρας.
καὶ οἱ μισοῦντες τὸν κύριον ἄνδρες ἀλιτροί,
σφῶν μαίοντο μάτην κρείττον' ἂν ἰσχὺν ἔχειν.
αὐτοὶ δ' εὐτυχέες, καὶ ὀλβιοδαίμονες ὄντες,
εἰς ἀτελεύτητον ζῆσ' ἐδύναντο χρόνον.
καί σφισιν ἂν φαγέειν δῶκ' ἄλφιτα μύελον ἀνδρῶν,
καὶ μέλι πετράων ἐκ στερεῶν πόριον.

## ΨΑΛΜΟΣ ΠΒ.

### Ὑπόθεσις.

Οἷς τοὺς ἀκηδέας μέλεται χήρας τε κακῶσαι,
ἀρχοῖς καὶ πολλῶν ἡγεμόνεσσι λεῶν·
τούσδε ἀπειλητὴν ποιεῖ, καὶ πότμον ἐπισπεῖν
μέλλειν, θεῖον περ φῦλον ἐόντας, ὁρᾷ.

Ἑστηὼς ὁ θεὸς δίων ἐν ἀθροίσματ' ἀνάκτων,
κρίνει ἐπιχθονίους φῦλα βρότεια θεός.
ἐς πόσσον κρίνειν ἀδίκως χρόνον ὔμμι δοκήσει,
τῆς τε δίκης κύκλον πρὸς χάριν ἑλκέμεναι;
τῶν τε δικαζομένων μοῦνον τὸ πρόσωπον ἐσαθρεῖν,

τοὺς τε κακοὺς ἐάαν τὸ πλέον ἄνδρας ἔχειν·
ἀλλ' σὺ κρίνοντες, πτωχῷ τε καὶ ὀρφανῷ ὕβριν
εἴρξατ' ἀπ', ἠδ' ὄλβου ἐνδεεῖ, ἠδὲ τύχης.
ἔστε σαωτῆρες τῶν χρήμασιν οὔτισ' ἀγητῶν,
καὶ τῶν ἀδρανέων, οὐτιδανῶν τε βροτῶν,
καὶ σφέας ἀνθρώπων ὁσίης ἀπὸ ῥύσατ' ἀμοίρων,
μήτ' ἀνόμοισιν ἔλωρ ἄνδρας' ἐάσατ' ἔμεν.
ἀλλὰ λόγων ἀμελῶς τοιούτων πάμπαν ἔχουσι,
στείχοντες δνοφερήν, ὡς τὸ πάρος περ, ὁδόν.
τοὔνεκα τῆς γαίης θεμέθλοισί περ εἴκελ' ἐόντες,
μέλλουσιν, καρτοὺς δισυόμεν' αὖτε πεσεῖν.
πολλάκις εἶπα, θεοὶ θεῖον γέρας ἐστὲ λαχόντες,
τοῦ θ' ὑπάτου πάντες τέκν' ἀγακλειτὰ πατρός.
αὐτὰρ ὑμᾶς θνητοὺς ὡς πότμος ὁμοῖιος ἄνδρας,
χ' ὡς ἀρχοὺς ὀλέσει, μοῖρα βαλοῦσα λεῶν.
ἄνστα, καὶ γαίης πάσης θεὸς ἴθι δικαστής.
ἔθνεα γὰρ κλῆρος σὸς ξυνάπαντα πέλει.

## ΨΑΛΜΟΣ ΠΓ.

### Ὑπόθεσις.

Πρὸς περιναιετέων πολιορκεῖτ' ἄστυ τυράννων
ἀγλαόν, ἡ Σολύμη ἡ φίλη οὖσα θεῷ.
ἀλλ' ἀπάμυνε βίην ἐχθρὴν τῇ αὖτις ἐκεῖνος,
τιμωρὸν χ' ἡμῖν τῷ μιμνικώμεθ' ἔμεν.

Μὴ ἄνεως εἴης, καὶ ἄφωνος, πάγχυ σιωπῶν,
μὴ θεὸς ἶσοι ἀκὴν τῷ σέβ' ἐν αἰθέρι ἔχων.
κἴδε γὰρ θορύβους καὶ ἰωχμοὺς ἐχθροὶ ἄνδρες

ὄρσαν

ὦρσαν, τῶν αἰεί σοι κέαρ ἐχθρὰ φρονεῖ.
οἵ τε σέθεν μηδὲν στυγερώτερον ἄλλο τέτυκται,
αἴρουσιν κεφαλὰς φυσιόωντες ἑάς.
σῷ τε μενοινῶσι κακὰ κερδαλεόφρονες ἐσμῷ,
τοῖς θ' ὁσίοις κρυφίοις σοῖς θεράπουσι, βροτοῖς.
Δεῦτ' ἀγορευόμενοι, στιβαραῖς σφῶν χερσὶ κρατῶμεν
μηδεμίην τ' ἀλκὴν σφᾶς ἔτ' ἰῶμεν ἔχειν.
ὄφρα τὸ Ἰσραῆλος ἄγαν κλυτὸν οὔνομ' ἐόν περ
λήξῃ, καὶ μερόπων ἀν στόμ' ἔτ' οὐδέν ἔῃ.
καὶ γὰρ ὁμοφρονέως φιλέουσιν ἐπίφρονι θυμῷ
ὅρκια, πῆμα φέρῃ ἅττα τεΐν κε, ταμεῖν.
ἡμὲν Ἰδουμαίων σκηνώματα, ἠδὲ καὶ αὐτοὶ
τοῦ Ἰσμαῆλος πατρὸς ἐπώνυμ' ἐοῦ.
χ' οἱ Μωαβῖται φῦλ' ἄγρια, οἵ τ' Ἀγαρηνοί,
τοῖς ὄνομ' ἀρχαίης εὔαδε μητρὸς ἔχειν.
οἵ τε κατοικεῦντες Γεβαλιτίδα πυρφόρον αἶαν,
χ' οἱ τῶν Ἀμμωνος μεσσόθ' ἐόντες ὅρων.
ἠδ' Ἀμαληκῖται, κρατεροί τε φιλιστέες ἄνδρες,
ξὺν τοῖς εὔπυργον ναιετόωσι Τύρον.
τῶν καὶ οἱ Ἀσσύριοι ἕταροι μάλ' ἀρήϊ' ἔασι,
μαιόμενοι σκοτίοις Λωτὲ σέθ' ἦρα φέρειν.
ὣς Μαδιανίτας πότμος σφᾶς λυγρὸς ἱκάνοι,
καὶ ἣ τὸν Σισάραν ἔλλαχε, μοῖρα λάχοι.
χ' οἷος χειμάρρῳ Ἰαβεὶμ ποτὶ κίσσον ἔγεντο,
τοίους καὶ αὐτοὺς ποίεε πάντας ἔμεν.
οὗτοι γὰρ δεινῶς ἀπόλοντ' Ἐνδωρεΐδ' ἐν αἴῃ
κείμενοι, ὡς ῥυπαρᾶς κεῖτ' ἐπὶ κόπρος ἔρας.

τοῖα

τοῖά τε οἱ κείνων σημάντορες ἆθλα φέροιεν
ἐκ σέθεν οἷ Ὠρὴβ Ζὴβ τε φόρησαν ἀγοί.
καὶ Ζεεβὴς, καὶ Ζαλμούνης, καὶ φῦλα τυράννων,
σὸν λυμηναμένων ἀγειόθυμα λεών.
κληρονομεῖν γὰρ ἔφαν ταχέως τόδε μελλέμεν ἕρκος,
τῷ ἔνι εὐαγέως ῥέζεται ἱρὰ τεΐν.
ὡς τρόχον εὔκυκλον θεὸς αὐτοὺς πάντοτε δίνει,
ὡς καλάμην φορέμεν σφᾶς ἀνέμοισι δίδου.
καὶ ὡς πῦρ ἀκάματον κατὰ δάσκιον ἐσθίει ὕλην,
δενδρῆεν λιαρὴ φλὸξ ἅτ' ἀνάπτει ὄρος·
ὡς χεῖμ' ἀργαλέον σφέας ὄρσον ὄπισθε διώκων,
ὡς πρηστῆρσι τεοῦ σφᾶς κατάπληττε χόλου.
καὶ τιμὴν αὐτοῖς τὴν ἔχον ἀφαίρεε πᾶσαν,
οὔνομα δίζεσθαι ὄφρα μάθωσι τεόν.
αἰσχυνθήτωσαν τεταραγμένοι ἤματα πάντα
ἐντροπὴ ἀπροφάτως σφᾶς καὶ ὄλεθρος ἕλοι.
οὕτως εὖ γνώσονθ' ὅτι κύριος εὔχεαι εἶναι
οὐχ αὕτως, ὕπατος πάντοθι μοῦνος ἐών.

## ΨΑΛΜΟΣ ΠΔ.

### Ὑπόθεσις.

Κλέει, καὶ πάντων, ὅσσ' ἔστ' ἐρίηρα, προτιμᾷ,
τὴν τοῦ ἐπουρανίου ῥήματος ἀγγελίην.
καὶ θεὸν αἰτεῖθ', ὅπως ἀμίαντον τήνδε σαώσῃ,
τῆς ἔδρης φρουρῶν κάλλιμα δώμαθ' ἕης.

ΩΣ καὶ στορητὰ λίην καὶ ἀγλαὰ δώματα ναίεις,
κύδιστε φιλοπτολέμου ὢ στρατοῦ ἀρχὲ θεός.

ἀλλ' ὀλι-

ἀλλ' ὀλιγηπελίη πραπίδων ἐμὸν ἔνδοθι θυμὸν,
ἀσθενέει μεγάλῳ τοὐμὸν ἔρωτι κέαρ.
τόσσος ἔμ' ἱμερτῆς σῆς ἔλλαβεν ἵμερος αὐλῆς,
τόσσος ἔνεστιν ἐμοὶ σοῖο δόμοιο πόθος.
σῶμά τε, καὶ ψυχὴ, καὶ πάντα τὰ ἔνδον ἐκινοέαν
ὄντα μοὶ, ἐν σοὶ ἀεὶ ζῶντι γέγηθε θεῷ.
εὐκταίην γὰρ ἑοὶ τὸ στρουθίον εὗρε καλιὴν,
τεῦξε χελιδὼν οἱ οἴου ἔχρηζε, δόμον.
τῷ ἔνι τολμώῃ στορέσαι κε λεχώϊα λέκτρα,
εὐνάς τ' ὀρταλίχοις ἀρτιγόνοισι θέμεν.
ἤγουν σοὺς βωμοὺς, τοῖς ἱρ' ἐπὶ πίονα κεῖται,
ὦ ἄνα, ὦ στρατιῆς ὄρχαμ' ἄριστε θεός.
ὄλβιοι, ἀνθρώπων πολλῶν τε μακάρτεροι ἄλλων,
οἳ μεγάροιο λάχον σοῦ ναέτ' ἄνδρες ἔμεν.
οὗτοι σὴν λιγυρῇ κελαδοῦσι κλεηδόνι δόξαν,
ἤματ' ἐς ἀκαμάτου ἀενάοντα χρόνου.
ὦ μάκαρες καὶ τρὶς καὶ τετράκις, οἷς τισιν ἀνδρῶν
πᾶσα μόνος ῥώμη, πᾶν τε σὺ ἐσσὶ κράτος.
χ' οἳ σφετέραις κραδίαις σὰς ἐγκατέθηκαν ἀγυιάς,
οἷς τ' ἀντίσχεσθαι σοῦ περὶ κῆρι μέλει:
οὗτοι στείχοντες τάδ' ἀν' ἄγκεα δακρυόεντα,
ποιοῦσι κρηνὰς ἔνθα καὶ ἔνθα ῥυτάς.
τῆς τε διδασκαλίης σφετέρης μέγαν εἵνεκα μισθὸν
δέχνυντ', ἠγαθέης τὸ στέφος εὐλογίης.
συνεχέως τ' ἄλλας νίκας νικῶσιν ἐπ' ἄλλαις,
ἀνδράσι μίξαντες δυσμενέεσσι μάχην.
ὅππως ἀνθρώποις δῆλον τόδ' ἅπασι γένοιτο,

ἐκδείξωντ᾽ εἶναι ἐν σε Σιῶνι θεόν.
ὦ ταμίη πολέμοιο θεὸς, λάβε τήνδε προσευχὴν,
πανσθενὲς, Ἰσακίδῃ σῷ ἀγαπητὲ λάτρει. (μᾶς
ϗ᾽ ὃς σάκος ἄμμι πέλῃ στιβαρώτατον, ὄμματ᾽ ἐφ᾽ ἡ-
ἤπια, καὶ χριστοῦ κλῖνον ἐπ᾽ ὦπα τεοῦ.
κρεῖσσον ϗ᾽ ἠλύτδρον σῆς ἦμαρ ἐν ἔνδοθι αὐλῆς
ἐστὶν, ἢ ἐν ἄλλοις χίλια δώμασ᾽ ἔμεν.
βούλομ᾽ ἐγὼ μεγάροις τελέθειν ἐνὶ σοῖσι θυρωρὸς,
ἀγλαὰ τῶν ἀσεβῶν, ἢ τὰ καθ᾽ ἔρκη ἔχειν.
αὐτὸς γὰρ θεὸς ἡμετέρῃ, καὶ ἥλιος ἠῢς
ἐστὶν, ἐϋκλείην ἄμμι, χάριν τε διδούς.
οὔτε τύχης χατέειν ἀγαθῆς τοὺσδ᾽ ἐᾷ, ὅτ᾽ ἐάσειε,
τοῖς μέλει ἀψεγέως ὀρθὰ κέλευθα τρίβειν.
ὦ πρύτανι κλισιῶν θεὸς, ὦ κράτει ἔξοχε πάντων,
ὡς μάκαρ ἐστὶν ἅπας σοὶ ἐφ᾽ ὃ ἐλπίδ᾽ ἔχων.

## ΨΑΛΜΟΣ ΓΕ.

### Ὑπόθεσις.

Τὸν θεὸν ὀῤῥωδῶν, τὴν αὐτοῦ ἐνεικέμεν ὀργὴν
οὐ δύνατ᾽ ἀλλ᾽ ἱκέτης οὗ γίνετ᾽ ἐγγὺς ἰών.
ϗ᾽ οὕτως ἂρ τρωθεὶς πρὸς τὸν τρώσαντα ἱκάνει,
τῷ παρὰ διζόμενος τραύμασ᾽ ἴησιν ἑοῖς.

Παντοσθενὲς αὐτογένεθλε θεὸς, τεῷ ἔσθ᾽ ὅτε γαίῃ
κτίσμασι μειλιχίως, ἵλαος ἦες, ὁρῶν,
ἔσθ᾽ ὅτε δεσμώτας, Ἰακώβου ἐγγεγαῶτας
ἄνδρας, ἐξ ἀλύτων ῥύσαο αὖτε πεδῶν:
σῷ τε ἀλιτροσύνην λαῷ παρέηκας ἅπασαν,

σὺ μεγίς

  συμμενέει κεύθων πάντ' ἄνομ' ἔργα τεῇ.
σκύτε μενοινῶσαν κατέπαυσας δεινὰ τεὴν ὀργήν,
  σόν τε κότοιο τὸ κῦρος ἐξεκένωσας ὅλον.
καὶ νῦν οὖν σωτὴρ θεὸς αὖτε παρηγόρος ἡμῖν
  ἴθι, καὶ ἀσπερχὲς τλήμοσι λῆγε κοτῶν.
μὴν ἀτελεύτητον τόσ' εἰς χρόνον ἄμμι χολώσῃ,
  μήτε χαλινώσεις σὸν καὶ ἔπειτα μένος;
μήτε καταλλαχθεὶς ζωὴν πάλιν ἧμιν ὀπάσσεις,
  ὄφρα χαρῇ σφετέραις ἐν φρεσὶ σός κε λεώς;
δεῖξ' ἐλεημοσύνην τεὴν ἡμῖν οὐδὲν ἔχουσαν,
  σῶζε, καθὼς σώζειν, ὦ θεός, ἄμμε δίκη.
αἴθε φίλων ἀΐειν ὄφελον τοῖσδ' οὔασι μύθων,
  τοὺς κεν ὅρῃ γλυκερὴν κύριος ὄσσαν ἱείς.
εἰρήνην θ' ἁγίοις ᾧ ὑπὸ στῇ ἀνδράσι δήμῳ,
  ὥστε τιν' ἀφραδίῃ μὴ περὶ τόνδε πεσεῖν.
ἀλλ' ἔμπης παραμέμβλωκεν τοῖς ἁζομένοισι
  αὐτὸν, ὅπως δόξης ἔμπλεα πάντα θάλῃ.
ἥτ' ἐλεημοσύνη τῇ πίστει ἀντιβολήσῃ
  εἰρήνη θ' ὁσίῃ δῶκε φίλημα δίκῃ.
καὶ ἡ ἀληθοσύνη γαίης βλαστήσῃ ἀν' οὔδας,
  εἴς τε δικαιοσύνη οὐρανόθεν χθόν' ἴδῃ.
καὶ θεὸς οὖν ἡμᾶς ῥέζῃ, καὶ ἕκητι θεοῖο
  ἄμμι μελίφρον' ἔθεν καρπὸν ἄρουρα φέρῃ.
ἥτε δικαιοσύνη προπάροιθέ κεν αὐτοῦ ὁδεύῃ,
  θαρσαλέως ἐς ἑὴν ἴχνια θεῖσα τρίβον.

ΨΑΛ.

## ΨΑΛΜΟΣ Πϛ.

### Ὑπόθεσις.

Ἐκ φρενόθεν θεὸν ἀντιβολεῖν εὐχῇσι, μέγιστον
καὶ πάντων αὐτῷ φίλτατόν ἐστι σέβας.
μνεῖ ὁρᾷς πάσχειν πολύπλαγκτον ἐόντα Δαβίδην,
κἀν πᾶσ' εὐχόμενον τῷ θεῷ ἔμπα κακοῖς.

Ὦ κύδιστε θεὸς τοῦ κύριον οἴδαμεν ἐκτὸς
οὐδένα, πρὸς φωνὴν οὖτα σὰ κλῖνον ἐμήν.
καί μοι εὐχομένῳ στοναχαῖς σὺν κλῦθι βαρείαις,
οὕνεκα δυστλήμων, καὶ βροτός εἰμι πένης.
φροντίς σοι ψυχὴν ἐντκύδε φυλαττέμεν εἴη,
καὶ γὰρ ἐγὼν ὅσιος σοῦ παρὸς εὐχόμ' ἔμεν.
καὶ σὸν δυσπότμως νῦν δοῦλον ἔχοντα σαώζοις,
δοῦλον, ὃς ἦτι μόνῳ φρεσὶ πέποιθε τεΐν.
εὐμενέως μνήμων μοι σῆς ἐλεητύος ἴσχοις,
τῷ σέ ἦ ἀλλήκτως ἀγκαλέοντι βοῇ.
χάρματί τε ψυχὴν τὴν σοῦ θεράποντος ἰαίνοις,
τὴν ἦρεν γαίης πρὸς σὲ ἄπωθεν ὅλης.
καὶ γάρ σὺ χρηστὸς, καὶ ἤπιος, ἠδ' ἐλεήμων
ἐσσὶ, ἅπασι τεΐν λισσομένοισι βροτοῖς.
τῷ καὶ νῦν σέθ' ἐμῆς φίλ' ἔχ' οὔατα παρσχεδὸν αὐδῆς,
μήτε δέησιν ἐμὴν σφῶν καὶ ἀπεῖργε λιτήν.
σοὶ γὰρ πημανθεὶς ὀλοφυδνὸν μῦθον ἵημι,
τόν σὺ μὴ ὀκνοίης σοῖς ποτ' ἐν ὠσὶ θέμεν.
οὔτις ἀγαστὲ θεῶν σοι κύει ἀλίγκιός ἐστι,
ἠέ τὰ σὺ κραίνεις, κραινέμεν ἰσχὺν ἔχει.

τοὔνεκα πρὸς σὲ κιωεῖν πάντ' ἔθνε', ὅσ' ἔκτισας, ἥξει,
οὔνομά τε κλείειν ἔνθα καὶ ἔνθα τεόν.
ὅττι μέγας πέλεαι, καὶ θαυμάσι' ὄργματα ῥέζεις,
χ' ὁ μόνος ἰθύνων ἐσσὶ τὰ πάντα θεός.
ἡγήλαζε τεῶν ἔμ' ὁδηγὲ φίλ' ἴχνεσι ταρσῶν,
ὅππως σὴν στείχω ἰθυκέλευθος ὁδόν.
μὴ δίχα βῆναι ἐμὴν κραδίην ἐνὶ φρεσὶν ἐῴης,
οὐνόματος λάτρις τοῦ σέθ' ἵν' αἰὲν ἔω.
οἶδα τεὶν χάριτας περὶ κῆρι, καὶ ἦτορος ἔνδον,
ἕξων αὖ γλῶσσαν σὸν κλέος αἰὲν ἐμήν.
σὺ ἐπεὶ ῥέξας τὰ μέγιστά με, ἐκ βορέθροιο
τοῦ βατέος ψυχὴν χειρὶ ἐμὴν σῇ ἑλών.
ἀντὶ ἐμοὶ βαίνουσι θεὸς βρισαύχενες ἄνδρες,
ἄνδρες ὑπερφίαλοι ἐχθροὶ ἔμ' εἰσὶ θεός.
καὶ μοὶ κῆρα φέρειν τινὰ φῦλ' ὑπέροπλα μενοινᾷ,
τοῖς σε ὀπίζεσθαι οὐδὲν ἅπασι μέλει.
ἀλλὰ σὺ οἰκτίρμων, ἐλεήμων, καὶ βραδὺς ὀργὴν
ἀπλέμον, εὐμενίης τ' ἀτρεκίης τε γέμεις.
βλέψον ἐπὶ πρᾳέως μέ, σέθ' ὄντα τε παῖδα κράτυνον
χραίσμησ' ἀμφιπόλου τέκνῳ ἔμ' ὄντι τεῆς.
δεῖξον σῆμ' σὺ ἐμοί τι χρήσιμον, ὅττι κεν ἐσμὸς
δήιος αἰσχυνθῇ, ὃς στυγέει μέ, δρακών.
τὺ γὰρ ἀπ' οὐρανόθεν μοὶ κύριε κήπω ἰάλλεις,
μή τε παρηγορίης λῆς μ' ἐπιδευῆ ἐμόν.

## ΨΑΛΜΟΣ ΠΖ.

### Ὑπόθεσις.

ἐρὺ ὑψιτιμένῳ ἐκκλησίη ἄστει ἔοικεν,
ἄστει τοῦ κόσμου οὐκ ἄρα μεῖον ὅλου.
τῷ ἐνὶ παντοθρόων τεχθήσεται εὐσεβέ᾽ ἐθνῶν,
δίῃ ἐπουρανίων, φῦλα, λοχείῃ ἐπῶν.

Ης θέμεθλ᾽ ἀγαθέοις ἀδόνητα ἐπ᾽ οὔρεσίν ἐστι,
ἧς ἁγίῃ κεῖται ἐν περιωπῇ ἕδος:
κύριος ἧσι πύλας ἐνὶ φρεσὶ Σιωνίδος ἄκρης,
πάντας ὑπὲρ, φιλέει, σοὺς Ἰάκωβε δόμους.
ὡς σέθεν ἔνδοθ᾽ ἐὼν ὀβρικυδέα θέσφατ᾽ ἀκούει
πᾶσι, ἀειζώῳ ὦ φίλον ἄστυ θεῷ,
δώσω τῇ φαρίῃ, δώσω βαβυλωνίδι γαίῃ
κήρυκας, τοῖς με γνῶσι κε πευθόμενοι.
τοῖς τε Φιλισταίοις, Τυρίοισί τε, καὶ Αἰθιόπεσσι,
ἧδε τόπος γενέθλης ἔσσεθ᾽ ἅπασι πόλις.
τῷ ῥα περὶ κλυμένης πολλοὶ λέξουσι Σιῶνος,
μήτηρ παντοίων πότνι᾽ ὅτ᾽ ἐστὶ βροτῶν.
χ᾽ ὅττι μιν οὐ θνητός τις ἐδείματο πεπνυμένος περ,
αὐτὰρ ὁ ὑψίθρονος κύριος αἰὲν ἐών.
παντοδαπῶν ἤσει θρόον εἰδότας ἄνδρας ἐθνῶν
κύριος, εἰς ξείνων μυρία φῦλα λεῶν.
ὅππως καὶ τούτων τισὶν αὖτε λοχευομένοισι,
ἡ σφόδρ᾽ ἀγλαόπαις ᾖ γενέτειρα Σιών.
ἐν τῇ ἀμοιβηδὶς πάντες μέλψουσιν ἀοιδοὶ,
ὡς ἐνὶ συμφώνοις, ᾄσματα δῖα, χοροῖς.

## ΨΑΛΜΟΣ ΡΗ.

### Ὑπόθεσις.

Λίσσεται οὐλομένης ἀπογνώσιος ἐγγύθεν ἐλθὼν,
ῥυτῆρα ζωῆς οἱ θεὸν ἔμμεν' ἑῆς.
Δηλῶν οἷα παθεῖν εἰώθασ' ἐν φρεσὶν ἄνδρες,
σφαῖς κραδίαις ὀργῆς γεύσάμεν' οἱ ζαθέης.

Τοῦ με παρὲξ δεύχθαι μηδεὶς παγκοίρανε σώζειν,
ἦ ῥά ποτ' αὖτα σέθεν παύομαι οἰκτρὰ βοῶν;
ἦμαρ καὶ νύκτωρ προπάροιθε σέθ' αἰλινὰ φωνῶ,
καί σε ἀλεξίκακον γνέομαί μοι ἔμεν.
τῷ μὴ κωλύσαις τάσδ' ἄγχι σοῦ ἐλθέμεν εὐχὰς,
τῷ μὴ ἔχῃς κραυγῆς οὖατ' ἀπόπροθ' ἐμῆς.
καὶ γὰρ ἐμὴ ψυχὴ πολυπενθέα πήματα πάσχει,
καὶ ἡ ἐμὴ ζωὴ ἐγγύθεν ἦλθε μόρου.
τοῖς τε βεβῶσι δοκῶ ἄϊδός δ' ἐπιείκελος εἶναι,
ἀνδρί τε, ὃς φθινύθει μηδέν' ἀρωγὸν ἔχων.
κεῖμαι ὅπου θανάτῳ κέαθ' οἱ κεκαφωμέν' ὁμοίως,
οὔσης οὐδεμιῆς φροντίδος οὐδέν' ἐμοῦ.
τοῖς τε καθεύδουσιν κατὰ γῆς ἐναρίθμιός εἰμι,
οἷσιν ὁ θυμὸν Ἄρης ἐκ φίλον εἷλε φρενῶν.
ὧν τε σὺ μέμνησαι θεὸς οὐκέτι, πάμπαν ἀπώσας
δεξιτερῆς αὐτοὺς ἤματα πάντα τεῆς.
λακκῷ ἐνεβλήθην, τοῦ ἐστὶ κατώτερον οὐδὲν,
καὶ ζόφος, ἠδὲ μόρου ἀμφί με λυγνὺς ἔβη.
σὸς κότος ἐγπάγλως, τό με σοῦ μηνίμα πιέζει,
κύματα σῆς ὀργῆς εἰς ἐμὲ πάντα ῥέει,

καὶ μὲ

καί με παρηγορέων οὐδεὶς ὑπόλοιπος ἔτ' ἐστί,
  πάντας ἐμοὶ ἑτάρους σοῦ ἀφελόντος ἐμούς.
καί με βδέλυγμ' αὐτοῖς ῥυπαρὴ τεύξαντος ἐν εἱρκτῇ
  κείμενον, κοὐ μῆχος μηδὲν ἔμ' ἐστὶ λιπεῖν.
μαῦρ' ἐγένοντο ἐμαί. μάλ' ἐμαὶ συνέτηχθεν ὀπωπαὶ,
  εἶδος ἐμ' αὐχμηρὸν σφόδρ' ἐπὶ κήδεσ' ἐνί.
καὶ τοῦτ' κενεῶς σὲ παρερχομένοιό μου ἀραῖς,
  οὔτε σοὶ ἀνισχέμεναι παυομένοιο χέρας.
μῶν τινὰ μυδαλέοις νεκύεσσ' ἐνὶ θαύματα ῥέξεις;
  μῶν ἀναστήσονται φῦλά σε νεκρὰ κλέειν;
ἦ ῥα σὴ εὐμενίη ἔσεται κλυτὴ ἔνδοθι τύμβων;
  καὶ πιστὸν φύσει σὲ φθιμενός τις ἔμεν;
μῶν τὰ σὰ κνηίζειν ζόφος ἔργα δυνήσετ' ἄναυδος,
  ἤτε δικαιοσύνην τὴν σέο λήθη ἐρεῖν;
αὐτὰρ ἐγὼ καλέω εὐχῆσί σε συνεχὲς ἔμπης,
  ἠοῖός τε λιταῖς πρὸς σὲ ἱκανόμ' ἐμαῖς.
τί στενάχουσαν ἐμὴν ψυχὴν βαρὺ κύει ἀπωθῇ;
  τί κρύπτεις σὸν ἐμοῦ λισσομένου σε ῥέθος;
ἄθλιός εἰμι, ἀναλκείῃ μόγις ὀστέα θ' ἕλκω,
  οἶκτρ' ὀλοφύρομ' ἐμοὶ μηδέν ἔθ' ὅρμον ἔμεν.
καὶ γὰρ τλῆμι τεὴν ἐκδειματόουσαν ἔμ' ὀργὴν
  τόσσα γε, ὥστ' ἀπόρως με σχεδὸν ἔμ' φρέσ' ἔχειν.
σός με ἐπικλύζει χόλος ἄγριος, οὐλοός, αἰνός,
  σὴ μινύθει δεινὸν θυμὸν ὁμοκλὴ ἐμοί.
τοῖσιν ἄρ ἀμφοτέροις ὡς κύμασιν ἔνθα καὶ ἔνθα
  δύσταλας ἀμφιχυθεὶς, ἔκβασιν οὔτιν' ὁρῶ.
οὐδ' ἐάσειας ἐμοῦ φίλον ἄνδρά τιν' ἤτιν' ἑταῖρον,

παρσταδὸν ἐν τόσσαις νῦν κακότησιν ἔμεν.
ἀλλά σὺ ἐσκέδασας μάλ' ἅπαντας ἀπόσταδ' ἐμεῖο,
οἷς τισιν ἢ γείτων ἠὲ φίλος ποτ' ἔην.
τούς τε μοι ἐξ ὁμόθεν σφέτερον γένος ἐκγεγαῶτας,
τῆλε ποίησας ἐμοῦ, θλίψιος εἵνεκ' ἔμεν.

## ΨΑΛΜΟΣ ΠΘ.

### Ὑπόθεσις.

Κἀν τούτοις περὶ τοῦ χριστοῦ μαντεύετ' ἐνίσπων
ἔσσεσθ' ἴφθιμόν μιν δίχ' ἄνακτα τέλους.
τὸν γόνον αἰτίζων, τὸν ἐς αἰὲν ὑπέσχετο δώσειν
αὐτῷ, ἐῇ σκῆπτρον χειρὶ φοροῦντα θεός.

Ὅσσον ἐν μέγεθος ζαθέων ἐλεημοσυνάων,
ὅσσον ἀληθοσύνης, πίστιος ὅσσον ἔῃ:
δεῦρό μοι Οὐρανίη θεῖον τέκος ἀείδεμεν οἴμῃ,
τήν κε ἂν ὀψιγόνων οὔατ' ἀνήρ τις ἔχῃ.
φημὶ γὰρ ἀψευδῶς πάσης ἐλεητὺν ἀμοιρεῖν
λήξιος, ἣ κόσμῳ οἰκοδομήσεθ' ὅλῳ.
καί σε τὰ οὐρανόθεν θείῃ πότ' ὑπέσχεο φωνῇ,
αὐτόθεν βροτέῳ, αὐτόθεν ἀνδρομέῳ.
ἀνδρὶ σῷ ἐκλέκτῳ ἔταμον πίσθ' ὅρκι' ὀμόσσας
δούλῳ Ἰεσσαΐδῃ οὐ παλινάγρετ' ἐμῷ.
οὐδέποτε στέλεχον προθέλυμνον τῆς σέο φύτλης,
ἐκριζώσομ', ἀεὶ σπέρμα δὲ δώσομ' ἔχειν.
καὶ θρόνον ἐντυκέως μίμνοντά σοι ἤματα πάντα,
τοῦ κε φορῶν ἴζῃ σκῆπτρ' ἐφύπερθεν ἄναξ.
ἔργων θαυμαστῶν σῶν ἄγγελ' οἱ οὐραν' ἔσονται,

σῆς τ᾽ ἐνὶ τοῖς ἁγίοις μάρτυρες ἀτρεκίης.
τίς γὰρ ἐν ἠερίοις σοὶ ἔῃ νεφέεσί κεν ἶσος:
    τίς σοι ὅμοιος ἔῃ ἐν τεκέεσι θεῶν:
κύριος ὢν ἀγύρει ὁσίων ἐνὶ καρτερός ἐστι,
    τούς τε περίξ πάντας θαυμασιουργὸς ὑπέρ.
τίς σοι ἀρηϊφίλων ὦ κοίρανε ἀλίγκιός ἐστι,
    τοσατίην δύναμιν, τόσσον ἔχοντι κράτος:
πίστις σὲ στέφει, καὶ ἀληθίη ἐμπεδόμυθος,
    ἀμφοτέρην πλευρὴν δορυφορεῖτον ἀεί.
τὺ κυμαινούσης περ κύριος ἐσσὶ θαλάσσης,
    εἴκει δεσποσύνῃ λαίτματα πάντα τεῇ.
τὸν Ῥαὰβ ὡς χαλκῷ μεγαλόφρονα νηλέϊ πέφνεις,
    καρτεῖ φῦλα τεῆς κίδνασαι ἐχθρὰ χερός.
δεσπόζεις γαίης, καὶ παμφανόωντος ὀλύμπου,
    τὴν χθόνα χ᾽ ὅσσ᾽ ἔνδον, θεμελιώσας, ἔχει.
καὶ τὸ πλάτος μερίσας τροχοειδέος ἄνδιχα κόσμου
    καὶ τῇ μὲν βορέην ὦρσαο, τῇ δὲ νότον.
εἷς τ᾽ αὖ δοιὰ μέρη διελὼν πᾶν μῆκος ἐκείνου,
    θάτερον ἠῷον, θάτερον ἑσπέριον:
ἔνθα Θαβὼρ μὲν ἔθης σοι ἀγαλλόμενον καλὸν οὖρος,
    κεῖθι δ᾽ Ἑρμῶνος τοῦ χλοεροῖο κάρη.
πῆχυν ἔχεις βριαρὸν, σθένος ἐν σῇ χειρὶ κραταιὸν
    φῦ μάλα, δεξιτερῆς σῆς πέλει ὕψος ἄπαν.
σοῖο δικαιοσύνη στερέωμα θέμις τε θρόνοιο
    ἐστὶ, σὲ νητρεκίη ἀμφὶ χάρις τε πολεῖ.
ὦ ἀλαλαζέμεναι ἐνδαίμονες εἰδότες ἄνδρες,
    οἷσι τὸ σὸν λαμπῆρ ἔσσετ᾽ ἰοῦσι ῥέθος.

χ' οὓς τεὸν εὐφροσύνης ἐς ἀεὶ ἐπὶ τοὔνομα βήσει,
οἷς τε δικαιοσύνη σὺ μέγα κῦδος ἀρεῖ.
τιμὴ γὰρ κάρτος σφὶν ὀβριασθενὲς ἐγγυαλίζεις,
καὶ πάσης εὖχος, τὴν λάχον ἐστὶ βίης.
καί συ τὸ ἡμέτερον γέρας εὐδοκέων ποτ' ἀείρειν,
ἠδ' ἀρετὴν μέλλεις, καὶ σθένος ἄμμι δόμεν.
ὅττι σάκος σὲ θεὸς καυχώμεθα τεθραθέλυμνον,
τόν τε σὸν Ἰσακίδη ἱρὸν, ἄνακτα λαχεῖν.
σὺ χρήζων ὁσίῳ μαντευμά τι θέσφατον ἐσμῷ,
τοῖον ἀπὸ στόματος σοῦ πόθ' ἔηκας ἔπος:
ἥρωος μένος ὦρσα βοηθόου ἐσσομένοιο,
ὕψωσ' ἐκ λαοῦ ἄνδρ' ὅλου τιν' ἑλών.
δοῦλον ἐμοὶ τὸν Δαυίδην καταθύμιον εὗρον,
καί μιν σκῆπτρ' ἁγίῳ χρίσματ' ἔχρισα φορεῖν.
τήν τε ἐμὴν ἔξω παλάμην ἐφύπερθεν ἐκείνου,
καί νιν καρτυνέω πήχεϊ παντόθ' ἐμῷ.
οὐδεὶς ἠττήσει ἀνὴρ ἀντίξοος αὐτὸν,
οὐδέν' ὑπερφιάλῳ εἴξει ἄκικυς ἐών.
αὐτὰρ ἐγὼ προπάροιθ' αὐτοῦ φῦλ' ἐχθρὰ δαΐξω,
ῥαίσω τε, στυγέειν οἷσί μιν οἶδα μέλειν.
ἥ τ' ἐλεητὺς ἐμὴ παρ' οἱ ἔσσετ' ἐτητυμίη τε,
καὶ τὸ κέρας δι' ἐμὸν τοὔνομ' ἐς ὕψος ἀρεῖ.
χεῖρας ἔθ' ἐκτενέει τοῦ Εὐφρήταο πρὸς ὄχθην,
ἀκτέων ὠκεανοῦ δεξιὴ ἅψεθ' ἑῇ.
κἄμ' ὀνομακλήδην καλέων, γενετῆρα καλέσσει,
καὶ θεὸν ἠδὲ πέτρον, πέτρον ἀρηγόν ἐόν.
πρωτότοκον τέκνων αὐτὸν ποιήσομ' ἁπάντων,

κρειόν

κρειόντων θ' ὕπατον γῆς ἐπὶ θήσομ' ὅλης.
οἰκτίρμων οἱ ἀεὶ θεὸς ἔσσομαι, ὅρκια τηρῶν
πιστά, καὶ ὑποσχεσίης μνώμενος αἰὲν ἐμῆς.
καὶ παίδων παῖδας, καὶ τῶν πάλιν ἐκγεγαῶτας,
δώσομ' ἐς ἀΐδιον, φῦλ' οἱ ἄληκτα χρόνον.
καὶ θρόνον οἱ θήσω τοῦ ὕπερ θέκεν ἤματα θάσσῃ,
ὅσσα κυλινδόμενος ποιεῖ ὄλυμπος ἀεί.
κὴν γὰρ νόμους προλίπωσιν ἐμοὺς οἱ ἔγγον' ἐκείνου,
μηκέτι τοῖς θεσμοῖς ἐμβεβαῶτες ἐμοῖς.
κὴν δὲ βεβηλώσωσιν ἐμοὶ τὰ δεδογμέν' ἀλιτροί,
καὶ κακοὶ ἄνδρες, ἐμῶν οὐκ ἀλέγοντες ἐπῶν:
ῥάβδοις μὲν ξανέω τόσ' ἀτασθαλέοντας ἀεικῶς,
ὄργια τε μαστίξω δρῶντας ἄμοιρα νόμου.
ἀλλ' ἐλεητὺν ὅμως οὐ τηλόσ' ἐκείνου ἀπείρξω,
οὔτε τῇ ἀτρεκίῃ ψεύδεα μίξομ' ἐμῇ.
οὔτε βεβηλώσω διαθήκην, οὔτε τὰ χειλῶν
ἐξελθόντ' ἐάσω τῶνδ' ἄλλ' ἔμμεν ἔπη.
τῷ καὶ νυνὶ ἅπαξ ἐπεὶ μέγαν ὅρκον ἰδ' ἱρὸν
ὤμοσ' ἐμὴν ἁγίην παντοκρατῆ τε φύσιν:
μὴν τῷ Δαυίδῃ ψευσθήσομαι; ἔμμορος ἔσται
σπέρματος εἰς πεῖρας μηδὲν ἔχοντα χρόνον.
καὶ ὁ ἀεὶ θῶκος μενέων βασιλήϊος αὐτοῦ,
ἠέλιος ὡς φαέθων, ἀντίον ἔσσετ' ἐμοῦ.
κοὔποτε λήξετ' ἐών, πολυειδὴς ὥς ῥα σελήνη
μίμνει λυγαίης νυκτὸς ἔχουσα σέλας.
καὶ χρῆμ' οἱ πιστὸν χρυσόπτερος ὡς ἔσετ' ἶρις,
πιστῶς σύνοικον μαρτυρέουσ' ἡ ἐμήν.

νῦν δὲ ἀπόῤῥιπτεῖς, καὶ ἠΰτε μῦσος ἀπώθεις,
    καὶ χριστῷ κοτέεις ἐν φρεσὶ σῇσι τεῷ.
σοῖό τε συνθεσιέων δμωοῦ λόγον οὔτινα ποιεῖς,
    καὶ ταρσοῖς στέφανον σοῖσι τὸν εἶχε πατεῖς.
τείχεα κείνου ὁμοῦ ὅσ᾽ ἐδείματο πάντα καθαιρεῖς,
    ὅσ᾽ ὀχυρ᾽ ἔσκε πάλαι, νῦν ἀλαπαδνὰ πέλει.
τοῖς δὲ παρερχομένοις ἁρπαγμὸς ἅπασι τέτυκται,
    πᾶς ἐγέλων ποιεῖ πλησιόχωρος ἀνήρ.
κάρτει τοὺς αὐτὸν πολλῷ τρύχοντας ἀέξεις,
    ἄνδρας εὐφραίνεις δυσμενέοντας ἑοί.
φάσγανον ἀμβλύνεις τὸ φορεῖ, καὶ κείνου ἀφαιρεῖς
    τὴν πάρος, οὐ νίκην οἱ πολεμοῦντι διδοῖς.
οὔτε μιν οἷς λαμπρῶς κοσμήμασι τὸν χρόα κοσμεῖς,
    τὸν πρὶν καββάλλεις αἰπὺν ἔραζε θρόνον,
τῆς νεότητος ἑοῖ θαλερῆς ἀπὸ νήματα τέμνεις,
    χλευασμὸν ποιεῖς αὐτὸν ἅπασιν ἔμεν.
τῷ σε ἀποκρύπτων ἡμῖν θεὸς ἤματι παύσῃ;
    καὶ σὴν ἐκκαίων ἠΰτε πῦρ τι χολήν;
μέμνησο βρότεος μινυώριός ἐστιν ὅτ᾽ αἰών,
    ὅττι τε παῦρος ἐμοὶ ἔστι βίοιο χρόνος.
μὴν φῦλ᾽ ἀνθρώπων τοῦ μηδενὸς εἵνεκα πάντων
    ἔκτισας, ὅσ᾽ αἶαν ναιετάουσιν ὅλην;
τίς θανάτου κρείττων βίον ἔμμορεν ἄμβροτον ἀνήρ;
    τίς φθονέει τὴν ψυχὴν ἐξ ἀΐδαο ῥύειν;
ποῦ ἐλεημοσύνη νῦν ἡ σέθεν ἐστὶ παλαιή,
    τῆς πέρι Δαυίδῃ ἀτρεκῆ ὅρκον ἔδως;
φράζεο πολλὰ τεῶν ὅτ᾽ ὀνείδε᾽ ἐν ἔθνεσι δούλων

ἐστί,

ἐστὶ, τὰ ἐν κόλπῳ κύρει ἐμεῖο φορῶ.
τοῖσιν ἐνοχλοῦσιν καὶ σοὶ μάλα δήϊοι ἄνδρες,
τοῖσί τε τὸν χριστὸν συμπατέουσι τεόν.
ἤματα δοξαστὸς πάντ᾽ οἷος ὁ κύριος εἴη,
ἀμὴν ὑμνητὸς κύριος εἴη ἀεί.

## ΨΑΛΜΟΣ ϟ.

Ὑπόθεσις.

Ἄθλον ἁμαρτοσυνέων θάνατον καὶ κῆρα μέλαιναν,
νομοθέτης Μωσῆς τοῖς δ᾽ ἐνὶ φησὶν ἔμεν.
τῶν τε κακουργιέων τὸ μίνυνθον τέρμα βίοιο
εἵνεκεν, ἀνθρώπους πάντας ἐπὶ χθόν᾽ ἔχειν.

Ὦ ἄνα κρειόντων ὦ κύρει ὑπέρτατε πάντων,
ὄντως τῶν ὄντων οἷος ὃς ἐστὶ θεός.
ἄλκαρ, κρησφύγετον, καὶ ῥῦμά σου νωλεμὲς ἡμῖν,
εἴς τε πρόπαντα πέλῃ σοῖς γενέεσσι χρόνον.
πρὶν ποιηθῆναι τὰ περισκεπῆ οὔρεα θάμνοις,
πρὶν χθόνα πλασθῆναι καί τινα δώματ᾽ ἔμεν·
οὐδεμιῆς σὺ θεὸς παμπήδην ἔμμορος ἀρχῆς
εἶ, καὶ ἀεὶ ζώων ἤματ᾽ ἄληκτα μένεις.
ὃς τοὺς μὲν κέλεαι θανέειν, καὶ πότμον ἐπισπεῖν,
τοὺς δὲ τὸ πρῶτον ὁρᾶν ἠελίοιο φόως.
σοὶ γὰρ πρόσθ᾽ ἐτέων τινὶ χιλιὰς ἤματ᾽ ἔοικε,
τὸ χθὲς ἀπελθὸν, ὅλως τυγχάνει οὐδὲν ἐόν.
ἠὲ χρόνου τόσσου, ὅσσον ἂν διὰ νύκτα κελαινὴν
κνωσσόντων ἄλλων ἐγρηγορέῃ κε φύλαξ.
ὥς τινα χείμαρρον σφέας ἔνθα καὶ ἔνθα διαρρεῖν,

ὡς κε-

ὡς κενεὸν ποιεῖς σφᾶς τινʼ ὄνειρον ἔμεν.
ἀλλʼ ἅτʼ ἐν ὑδρηλῷ ποίην τινὶ πέσσει, χλωρὴν
νυνὶ μὲν, ἀζαλέην αὐτίκα δʼ ἐσσομένην.
ὡς γὰρ ἕωθε καλῶς θαλέθει, κἄπειτα μαρασμῷ
ἐγγίζει, φθίνει τʼ αὔδιχα τεμνομένη:
ὡς πυρόεσσα τεὴ καὶ ἡμᾶς καταδαίνυται ὀργὴ,
ὡς ταχέως τητᾷ σὸς βίου ἄμμε κότος.
οὕνεκʼ ἀκοιμήτοις καὶ ὅσʼ ἔρδομεν ὄμμασιν ἀθρεῖς,
καὶ τὰ κρυπτʼ ἄλλοις ὄντα, φόωσδε φέρεις.
καὶ ὅττι τεὴν ἡμῖν χαλεπὴν περ ἐπώρσαμεν ὀργὴν,
οἴχονθʼ ἡμέτεραι ἡμέραι ὥς τι νέφος.
καὶ ἡμετέρης ζωῆς ἔτι ἄλλα παρέρχετʼ ἐπʼ ἄλλοις,
ὡς πτερόεν ταχέως κάρτα παρέρχετʼ ἔπος.
πᾶς γὰρ ὀλυμπιάδων πισύρων, καὶ πέντε δὶς αἰὼν,
ἢ ἐς ἄκρον ἐλθὼν, ἄμμι δέχʼ ἕξ τε δόθη.
ὧν τὰς βελτίστως ἐζήσαμεν, εὐφροσυνάων
ἄμμοροι, οὔτε κόποις ζήσαμεν, οὔτε πόνοι.
οὕτω γοῦν προλιπεῖν αἰψηρῶς ἄμμι πέπρωται,
ὡς πτερόεντα ὁμῶς πᾶσι λαχοῦσι βίον.
τίς ἦ πέπεισθʼ ἔμπης σὲ μένος τόσον ἐν φρεσὶν ἴσχειν;
τίς σε σκυζόμενον τόσσα δέδοικεν ὅμως;
θνητὸν καὶ φθαρτὸν γένος ἄμμε δίδαξον ὅτʼ ἐσμὲν,
παυθῶμεν λυγρῆς ὄφρα κεν ἀφροσύνης.
στρέψον ἐς ἡμείας κῆρ μείλιχον, αὖθις ἐνηὴς
καὶ ἵλαος δούλοις κύριε σοῖσι γενοῦ.
ἠῶθι πρὸ τεῆς ἐλεητύος ἄμμε γέμισσον,
καὶ βίον εὐφροσύνης ζήσομεν ἔμμορον ὅλον.

δὸς

δός τιν' ἐσαῦθ' ἡμῖν μετὰ τόσσας γήθεα θλίψεις,
ταῖς τε βαρύθοντες τλῆμεν ἄτλητα δύας.
καὶ τὸ σὸν ὄργμα τεοῖς ἡμῖν ἐπιδείκνυε δούλοις,
καὶ δόξαν τέκνοις, τῶν γενέτ' εἰσὶ, τεῶν.
εἴη ἐνηείης μεστὸς, φίλα κύριος εἰδὼς,
ἐν πραπίδεσσ' ἡμῖν εὐμενὲς ἦτορ ἔχοι.
πάντα τελειοίη δ' ὧν ἡμέες ἠρξάμεθ', ἔργα,
ἰθύν' ἡμετέρων ὄργματα πάντα χερῶν.

## ΨΑΛΜΟΣ ϞΑ.

### Ὑπόθεσις.

Ἐνθάδε τοῖς ὁσίοις παραμύθι' ἀληθινὰ φαίνει,
τοῖς ἔνδον σφετέρων πίστιν ἔχουσι φρενῶν.
πᾶς ὁ πεποιθήσας φρενόθεν θεῷ αἰνοπαθῶν περ
δηρὸν, ὅμως σῶος τοὔσχατον ἔσσετ' ἀνήρ.

Πᾶς τοῦ ὑψίστου ὃς ὑπὸ σκέπῃ ἕδρανον ἴσχει,
πᾶς τὸν ἐπισκιάσας κεύπτει ὁ πάντα κρατῶν.
τοῖα λέγειν δύναται πρὸς κύριον εὔφρονι θυμῷ,
πύργος ἰδ' ἀκρόπολίς μοι σὺ φίλ' ἐσσὶ θεός.
ὡς σὲ πεποιθήσας μου πάντα τὰ κήδεα βάλλω,
ἐν σῷ ἐμὴ κεῖται ἐλπὶς ἅπασα κράτει.
ὅττι σύ με στυγερῆς τοῦ θηρευτῆρος ἀπ' ἄγρης,
καὶ λοιμοῦ δυνάμει σῇ ὀλοοῖο ῥύῃ.
αὐτὸς ἀεί σε πτέριξ αἷς ὠμοπλάτῃσι καλύψει,
αὐτοῦ ὑπ' ἐλπόμενος ταῖς πτερύγεσσιν ἔσῃ.
αὐτοῦ ἡ ἀτρεκίη μέγα σοὶ σάκος ἔσται ἰδ' αἰχμή,
καὶ ξίφος ἐν πάσαις δήρισιν ἠδὲ μάχαις.

ὄφρα

ὄφρα μὴ ἐν νυκτὶ τρέσσῃς φοβερόν τι δεδοικώς,
ἢ βέλη ἐκ φανεροῦ ὅσσα βεβλῆσθαι ὁρᾷς.
μήτ᾽ ἄρα τὸν λοιμὸν πρὸς τὲ στείχοντα δι᾽ ὀρφνῶν,
μήτε τὰ δηλῆσαι μέσσον ἀν᾽ ἦμαρ ἔφυ.
εἰ καὶ πρὸς πλευρῇ σῇ χιλιὰς ἤριπεν, εἰ καὶ
ἐκ σῶν δεξιέων μυριάδ᾽ ἦρε μόρος:
μηδὲν ἀεικὲς ὅμως πελάσαι σοι μέλλει ἢ ἐχθρόν,
ἀλλὰ κακῶν ἀπαθὴς, καὶ σάος αἰὲν ἔσῃ.
γηθήσῃ δ᾽ ἔτι, καὶ τὼ σὼ ξυνὼ χεῖρε κροτήσεις,
ὥς τιν᾽ ἐφ᾽ ἡδίστῳ χρήματι πολλὰ γελῶν.
δεινὰ κολαζομένους ὁρόων τοὺς δείν᾽ ἀλιτόντας,
τῶν τε νόμων σχόντας μηδένα πάγχυ λόγον.
ὅττι πεποίθησις θεός ἐστι σοί, ὅττι ὁ οἴκων
ὑψόθι, κρησφύγετόν σοι φυλακή τε πέλει.
τοὔνεκα δὴ σίνος καί πῆμά σοι ἐγγίσει οὐδὲν,
ἀλλὰ τεῆς ἄτη πᾶσ᾽ ἑκὰς ἔσσεθ᾽ ἕδρης.
ἀγγελικοῖς ἐπεὶ περί σου θεράπουσιν ἐκεῖνος
ἔντειλ᾽ ἐν πάσαις φρουροὶ ἵν᾽ ὦσί σ᾽ ὁδοῖς.
οἱ ῥά σε βαστάζειν μέλλουσ᾽ ἐπὶ χεῖρας ἄροντες,
μήποτε προσκόψῃς σὸν πόδα πρός κε λίθον.
τῷ ἀδεῶς πυρίπνουν ἐπὶ ἀσπίδα βήματα πήξεις,
ἠδ᾽ ὀλετὴρ φοβεροῦ τοῦ βασιλίσκου ἔσῃ.
συντρίψεις τε τεαῖς σκύμνους πτέρνῃσι λεόντων,
καί σφιν ὑπ᾽ ἐσσυμένος κείσεθ᾽ ὁ δεινὰ δράκων.
οὕνεκά φησι θεός, μευ γλίχεται, ἦ ῥα ἀρωγὸς
ἔσσομαί οἱ, πάσαις ἐν βιότοιο δύαις.
χ᾽ οὕνεκ᾽ ἐμὸν σαφέως μεμαθηκὼς οὔνομ᾽ ἐπέγνω,

οὔνομα

οὔνομα παμπόλλοις οὐ πάνυ γνωστὸν ἐόν·
οὔ μιν ἀμύντηρος σωτῆρός τ' ἐνδεᾶ εἶναι,
οὔτε δύαις ἐάσω, οὔτε δυσημερίαις.
δυστυχέων ἐπ' ἐμὸν καλέει κάρτος τε, μένος τε,
οὐκ ἂψ εἰς τ' αἰὲν κωφὸν ἔμ' ὄψετ' ἔμεν.
ἀλλὰ βοηθείης αἰσθήσετ' ἐμοῖο παρόντος,
οὔτε ὀϊζυρῆς ῥυσαμένοι' ἐ τύχης.
εὔδοξός τε πάλιν δι' ἐμοῦ καὶ ἀγακλυτὸς ἔσται
παντοίων κρέττων δυστυχιέων γεγονώς.
πρὸς τούτοις, ζωῆς μακρῆς μιν πλήσομ' ὅπως κεν
εὐφραίνοιτο γόρων ἤματα πλεῖστα βίου.
καὶ τοὐμὸν σαφέως σωτήριον ἀτρεκέως τε,
κἀμὲ οἱ ἐνδείξω παγκρατέ' ὄντα θεόν.

## ΨΑΛΜΟΣ ϟΒ.

### Ὑπόθεσις.

Θεσπεσίην θεῷ οἶδε χάριν πολυγηθέϊ θυμῷ,
κἀν τοῖσδ' ὁ ψάλτης τοῖς μελέεσσι φόρει.
οὕνεκα τῶν ὁσίων σωτήρ, ἀσεβῶν τε κολαστὴς
ἐστὶ, καὶ ἡττᾶσθαι τοὺς ἀγαθοὺς μὴ ἐᾷ.

Κάλλιστον τὸ θεὸν χαρίτεσσι γεραιρέμεν ἐστὶ,
τῷ τε τοῦ ὑψίστου οὐνόματ' ἦρα φόρειν.
ὄφρ' ἐλεημοσύνη μὲν ἅμ' ἠοῖ φαινομένηφι,
κλειτὴ ἀληθοσύνη τ' ᾗ ὑπὸ νύκτα τεή.
ἡμῶν ψαλλόντων, κιθαριζόντων τε σοὶ ᾠδαῖς
ἄμμιγα, κᾀν, χόρδας ταὶ δέκ' ἔχουσι, λύραις.
καὶ γὰρ εὐφροσύνῃ μοι ἰαίνεται ἔξοχα θυμὸς,

ἔργματα τῶν ῥεκτὴρ ἐσσί σὺ φραζομένῳ.
τοῖς τ' ἐν ἀγαλλόμενος ποιήμασι παύσομ' ἐς αἰεὶ
οὔποθ', ἃ ποίησαν σαὶ διάσημα χέρες.
ὡς μεγάλ' ἐστὶ θεὸς τὰ σὺ ῥέξεις, ὡς δὲ μενοινῆς
σῆς μέγ' ἔφικτὸν ὅλως μηδενὶ, ἐστὶ βάθος.
ταῦτα δ' ἀνὴρ ὁ λαχὼν οὐκ οἶδέ τις ἄφρονα θυμὸν,
τῶν δὲ λόγον ποιεῖ μηδέν' ὁ μάργος ἐών.
ἄνδρες οἱ δυσσεβέες ὡς ἄνθεα τηλεθόωσι
ἄμμοροι, σοῦ ἀνθεῖ πᾶς ὁ βέβηλος ἀνήρ.
εἰσόκε μηδεμιῆς ὄλεθρος σφᾶς λήξιος αἱρῇ
ἔμμορος, ἀπροὔπτῳ ἐν βιότοιο τέλει.
ἀλλὰ σὺ τῶν ἄλλων ὦ κύρι' ὑπέρτατε πάντων,
μοῦνος ὁ αὐτὸς ἐὼν ἤματα πάντα μένεις.
ἠνίδε γὰρ σοὶ ὀλοῦντ' ἐχθροὶ θεὸς, ἠνίδ' ὀλοῦνται
πανταχοῦ, οἱ ἔργων ἐργατίν' οὐκ ἀγαθῶν.
τοὐμὸν δ' ὑψώσεις σὺ κέρας σῷ κάρτει ὀρέξας
τόσσον, ὁ μουνόκερως ὅσσον ἔχῃσιν, ἐμόν.
τὴν τε ἐμὴν κεφαλὴν λίπ' ἐλαίῳ ἄφθον' ἀλείψεις,
ὥστε τὸ σῶμα καλῶς ξύμπαν ὀδωδέν' ἐμόν.
καὶ μὴ τερπομένη τὰ πόθησε πάλ' ὄψετ' ὀπωπή,
τοῖς ἐνὶ μνησαμένοις οὐκ ἄγαθ' ἀνδράσ' ἐμοί.
καὶ τὰμ' ὦτα χαρᾶς, ἀΐοντα, πεπλήσετ' ὄλεθρον,
ὀξὺν ἐγειρόντων τῶν ἐμ' ἄρηα κακῶν.
ὡς δ' ἀήττητον φοῖνιξ ἐπενκύοθε δένδρον,
οὕτως ἀνθήσει καὶ ὁ δίκαιος ἀνήρ.
ἠδὲ Κέδροιο δίκην Λιβάνῳ ἐνὶ οὔρεϊ ἄκρῳ
αὐξόμενος, νεφέων κρᾶς χεδὸν ἄρσει ἑόν.

οἱ γὰρ

οἱ γὰρ κυριακοῦ πεφυτευμένοι ἔνδοθεν οἴκου,
αὐλαῖς ἡμετέρου ἐν θαλέουσι θεοῦ.
καὶ θαλεροὶ ἔσσονται ξηροῦ ἐπὶ γήραος οὐδῷ,
πίονα ὡς νεαροὶ καρπὸν οἷοί τε φέρειν.
ὄφρ' εὐηθείης τοῦ κυρίου ἄγγελοι ὦσι,
τῆς τε δικαιοσύνης, ἣ πέτρη ἔσθ' οἱ ἐμῇ.

## ΨΑΛΜΟΣ ϞΓ.

### Ὑπόθεσις.

Σκῆπτρα θριαμβεύοντι θεοῦ θεῷ υἱέϊ Χριστῷ,
ἐγγυαλιχθῆναί φησι πανάρχα δέειν.
αὐτὰρ ὅμως ἐχθροὺς τόνδ' ἔξονθ' οἵ γε μάτην πρὸ
πειρήσουσ' ὅπλοις μιν σφετέροισι δαμεῖν.

Σκῆπτρον δεξιτερῇ βασιλήϊον ἶφι τινάσσων,
ἐκπρεπὲς ἀμφὶ δέμας κύριος εἵματ' ἔχει.
ἕσσατο ἀμπεχόνην περικαλλέ' ὁ κύριος ἀλκὴν,
χ' ὡς τὴν ἑὰς ὀσφῦς ζωνῇ, ἔδησε βίῃ.
ἀρχήν τε στήσας τὴν ὅλης ἐπὶ πείρατα γαίης,
κέκλετ' ἀκίνητον κοὐ περίτρεπτον ἔμεν.
ἐξ οὗ γένετο τὸ πᾶν ὁ τεὸς θρόνος ἔμπεδος ἔστη,
καὶ σὺ ἄναρχος ἀεὶ ζῇς, καὶ ἄληκτος ἐών.
πολλαῖς ὠκύροοι ποταμοὶ οἰδαίνουσι χαράδραις,
ἠχὴν τ' ἐρχομένοις ἱέμεναί σφι μέλει.
καὶ ῥόθι' ἀμφιβρέμεν σφέτερ' ἔνθα καὶ ἔνθα κραταιῶς,
ἐκ δίνων ἀφρὸν πουλὺν ὀρσυγομένοις.
αὐτός τε ζέει μέγα κύμασι πόντος ἀπλωὴς,
κλαγγὴν τοῖσδ' αἰνὴν δυσκελάδοισιν ἱείς.

ἀλλὰ κράτος σφείων ναέτης ὁ τοῦ αἰθέρος ἄκρου
μεῖζον, ὃ πάντα μόνος, κύριος ἴσχει, ἔχων.
ἄξια πιστοσύνης τὰ σὰ θέσφατα κάρτα τέτυκται,
καλλοσύνη μεγάρου ἔσθ' ἁγίασμα τεοῦ.
καὶ τὸ σὸν ἱρὸν ἐὸν καὶ ἅγιον δῶμ' οὔποτε λήξει,
εἰς τὸν ἄμοιρον ὅλως τέρματος ὄντα χρόνον.

## ΨΑΛΜΟΣ ϞΔ.

### Ὑπόθεσις.

Τῆς περὶ τῶν θείων διδαχῆς δηλήμοσιν ὀρθῆς,
ἐγκαλέει ψυχῶν ταῦτ' ὀλετῆρσιν ἔπι.
καί σφιν ἀπειλοῦντα κρίσιν ἐκ θεοῦ ἰθυνεῖται,
τοῖσι παρηγορέειν εὐσεβέεσσι φέρει.

Ἔκδικον ὄμμ' ἴσχων, ἴσχων θεὸς ἔκδικον ὄμμα,
ἐν τόσσαις μελέοις ἄμμι φάεινε δύαις.
ὄρσεο ὦ πάσης κριτὰ τῆς χθονὸς, ἀνδράσι γαύροις
ἆθλ' ὑπερηνορέης ἄξια πᾶσι δίδων.
πόσσον ἐπὶ χρόνον οἱ ὁσίης θεὸς ἄμμοροι ἄνδρες,
πόσσον ἔσοντ' ἀσεβεῖς οἰδαλέ' ὧδε χρόνον;
ἤματ' ἀπηλεγέως πόσα μῦθον ἀπηνέα φήσει
πᾶσιν, ὅτῳ ῥέζειν ἔργ' ἀθέμιστα μέλει;
σὸν κεραΐζουσιν λαὸν θεοῦ νηλέϊ χαλκῷ,
πήματα κληρονόμοις πολλὰ φέρουσι τεοῖς.
κτείνουσιν χήρας, καὶ ξείνους, ἠδὲ τοκήων
ἄθλια τῶν σφετέρων ὀρφαν' ἐόντα τέκη.
τοῖα δ' ῥέξαντες τολμῶσι πιφαυσκέμεν ἔμπης,
οὐ μέλει εἰς τάδ' ὁρᾶν σῷ Ἰάκωβε θεῷ.

Φράξατ' ἐπιστήμης ὦ νήπι' ἐν ἀνδράσιν ἄνδρες,
  τίς σοφίην οἴσει ὦ ἄσοφ' ὔμμι χρόνος;
πῶς ἂν κωφὸς ἔῃ ἀκουὴν ὁ βροτοῖσι φυτεύσας;
  πῶς ἂν τυφλὸς ἔῃ ὄμμ' ὁ βροτοῖσι πλάσας;
ἔθνε' ὁ παιδεύων, ὁ διδοὺς μερόπεσσι φρόνησιν,
  πῶς κεν τὰς ὑμέων τλαίη ἀτασθαλίας;
κύριος ἀνδρομέης πᾶσαν φρενὸς οἶδε μενοινὴν,
  σοῦ μιν γιγνώσκων χρῆμα μάταιον ἔμεν.
ὡς μάκαρ ἐστὶν ἀνὴρ τὸν παιδευθέντα διδάσκεις
  ῥητά σου ἐντολέων κύριε ἱρὰ τεῶν.
θυμὸν ἐνὶ φρεσ' ὅπως ὃν ἀκηλὸν ἔχῃ ἄλγεα πάσχων,
  εἰσόκε τῷ ἀσεβεῖ ἀνδρὶ γένοιτο βόθρος.
οὐ γὰρ ἀπορρίψει τὸν ἑοῖ φίλον ἔξοχα λαὸν,
  οὐ κτεάνων προδότης κύριος ἔσσεθ' ἑῶν.
ὅττι δικαιοσύνη νικήσει κρινομένη περ,
  τὴν μέτα πᾶς βήσει κῆρ βροτὸς εὐθὺ λαχών.
τίς μοι οὐχ ὁσίοις πολεμήσοντ' ἀνδράσ' ἀρήξει;
  μαρναμένοιο κακοῖς τίς σχεδὸν ἔσσετ' ἐμοῦ;
εἰ μὴ ἀοσσητήρ μοι ὁ πᾶσιν ἅμ' ἔπλετ' ἀνάσσων,
  κεῖτο ἐν ἀφθόγγοις ψυχὴ ἂν ἤδε δόμοις.
αὐτὰρ ὀλισθηροὺς ὁσάκις πόδας ἴσχεμεν εἶπον,
  τοσσάκι γέντο τεὴ αὖ μοι ὄρεισμα χάρις.
καὶ χαλεποῖσιν ἐμοῦ φθινύθοντος κήδεσι θυμοῦ,
  σός μοι ἀνάψυξις μείλιχος ἦε λόγος.
μῶν πόθ' ὁμοφρονέειν μέλλεις ἀβροτήμονι ἐσμῷ,
  ὃς τὸν παντώλῃ ἔλλαχε θῶκον ἔχειν;
ὅς τε δόλους ῥάπτει, καὶ μήδεα λυγρὰ μενοινᾷ,

καὶ κίβδηλα νόμου σοῦ πέρι πλάττει ἔπη.
ἔσσονται ψυχῆς ἧς ἄνδρα δίκαιον ἀμέρσαι,
αἷμα κατακτεῖναί σφιν τὸ ἀθῷον ἁδεῖ.
αὐτὰρ ἐμοὶ σωτὴρ, καὶ ἀμύντωρ κύριός ἐστι,
αὐτὰρ ἐμοὶ σκόπελος στερρὸς ἅτ' ἐστὶ θεός.
ἀνδράσιν ὃς δεινὴν ἀνόμοις ἐπιθήσει ἀμοιβὴν,
λυγρὸν ἐπὶ σφετέραις οἶτον ἀτασθαλίαις.
κύριος ἡμέτερος θεὸς ὢν σφέας αὐτὸς ὀλέσσει,
ῥεκτῆρες πολλῶν ὅττι γένοντο κακῶν.

## ΨΑΛΜΟΣ ϟΕ.

### Ὑπόθεσις.

Γίστει τῷ ἀτρεκεῖ θεοῦ ἄχρονον υἱέα χριστὸν,
ἡμᾶς λάζεσθαι κέκλεθ' ὁ θεῖος ἀνήρ.
οὗτος γὰρ θεός ἐστι μόνος θρησκευτέος ἡμῖν,
καὶ προβάτων βόσκει ᾧ λόγῳ ἄμμε δίκην.

Δεῦτε τῷ ἡμετέρῳ ἵν' ἀγαλλιασώμεθα πάντες
κυρίῳ ἀενάῳ μούνῳ ἐόντι θεῷ.
δεῦτ' ἀλαλάξοντες κείνῳ, τῷ σώζεμεν αἰεὶ,
τῷ θ' ὑπερασπίζειν τλήμονας ἄμμε μέλει.
σὺν χαρίτεσσι φίλαις ἄφαρ ὀρχώμεσθα πρὸς αὐτὸν,
μουσίζοντες ἑοὶ καλὰ γαύου μέτ' ἔπη.
ὅττι μέγας θεός ἐστι, θεῶν βασιλεύς τε ἁπάντων
ἰσχυρὸς, ὃς μοῦνος κύριος εὔχετ' ἔμεν.
οὕνεκ' ἐν ᾗς παλάμῃς τῆς γαίης γεῖτα κατίσχει,
καὶ τῶν ἠλιβάτων πάντα τὰ κράατ' ὀρῶν.
ἠδ' ἅλα δῖαν ἑῇς τὴν χερσ' ἔκτισε καὶ αὐτὴν,

τήν τ'

τήν τ' ἤπειρον ἑῆς θέσφατον ὄργμα βίης.
Τῷ δ' οὖν προσκυνέειν, τῷ δ' εἰς χθόνα γούνατα κάμπτειν,
τόν δ' ἱκετευέμεναι, ἴομεν ὦκα θεόν.
καὶ γὰρ ποιητὴς ἡμῶν πέλει ἠὔτε πάντων,
οὐδ' ἢ παρὲξ θεὸς αὖ τοῦδέ τις ἄμμιν ἔῃ.
ἡμεῖς δ' αὖ λαὸς τὸν ἐν οἷς λειμῶσι νομεύει,
καὐτρεφέες ζαθέου πώεός ἐσμεν ὄϊς.
τοὔνεκα πευθόμενοι τὴν κείνου σήμερον αὐδήν,
μὴ σκληροκραδίης ἔμμοροι ἔστε πάλιν.
μήτ' ἔχετ' ἀδμήτοις ἅτε λάϊνον ἐν φρεσὶ θυμόν,
ὥσπερ τῆς Μερίβης γέντο πάλ' ἐντὸς ὅρων.
καὶ γαίῃ ναετῶν Μάσῃ τελεθούσῃ ἐρήμῳ,
πειρήτιζαν ἐμοῦ οἱ σφέτεροι ὅτε πάτρες.
καὶ δοκιμάσαντές με χεροῖν ἴδον ὄργματ' ἐμοῖιν,
τοῖς κε δύναιτο τελεῖν ἐμφερὲς οὔτις ἀνήρ.
οὗτοι ἐπεὶ τετράκις δι' ἐτῶν δέκ' ἀπειθέες ὄντες,
οὐ λῆξαν σφοδρῶς κῆρ ἀνιῶντες ἐμόν·
σφῶν τὸ τελευταῖον περὶ μῦθον τοῖον ἔειπον,
ἀνδράσι πλαγκτοσύνης πάντοτε τοῖσδε μέλει.
καὶ σφισὶν ἡ κραδίη ἀλάληται ἐν ἦτορ ἀλήτως,
οὔθ' ἠβαιὸν ἐμῶν γνώσιος ἵενθ' ὁδῶν.
καὶ μέγα χωόμενος τοὺς ὤμοσα· οὐ μὴ ἀθρήσειν
μέλλουσ' ἡσυχίην τῆς περ ἄκουσαν ἐμήν.

## ΨΑΛΜΟΣ ϞϚ.

### Ὑπόθεσις.

Ταῦτα προφητεύει τοῦ κόσμου ἀν' ἤθεα χριστόν,

ἔθνεσ' ἐν ἐξέμεναι παντοδαποῖσι κράτος.
καί μιν προσκυνέειν ἐπιτέλλει ἐν εἵμασ' ἀχράντοις
πᾶσιν τὸν γαίης αἴσιμον ὄντα κριτήν.

Σύμφων' ἀθανάτῳ καινὴν ἣν ἀείδετ' ἀοιδήν,
μητίζεσθε νόμοις ἠδὲ νέοισι θεῷ.
πάντες ἀπειρεσίης ὅσ' οἰκία θῆκατ' ἐπ' αἴης,
μέμνησθ' ᾄδοντες τῷ θεῷ ἦρα φέρειν.
τίσατ' ὀφειλόμενον γέρας οἵ τι μέλισμα, δότ' αἶνον
οὐνόματ', οὗ θνητοῖς σεπτοῦ ἅπασι λάχον.
πάντοθι συνεχέως ἀγγέλλετε, ὅττι σαωτὴρ
δειλῷ τῷ μερόπων ἤπιός ἐστι γένει.
κῦδ' ἔχει, ἐν πᾶσιν διαφημήσατ' ἔθνεσι, δόξαν.
εἴπατε θαυμαστῶς παντὶ τὰ ῥέξε λεῷ.
ὅττι μέγιστος, ὅτι σφόδρ' ἐπαινετὸς ἠδὲ θεητὸς,
μᾶλλον ξυμπάντων κύριός ἐστι θεῶν.
οἱ γὰρ τῶν ἐθνῶν ἰνδάλματα δαίμονές εἰσι,
κύριος οὐρανίους δ' ᾗ χερὶ τεῦξε δόμους.
τοῦ κάλλος καὶ μαρμαρυγὴ προπάροιθε τέτυκται,
τοῦ μεγαλοπρεπίην νηὸς ἰδ' ἰσχὺν ἔχει.
ὦ λαῶν πατριαὶ παντοίων δοῦτε, φέρουσαι
τιμὴν καὶ δόξαν τήν κεν ἔχητε θεῷ.
δοῦτ' ἄρ' ἑοῖ δόξαν, τῆς ἄξιόν ἐστι, φέρουσαι,
οὔνομα κύδιστον τὸ σφόδρα χαίρετ' ἔχων.
καὶ δῶρ' ὑμμετέροις χερσ' ἀγλαότιμα λαβοῦσαι,
ὄρχεσθ' εἰς ἱεροῦ τὰ πρόθυρ' εὖ δόμου.
ἐννύμεναι δ' ἁγίαις γουνεῖσθέ μιν ἀμπεχόνῃσι,
ῥιγεδανὸν πάσῃ τὸν χθονὶ ὄντα θεόν.

ἔθνεσι πᾶσι, βροτῶν τόδε πᾶσ' ἐνὶ βάζετε φύλοις,
 κύριος ὅττι μόνος σκῆπτρα λέλογχε φορεῖν.
χ' ἣν τείνουσαν ὅλης βασιλείαν πείρατ' ἐπ' αἴης
 ἔντυν', ἀστεμφῶς ὥστε μιν αἰὲν ἔχειν.
ἰθείαις τε δίκαις ὅτι λαὸν ἅπαντα δικάζει,
 οὔτι, δικαιοσύνης νόσφιν ὅ γ' ἔντο, φόβων.
εὐφραινέσθωσαν πτύχες οὐρανοῦ ἄλλαι ἐπ' ἄλλαις,
 χάρματ' ἀγαλλέσθω γῆς πλατὺ νῶτον ὅλης.
πόντος κυμαίνων ἐρίδουπον ἰαλλέτω ἦχον,
 καὶ τοῦδ' ἔνδον ἔχει νηχόμεν' ὅσσα βίον.
ἀγρὸς ἰανθήτω πᾶς γήθει, πᾶσά τε βήσση,
 κἄνθε' ὅσ' ἡ βήσση, λήϊ' ὅσ' ἀγρὸς ἔχει.
καὶ πᾶσ' εὐφροσύνης ἀλαλαξέτω ἔμπλεος ὕλη,
 δένδρεά τ' ἐν πυκινοῖς ἄλσεσιν ὅσσα φύει.
καὶ τόδ' ἐνωπῇ θεοῦ, ὃς ἀπ' αἰθέρος ἥκει ἐς αἶαν,
 χ' ὃς ναέτας κρίνειν τῆς χθονὸς ὄρχεθ' ὅλης.
ἐν γ' δικαιοσύνῃ τὰ ἐπὶ χθονὶ πάντα δικάσσει,
 καὶ νημερτείῃ λαὸν ἅπαντα κρινεῖ.

## ΨΑΛΜΟΣ ϞΖ.

Ὑπόθεσις.

Ἐθνῶν θεσπίζει ξυνάπαντων ἀρχὸν ἔσεσθαι,
 τὸν τοῦ ἀενάου ἐγγεγαῶτα θεοῦ.
ἀμφὶ τὸν ἐνδικίῃ ὁσίοις σωτήριος ἴσχει,
 καὶ μόνος ἀτηροῦ τοῖσι κακοῖσι πυρός.

Ἡνία τοῦ παντὸς μετὰ χερσὶν ὁ κύριος ἴσχει,
 τῷ χθονὸς ἠδ' ἔρη οὖδας ἄπειρον ὅλης.

καὶ νῆσ᾽ εὐφροσύνας ὀχέοιεν, ἀγαστόνου ἔνδον
  ὅσσ᾽ ἁλὸς ἀενάοις ἀμφίρυτ᾽ εἰσὶ ῥόοις.
κυκληδὸν νεφέλαις περιέστεπτ᾽ ἠδὲ ὁμίχλῃ,
  ἐστήριξε κρίσει ὃν θρόνον ἠδὲ δίκῃ.
ἡφαίστοιο μένος προάγει μιν, ἅπαντας ἀναῖθον
  τῶν περιναιετέων ἐχθρὰ φρονοῦντας ἑοῖ.
λάμπει ἐπ᾽ εὐρεῖαν αὐτοῖο ἡ ἀστραπὴ αἶαν,
  καί μιν ὁρῶσα δέει χθὼν τάχ᾽ ἅπασα τρέμει.
κυριακοῦ ῥέει τηχθέντα πάροιθε προσώπου
  οὔρεα, ὡς κηρὸς τοῦ πυρὸς ἐγγὺς ἐών.
οὐδέ τι θαυμαστὸν, κτίστης ἐπεὶ οἶος ἁπάντων,
  τῆς τ᾽ αἴης ὁ θεὸς κοίρανός ἐστιν ὅλης.
εἰσὶ δικαιοσύνης οἱ οὐρανοὶ ἀξιόπιστοι
  μάρτυρες, κὴν βροτέῳ προῖκα δίδωσι γένει.
οὐδέ τις ἐστὶ λεὼς, πολλῶν περ ἐπ᾽ αἶαν ἐόντων,
  τὸν, κεῖνος δόξης ἔμμορ᾽ ὅσης, κε λάθῃ.
αἰσχρὸν ἔρευθος ἕλοι τοὺς γλυπτῶν λάτρειας ὄντας,
  οἷς τε καλὸν δοκέει τὰ ξόαν᾽ ὄργμα σέβειν.
πρόχνυ καθεζόμενοι ἅμα πάντες τοῦδε δέεσθε
  ὦ θεοὶ, ἠγαθέης ἐνδεέες ἢ βίης.
πεύσατο ταῦτα Σιὼν, καὶ πευσαμένη μέγ᾽ ἰάνθη,
  τάς τε Ἰουδαίας γῆθος ὑπῆλθε κόρας.
κρίμασιν οὐ σκολιοῖς ἐπεὶ ἦ φίλε κύριε πάντας
  ἰθύνεις, γαίης ἔνθα καὶ ἔνθα, βροτούς.
ἀρχὴν ἀρχάων γὰρ ἔχεις πολὺ μείζονα πασῶν,
  σοῦ τ᾽ ἄλλοι πάντες μείονές εἰσι θεοί.
ὅσσοι ἐν θυμοῦ τὸν κύριον ἐστὲ φιλοῦντες,

μισεῖτ᾽

μισεῖτ᾽ ἐχθρὸν ἐοὶ πᾶν τὸ πονηρὸν ἐόν.
φρουρεῖ τῶν ὁσίων ψυχὰς θεοειδέας ἀνδρῶν,
ἐκ τ᾽ ἀσεβῶν σώζει κύριος ἶφι χερῶν.
ἀθρήσουσι τέλους φάος ἄνδρες νόσφι δίκαιοι,
χ᾽ ἵμερθ᾽ οἱ κραδιῶν ἔμμορ᾽ ἀπειροκάκων.
ὦ ἄγαθ᾽ εὐφροσύνης ἐπὶ κυρίῳ ἔμπλεῳ ἔστε,
κὐεκέως θ᾽ ἅγιον κλείεθ᾽ ἐόντα θεόν.

## ΨΑΛΜΟΣ ϞΗ.

### Ὑπόθεσις.

Αὐτὰ περὶ Χριστοῦ πατρὸς ἤπυε, ταῦτα πιφαύσκει
καὶ νῦν, μαντοσύνης ὦ κε θεοῦ ἴδρις ἀνήρ.
τὴν αὐτοῦ κλείων σωτήριον ἀνδράσι νίκην,
κἀνώγων χαρίτων οἱ γοῦρας ἄμμε φόρειν.

Ἆσμα νέον τοῦ μηδὲν ἔην γλυκερώτερον ἄλλο
ᾄσατ᾽ ἐπεὶ ῥέζει θαυμάσι᾽ ἔργα, θεῷ.
δεξιτερὴ πάντων τῇ ἔῃ περιγίγνεται ἐχθρῶν,
καὶ σθένος ἐν ζαθέῳ κοῦ βραχίον᾽ ἔχει.
ἡ θεοῦ ἐκ θεόθεν δήλη σωτηρίη ἐστι,
ἥτε φατὴ λαοῖς οὖσα δικαιοσύνη.
καὶ γὰρ ἑῆς μέμνητ᾽ ἐλεητύος ἀτρεκίης τε,
Ἰσραηλίταις τοῖς γένος οὖσι βροτοῖς.
καὶ τὸ ἑὸν δειλοῖσι βροτοῖς σωτήριον ἔργον,
πείρασι γῆς ποιεῖ πᾶσ᾽ ἐπίοπτον ἔμεν:
γῆς ἀλαλαγμὸν ὅλης τῷ κυρίῳ ἄρσατ᾽ ἔνοικοι,
ψάλλετ᾽ ἀγαλλόμενοι, μέλψαθ᾽ οἱ ἐσθλὰ μέλη.
αἰνεῖτ᾽ εὐφθόγγοις κιθάραις μιν χερσὶν ὀχοῦντες,

ᾄδοντές τε καλαῖς ᾆσμα πρὸς ἡδὺ λύραις.
σάλπιγξίν τ' ἐλαταῖς κεράων τ' ἐκ γεινομένοισι
χρώμεν', ἄνακτι κρότον χοροὶ δότ' ὄντι θεῷ.
βεβρύχοιεν ἁλὸς ῥόθι' αἰνῶς κύματα δίνης,
καὶ ψόφος εἰνάλιον πᾶν γένος αὐτίχ' ἕλοι.
γῆ τε χαρᾷ σκαίροι χ' ἡ πυρφόρος, ἠδ' ἡ ἄκαρπος.
καὶ πᾶς ὃς γαίης οἶκον ὑπόρτιν ἔχει.
χ' οἱ πόταμ' ὡς παλαμῶν κροτέοιεν ἐπήβολ' ἐόντες,
κοὔρε' ἀγαλλιάσει ὕψι κάρηνα βρέμοι.
ταῦτα δὲ πρόσθε θεοῦ τοῦ πάντα γένοιτο κρατοῦντος,
ξυμπάσης κρινέων ἤθε' ὃς ἵκετ' ὄρας.
καί ῥα δίκαιος ἐὼν κρινέει μάλα πάντα δικαίως,
ἰθεῖάν τε δίκην πᾶσι λεῷσι νεμεῖ.

## ΨΑΛΜΟΣ ϙθ.

### Ὑπόθεσις.

Χρὴ θεῷ ἀλλεέως λατρευέμεν ἀμφαδίην τε,
κἂν σκύζοιντο βροτῶν οἱ μεγάλ' οἵτε μικροί.
χρὴ δ' ἐγγεραιρέμεναι χαρίτεσσί μιν ἐμμενὲς αὐτόν,
ἱερουργὸς διδαχῆς ὅττι δίδωσιν ἑῆς.

Κύριος ὑψιμέδων βασιληΐῳ ἐν θρόνῳ ἧσται,
ἔθνεα τὸ ζαμενὴς ἔλλαβ' ἰδόντα χόλος.
ὅττι τε θῶκον ἐπὶ πτερόεντων θῆκε χερουβίμ,
ἣ τὸ πάροιθ' ἀτρέμας οὖσα, μάλ' αἶα τρομεῖ.
κύριος ἧς ὁ θεὸς μέγας ὢν ἐφύπερθε Σιῶνος,
ἀκρότατος λαῶν ἐστὶν ὅσ' εἰσὶ θεός.
σῷ μεγάλῳ, σῷ θαυμασίῳ πάντ' ἔργα φέροιεν

ὕμνε

οὐνόματ' ὅττ' ἅγιον καὶ ὄβριμόν τε πέλει.
τοίοις δ' οὗτος ἄναξ κατὰ μοῖραν ἐν ἀνδράσ' ἀνάσσει,
οἷσι δίκην ἀρετὸν, καὶ θέμιν ἐστὶ σέβειν.
καὶ σὺ νόμαια δρᾶν καὶ χρηστὰ καὶ ἔνδικ' ἔθιζες,
ὦ Ἰακωβείου σφᾶς ἄνα κυδρὲ δόμου.
ἡμέτερον θεὸν ὄντα κλυτοῖς τὸν κύριον ὕμνοις,
οἰκηταὶ πάντες γῆς μεγαλύναθ' ὅλης.
κἀπειδὴ μηδεὶς ἁγιώτερός ἐστιν ἐκείνου,
κείμενοι ἐς ζαθέων πρόσθε γονεῖσθε ποδῶν.
δοιὼ ἀδελφειὼ Μωσῆς εἷς, εἷς θ' ὁ Ἀαρὼν,
ῥέξανθ' ἱερῆτιν πολλὰ καὶ ἐσθλὰ θεῷ.
χ' ὡ Σαμουὴλ σοῦ μαντοσυνέων φῶς θέσκελος εἰδὼς,
οὐνόματος θείου ξυνὸν λατρείεσιν ἔην.
οὗτοι καὶ αὐτοὶ τὸν κύριον ἀγκαλέσαντο,
αὖτε καλέσαντες τῶν πόθος ἦν σφι τύχον.
κίονι εἰδομένης νεφέλης ἄπο τοῖσδε γεγώνει
αὐτὸς, ἐπεὶ ζαθέων οὐκ ἀθέριξαν ἐπῶν.
οὔτε παρέκβησαν τῶν μαρτυρίων τε νόμων τε,
τῶν φυλακῆς πιστὸς σφᾶς ἐκέλευσεν ἔμεν.
κύριε λισσομένων σὺ τεὶν ῥα ἐσάκουες αὐτῶν,
ὃς καὶ ἡμέτερος ζῶν ἀεὶ ἐσσὶ θεός.
καὶ πρηῢς καὶ μειλίχιος σφᾶς ἔπλεο τίνων,
ὁσσάκις ἔρρεξαν στυγνά τιν' ἔργα τεΐν.
τὸν μέγαν σὺν κελάδοις ὑψώσατε κύριον αἴνοις,
κύριον ἡμέτερον πάντοτ' ἐόντα θεόν.
πρός τε κυνεῖθ' ἁγίῳ ἅγιον νιν ἐν οὔρεϊ ὄντα,
οὐχ' αἰπεινὸν ἀεὶ γηθεῖ ἕδεθλον ἔχων.

ΨΑΛ-

## ΨΑΛΜΟΣ Ρ.

### Ὑπόθεσις.

Χριστῷ ἀγάλλεσθαι, καινοῖς τὸν Χριστὸν ἐπαίνοις
κλείειν τὸν δώτηρα κέκλετ' ἐόντα βίου.
Οὕνεκα μειλίχιος καὶ ἠπιόθυμος ἀλήκτως
ἐστίν, ἀληθοσύνης τ' εὐμενίης τε πλέος.

Γῆς ὅσοι οἰκητῆς οἰκήτορες ἀνέρες ἐστέ,
δεῦτ' ἀλαλάξοντες χαρμοσύνῃσι θεῷ.
γηθόσυν' ὡς θέμις ἐστὶ θεὸν λατρεύετ' ἐόντες,
καὶ φρέσ' ἀγαλλόμενοι βῆθ' οἱ ἐς ὦπα μολεῖν.
γνῶτε θεὸς πᾶν κάρτος ἔχων ὅθ' ὁ κύριός ἐστιν,
ὃς χερὶ μορφώσας ἄμμε ποίησεν ἑῇ.
οὐ γὰρ ποιηταὶ γενόμεσθ' ἄποθ' ἡμέες ἡμῶν
αὐτοί, ἀτὰρ κρατεροῦ θέσκελον ἔργμα θεοῦ.
ἔργμα τὸ πλάσσε λεὼν φίλον ἔμμεν' οἱ ἤματα πάντα,
μῆλά τε, τῶν ποιμὴν αὐτὸς ἀεί κεν ἔῃ.
εἴσιτε σὺν χαρίτεσσι πύλας, ὑμνοῦντες ἐς αὐλὰς
στείχεθ' ὅπου μέγαρον θέσφατον ἵζετ' ἔχων.
εὖ τε χαριστοῦντες γλυκυθροΐσιν οἱ αὐτόθ' ἀοιδαῖς,
κλείεθ' ὅτ' οὔνομ' ἔχει τῇ χθόν' ἀγαστὸν ὅλῃ,
καὶ γὰρ εὔσπλαγχνος, καὶ νωλεμέως ἐλεήμων,
καὶ πλέος ἀτρεκίης κυενές ἐστι θεός.

## ΨΑΛΜΟΣ ΡΑ.

### Ὑπόθεσις.

Ὁπποίης μήτ' ἐξείη, μήτ' ἄνσχετον εἴη,

δώμα-

δώμασιν ἐν σφετέροις τοῖς βασιλεῦσιν ἔχειν:
πᾶσιν νουθετέει πινυτῶς τοῖς ποιμέσι λαῶν,
τοῦτ' αὐλῆς δηλῶν τῷ παραδείγματ' ἑῆς.

Τῆς χάριτός τε πέρι κρίσιός τε μελίσσομ' ἀείδων,
κύριε σοὶ ψαλμὸν φωνῇ ὀρσύξομ' ἐμῇ.
ἀψεγέως, καὶ ἐπιφραδέως σὺν τοῖσδεσ' ὁμιλῶ,
τοῖσι διαμπερέως δεῖ με σὺν ἀνδράσ' ἔμεν.
τοὐμὸν ὁλοκλήρῃ κραδίῃ πᾶν δῶμα κυβερνῶ,
οὔτε νόμου δίχ' ἐμαῖς ἔν τι φρένεσι τιθῶ.
ᾧ τιν' ὑπερβασίης μέλεται, κακὸν ἄνδρα δι' ἔχθους
ἴσχω, μήτ' ἐγγύς μου ποτὲ βήμεν' ἐῶ.
τηλόσ' ἐμεῖο φυγεῖν σκολιαῖς πραπίδεσσι κελεύω,
οὐχ' ἕταρον ποιῶ κῆρ τι πονηρὸν ἐμοί.
τὸν πέλας ἄνδρα κακῶς ὅστις λάθρῃ δὲ φατίζει,
τόνδε κακῶς φθῖσαί μοι κακὸν ὄντα μέλει.
μήτε με ἤρεσ' ἀνὴρ ὑπερήφανος ὀφρὺν ἀνέλκων,
καὶ μεγαλοφρονέων ἐν κραδίῃ τις ἔῃ.
ὄμμασι παπταίνω τοὺς πιστοὺς, αἴκε ποθ' εὕρω,
ὄφρα συνέστ' ἐμοὶ πάντα παρ' ὦσι χρόνον.
καὶ μοὶ ὑποδρηστῆρας ἔμεν τοὺς δ' ἔξοχα χαίρω,
τῶν τρόπος οὐ μεμπτὸς, τῶν ἄκακ' εἰσὶ φρένες.
τοὺς δὲ δόλους ῥάπτειν οὖ εἰδότας ἠπεροπῆας,
ἕρκεος οὐκ ἔσω ναιέμεν ἔνδοθ' ἐμοῦ.
οὐδείς θ' ᾧ βάζειν κατὰ θυμὸν ψεύδε' ἀρέσκει,
δὴν παρὸς ὀφθαλμοῖιν ἕξετ' ἐμοῖιν ἕδος.
οὐ μετὰ δὴν ἀσεβεῖς ἐπὶ τῇ χθονὶ πάντας ὀλέσσω,
μηδὲν ὅπως ἄνομον θείῃ ἐνὶ κε πόλει.

ΨΑΛ-

# ΨΑΛΜΟΣ ΡΒ.

## Ὑπόθεσις.

Καρδιόθεν στοναχὰς προϊέντες ὀδυρόμενοί τε
τοῖα λέγον συχνῶς οἱ πατριάρχαι ἔπη.
ὄρχεσθ' εὐχόμενοι τὸν δώσονθ' ἱερ' ἄποινα,
πάσης τῆς αὐτῶν τῷ θεῷ ἀμπλακίης.

Κλῦθι ἀπὸ κραδίης τάς σοι μεγάλ' ἄλγε' ἐχούσης,
κραυγῇ σὺν πολλῇ κύει ἵημι λιτάς.
κὤτε βοὴν τεύχω σοῖν ἔμπλην βήμεναι ὠτοῖν,
τὰμὰ φαείνουσάν σοι μελεδήματ' ἔα.
μήτ' ἀπ' ἐμεῖο τεὸν μελέοιο πρόσωπον ὀρύκοις,
κάλλιον οὗ κόσμος μηδὲν ὁ εὐρὺς ἔχει.
αὐτὰρ ὀϊζυρῶς μοι ἔχοντι πρὸς ὦτα σέθ' ἴσχοις,
εὐχομένου τ' ἀΐοις ἄφνω ἐμεῖο τεΐν.
καὶ γὰρ ἐμὸς καπνοῖο δίκην βίος ᾤχετ' ἐς αὔρας,
ὀστέα τε φρύγει πάνθ' ἅτε δαλὸς ἐμοί.
τριπτὸν καὶ ξηρῷ κέαρ ἐμφερὲς ἔμμορα χόρτῳ,
οὔτε φαγεῖν τὶ ἐμοὶ φροντὶς ἔτ' οὔτε πιεῖν.
χ' οὕτω καὶ στοναχαῖς καὶ δάκρυσι θυμὸν ὀρέχθω,
ὥστε μόγις κινητ' ὀστᾶ ἔτ' ἔμμεν' ἐμοί.
ὥς τις ὀνοκρόταλος γενόμην φίλος ὄρνις ἐρήμων,
ὡσεὶ ἐν οἰκοπέδῳ νυκτικόραξ τις ἔω.
εἴκελος οὖν κνώσσων ἐπὶ δώματος ἡμένῳ εἰμὶ
οἰωνῷ, μηδεὶς τοῦ πέλας ἄλλος ἔβη.
κερτομίοις ὀνοτάζουσίν με πανήμερ' οἱ ἐχθροί,
πᾶς θ' ὅ μοι ἐγγελόων ὅρκον ἐμ' ἴσχει ἀνήρ.

καὶ

καὶ σποδὸν ὡς πύρνον, κονιορτὸν ἅτ' ἄλφιτον ἐσθίω,
    πίνω μιχθεῖσαν σὺν δακρύοισι πόσιν.
καὶ τόδ' ἕκητι τεῆς ὀργῆς θ' ὁμοκλῆς τε, ὅτ' ἄρσας
    ὕψι με, κεῖθε πάλιν κάββαλες εἰς τὸ κάτω.
τἀμὰ παρῴχηνται καθάπερ σκιὰ ἤματ' ἀμυδρή,
    κἀγὼ ξηράνθην χόρτος ἅτ' αὖος ἐών.
σὺ δ' ἐς ἄμοιρα μόνος τέλεος θεὸς ἤματα μίμνεις,
    καὶ σέο παντὶ χρόνῳ μνήμονας ἄνδρας ἔχεις.
ὄρσεο, καὶ μελέην ἐλέαιρε Σιὼν ἐλεαίρειν,
    ὅττι μιν σύκαιρος νυνὶ μάλ' ἦλθε χρόνος.
ὥριος ἦλθε χρόνος μάλα νῦν, τῷ σωζέμεν αὐτήν,
    χρή σε κτῆμα τεὸν καὶ σὸν ἐοῦσαν ἕδος.
οἰκοδομηθῆναι γὰρ ὁμόφρονι πάντες ἐκείνην
    θυμῷ, οἱ δοῦλοι κάρτα ποθοῦσι τεοί.
ὅττι δ' ἔχ' ἡδομένοις μᾶλλόν σφισι χρῆμα γένοιτο,
    τοῦ τὰ πρὸς οἰκοδομὴν πάντα παρ' σύνθετ' ἔμεν.
ἔθνεα πάντα τεὸν φοβέωνται οὔνομ' ἐπ' αἴης,
    σῆς τ' ἀλέγῃ δόξης ἐν βασιλεῦς χθόν' ἅπας.
τοῦθ' ὁρόων ὅτι δωμήτωρ θεός ἐστι Σιῶνος,
    κἀν δόξῃ θνητοῖς φαίνεθ' ἧ αὖτε βροτοῖς.
καὶ ταῖς τῶν ταλαῶν οἰκτραῖς σχεδὸν εἶσι προσευχαῖς,
    οὔτ' ἀθερίζει ἀνὴρ ἐλλίσαθ' ὅσα πονίης.
ταῦτα δὲ γραφθήτω βίβλοις ἐνὶ πουλυελίκτοις,
    ἐσσόμεν' ἐσσομένοις ἔσθ' ὅτε δῆλα βροτοῖς.
ὅππως ὀψίγονοι οἱ οὔπω ἐς ἥλιον εἶδον,
    αἰνίζοιεν ὅλῃ ἐν βιοτῆτι θεόν.
καὶ γὰρ τῆς ἁγίης σκοπιάζει ἀφ' ἧς περιωπῆς,

αἰθε-

αἰθερίης τ' ἀφ' ἕδρης κύριος εἰς χθόν' ὁρᾷ.
ὅππως τὰς στοναχὰς ἀΐῃ τῶν δεσμὰ φορεύντων,
καὶ περὶ τοῖσδε ποιῇ τῶν μόρος ἐγγὺς ἔβη.
ὄφρα σιωνέῳ μιν κηρύσσωσιν ἐν οὔρει,
ἔν τε φέρωσ' ἱεροῖς οἱ Σολύμοισι κλέος.
παντόθεν ἀγρομένων λαῶν, καὶ εἰς ἓν ἰόντων
τῶν αἰσυμνητέων, τῷ θεῷ ἦρα φέρειν.
ἐν μογερῷ ζωῆς ἀπαμείρει ἔμ' ἰσχύος οἴμῳ,
ἤματ' ἐμοὶ βιοτῆς οὐ πάνυ πολλὰ δίδοῖ.
πολλάκι τοῖον ἔπος προέειπα, μὴ ὦ θεὸς αἴρῃς
γῆς με ἀφ' ἡμερέων μεσσόθι δειλὸν ἐμῶν.
ἀλλὰ σὺ νωλεμέως ζώεις, ὃς γαῖαν ἀπ' ἀρχῆς,
χερσίν τ' οὐρανίων στῆσιν ἔδειμας ἕδος.
οὐρανοὶ ἔργα τεῶν παλαμῶν τηλαυγέες εἰσίν,
ἔσχατοι οἱ κόσμου παντὸς ἐόντες ὅροι.
αὐτοὶ μὲν σφέτερόν ποτε τέρμα κιχόντες ὀλοῦνται.
τὺ δ' ἐμμένεις παντὸς τέρματος ἐκτὸς ἀεί.
αὐτοὶ μέλλουσίν, τι παλαιωθῆναι ἅτ' ἔσθος,
καὶ μεταβληθῆναι πρὸς σέθεν ὥς τι ῥάκος.
ἀλλὰ σὺ τοῖος ἀεί, οἷος τὸ πρὶν ἔπλεο, μίμνεις,
ἡλικίῃ τε πέρως ἄμμορός ἐστι τεή.
σῶν μόνιμοι δούλων ἔσσονται οἱ ἐκγεγαῶτες,
καὶ σῷ τοῦτο καλῶς στήσετ' ἐν ὠπὶ γένος.

## ΨΑΛΜΟΣ ΡΓ.

### Ὑπόθεσις.

Θυμήρης θεῷ ἐστὶν ἀνὴρ ὃς ἅπαντα πρὸς αὐτὸν
ἀμφέ-

ἀμφοτέρει ὅσσ' ἴσχει, φὰς παρὰ τοῦδε λαβεῖν.
ζωὴ, εἰρήνη, σωτηρίη, εὐτυχίη τε,
πάντα τε συλλήβδην αὐτοῦ ὅτ' εἰσὶ δόσεις.

Ω Θεοειδὲς ἐμὴ ψυχὴ βρέτας ὄρσον ἔπαινον,
καὶ κλέος ἀϊδίῳ σῷ γενετῆρι θεῷ.
καὶ πάντ' ἔνδοθεν τοῦ ἐμοῖο τὰ σώματός ἐστιν,
αἰτὶ ἀοιδοσύνης θέσκελον οὔνομ' ἔχοι.
οἷσε γέρας λιγυρῶν τῷ κυρίῳ αὖθις ἀοιδῶν,
ὦ τύπος ἀρχετύπου ψυχὴ ἐοῦσα θεοῦ.
μήτ' ἐπὶ πάγχυ λάθοι ὅσα καίπερ ἀνάξιον οὖσαν,
τοῦδε φιλοφροσύνῃ μέχρι σε ῥέξεν ἑῇ.
ὅς σοι εὐσπλάγχνως ἀφίησιν ἁμαρτάδα πᾶσαν,
ὃς μελέων ἀκέει τραύματα πάντα τεῶν.
ὃς βίον ἐκ θανάτου τεὸν αἴνυται, ὅς τε σε οἰκτοῦ,
τοῖς τ' ἐλέους στεφανοῖ ἀκρεμόνεσσιν ἑοῦ.
ὃς σε παρηγορίης ἐνιπιμπλάει ἠύτ' ἐδωδῆς,
ὥστε σοι ἐκπρεπέως κάλλιμον εἶδος ἔμεν.
καὶ γηρασάσῃ νεότητά σοι αὖτε δίδωσιν,
οἷον ὑψιπέτης κεν Διὸς ὄρνις ἔχῃ.
πασχόντων ἐπιτιμήτωρ κατ' ὁ κύριός ἐστι,
κρίμασι φῦλα δυέων αἰνόμορ' οἷσι λύει.
τῷ Μωϋσῆϊ ἑὰς ἀναπύστους θῆκεν ἀγυιάς,
βουλὰς Ἰσραήλου τοῖς ἀπὸ γνώρισ' ἑάς.
οἰκτίρμων, μακρόθυμος, εὔσπλαγχνος, καὶ ἐνηής,
κῆρ τ' ἐλεημοσύνης κύριός ἐστι πλέως.
οὔτε διηνεκέως ἐρίσει, καὶ νεῖκε' ἀνάψει,
οὔτ' ἔσεται ζάκοτος, καὶ βαρύμηνις ἀεί.

οὐ κακὰ ῥέξαντας κακὰ ῥέξει ἀμοιβαδὶς ἡμᾶς,
    οὐ καθ᾽ ἁμαρτοσύνας οὖλον ἀπ᾽ ἄμμι νέμει.
ὅσσον ἐς αὐγαλέον χθονὸς ἐστὶν ἀφ᾽ ὕψος ὀλύμπου,
    τόσση ἐπ᾽ εὐσεβέων ἡ θεοῦ ἐστὶ χάρις.
χ᾽ ὅσσον ἀπ᾽ ἀντολίης δυσμὴ διενήνοχε, τόσσον
    ἀμπλακίας ἡμῶν εἴργει ἀφ᾽ ἡμετέρας.
ὡς τέκν᾽ οἰκτείρει στοργῶν περὶ κῆρι γονεύς τις,
    ὡς ἔθεν οἰκτείρει φῦλ᾽ ἀλέγοντα θεός.
οἶδε γὰρ ὁπποῖον καὶ πλάσμ᾽ ὡς ἀσθενές ἐσμεν,
    χνοῦς τε, διὰ μνήμης, ὅττι τετύγμεθ᾽, ἔχει.
χόρτῳ ὁ ἀνδρόμεος χλοερῷ βίος ἴκελός ἐστι
    καὶ κρίνῳ ἐν κήποις εὐθαλέσ᾽ ἠὲ ῥόδῳ.
τὸ ζαὴς ἄνεμος τάχ᾽ ἀμαλδύνει τις ἐπελθών,
    ὥστε γνωτὸν ἑοῖ ὃν τόπον οὐκέτ᾽ ἔμεν.
ἡ δὲ φιλοφροσύνη τοῦ κυρίου ἔμπεδος αἰεὶ
    μίμνει, ἅπασ᾽ αὐτὸν τοῖσι τρέουσι βροτοῖς.
τήν τε δικαιοσύνην τοῖς ὀψιγόνοισιν ἐκεῖνος,
    καὶ τοῖς τῶν υἱῶν υἱάσι, τηρεῖ ἑκών.
τοῖς γε φυλασσόντεσσ᾽ αὐτοῖο τὰ ὅρκια πιστῶς,
    μνωομένοις τε νόμων, τοῦ σφὶν ἀδελφὰ τελεῖν.
κύριος ἐν λαμπρῷ ἔντυνεν οἱ αἰθέρι θῶκον,
    ἀρχοῦ ταὔτ᾽ ἀρχὴν τῆς χθονὸς ἴσχει ὅλης.
ὑμνεῖτε γλυκεροῖς λιγέως τὸν κύριον ὕμνοις
    ὦ πάντες, φύσιες καρτεραί, ἄγγελ᾽ ὁμοῦ.
οἱ πάνθ᾽ ἕρδοντες τάχ᾽ ἃ βούλεται, ἠδὲ κελεύει,
    χ᾽ ἑρμηνεῖς ζαθέων παντόθ᾽ ἐόντες ἐπῶν.
ὅσος δ᾽ ἀεικλυτὸς τῷ κυρίῳ ἄρχεθ᾽ ὅμιλος,

εὐλο

εὐλογίης αὐτῷ πᾶς γέρας ἡδὺ φέροι.
κλείετε ὦ πρόπολοι τὸν κύριον, οἵτινες αὐτοῦ
ἐστὲ, καὶ ὀτρηροὶ ῥεζέμεν ὅσσα θέλει.
σοῦ ἀγορεύοιεν τὸν παμμεδέοντα ποιητὴν,
ἔργματα κεῖνος ἐπῇ ὅσσ' ἐτέλεσσε βίῃ.
σοῦ κωτίλλοιέν μιν ὅλῳ ἐνὶ πάντοθι κόσμῳ,
κὰρ τῆς κοιρανίης ἤθεσ' ἔθ' ὅσσα πέλει.
καὶ φίλε σὺ πραπίδων ὃς ἐμῶν οἰήϊα νωμᾷς,
παύεο σοῦ ἐνέπων οὔποτε θυμὲ θεόν.

## ΨΑΛΜΟΣ ΡΔ.

### Ὑπόθεσις.

Πάντα διηγεῖται τροχοειδέος ἔνδοθι κόσμου
τὰ κτίσεν, ἀνθρώποις χρήσιμ' ἐόντα θεός.
καὶ χαρίτων αὐτὸ τίνει χρέος ἱμεροφώνων,
ὅττι καὶ αὐτὸ ποιεῖν πᾶσι βροτοῖσι πρέπει.

Ψυχὴ ἄγαλμα θεοῦ θεὸν ὑψιμέδοντα σὸν αἶνε
πλάστην, καὶ κόσμου τέκτον' ἀγαυὸν ὅλου.
ὡς μετὰ πᾶσι πρέπεις ἀρετήν τε ἅμ' ἀγλαΐην τε,
ὡς μάλα κυδάλιμος καὶ μέγας ἐσσὶ θεός.
φῶς περὶ τηλαυγὲς, φῶς κάλλιον ἠελίοιο
ἀμπέχει, ἀργυφέης ἀμπεχόνης σὲ δίκην.
τὰς πτύχας ἐκτανύεις τοῦ ἀστερόεντος ὀλύμπου,
κόσμου ἐλύμαθ' ὅλου, ὡς δάπιν ἠὲ δορήν.
ὕψ' ὀροφήν θ' ὑπερῴοισιν σοῖς ὕδατα τεύχεις,
ἠδ' ἐπὶ τῶν νεφέων ἠΰτε δίφρου ἐλᾷς.
καὶ ποσὶν αἰψηροῖς θείειν πολὺ φέρτερος ἐσσὶ

Εὔρου, καὶ Βορέου, καὶ Λιβὸς, ἠδὲ Νότου.
ὅς τε τεοὺς ποιεῖς τοὺς ὑγρὸν ἀέντας ὑπουργοὺς,
καὶ πῦρ ἀμφιπόλων καὶ φλόγα φῦλα τεῶν.
στήριξας θεμέθλοις ἐχυροῖς τροχοειδέα γαῖαν,
ὥστε μιν ἀκλινέως, ὡς ἔχχει, αἰὲν ἔχειν.
καί μιν ἅλος κυανῆς ὡς εἵμασι βένθεσι κεύθεις,
ὥστε καὶ ἠλιβάτων στῆναι ἐφ᾽ ὕδατ᾽ ὀρῶν.
κὴν δ᾽ ἐπιτιμήσῃς σφισὶ φεύξεται, κὴν δὲ κεραυνοὺς
ῥίψῃς, οἰχόμεν᾽ αἶψ᾽ οὐδὲν ἔτ᾽ ἔσσεθ᾽ ὅλως.
ἀκρότατον τὰ ὄρη, τὸ κατώτατον ἔλλαχεν ἄγκη,
ἔμμορε πυροφόρον τὴν μεσότητα πέδον.
χ᾽ ὃν σφισὶν οὖρον ἔθης τηροῦσιν ἕκαστα, καὶ αὖθις
τὴν χθόν᾽ ἐπικλύζειν οὐ δύναθ᾽ ὑγρὸν ὕδωρ.
τουτθῶν πηγάων τὰ μέγιστ᾽ ἄπο νάματ᾽ ἀγινεῖς,
ὥστε μεταξὺ ῥέειν καλλίρο᾽ ὕδατ᾽ ὀρῶν.
καὶ πόσιν εὑρίσκειν τὰ πλανώμενα θηρί᾽ ἐν ἀγροῖς,
τούς τε ὀρεσκώους, δίψεος ὥρῃ, ὄνους.
ἄγχι σφῶν καλιὰς τὰ ὑπουράνι᾽ ὄρνεα τεύχει,
καὶ μεσόθ᾽ ἀκρεμόνων ᾄδει, ἔχοντα δόμους.
οὔρεσι τοὺς ὑετοὺς διδόεις πότον, ἄφθονα παντῃ
φύματα, τῶν γαίη πᾶσα πλέ᾽ ἐστὶ, φύεις.
ἐκπροάγεις σφέτερον τῆς γῆς βοσκήμασι χόρτον,
λήϊά τε θνητοῖς ἀνδράσ᾽ ἐδέσματ᾽ ἔμεν.
ὄφρ᾽ ἡ ἄρουρα φέρῃ μελιηδέα πυρφόρος ἄρτον,
οἶνός τε κραδίαις ταῖς βροτέῃσι γάνον.
ἀγλαΐην τε καλὴν ῥέεθροισιν ἔλαιον ὀπάζῃ,
ξύν θ᾽ ἅμα πᾶσι κράτος τοῖς μελέεσι βόσις.

ὄφρα

ὄφρα τε πλεῖ᾽ ἀκμῆς θαλερῆς τὰ σὰ δένδρεα εἴη,
τάς τ᾽ ἐφύτευσας, ὄρους αἱ Λιβάνοιο κέδροι.
ὁππόθι τοῖς τ᾽ ἄλλοις πετεεινοῖς νοσσιαί εἰσι:
τοῖς τε πελαργοῖσιν, τοῖς ἐλάτ᾽ εἰσὶν ἔδη.
κρησφύγετ᾽ ὠκύποσιν ταῖς δορκάσιν ἄκριες εἰσι,
χ᾽ ὁ δασύπους πέτρας, ἔνθα λάθῃ κεν, ἔχει.
μήνην τοῦ ἔτεος ξυνόλοιο διαίρεσιν εἶναι,
ἠέλιον ποιεῖς δύσιος ἴδμον᾽ ἑῆς.
σοῦ κνέφας ὄρσαντος γίνετ᾽ εὐφρόνη αὐτίκ᾽ ὀρεμνή,
καὶ τότε τοὺς θῆρας γούνατ᾽ ἐλαφρὰ φορεῖ.
ὠρύεθ᾽ ὁ σκύμνος χατέων τότε βρώσιος αὐτὸς,
καὶ θεόθεν ζητεῖ ἤ τινα γαστρὶ βορήν.
αὐτὰρ ἐπεὶ γλαυκὴ ἀναδέδρομεν ἐς Διὸς ἠὼς,
θὴρ σήραγγ᾽ εὐνὴν πᾶσιν ἐσέρχεθ᾽ ἑήν.
καὶ τότ᾽ ἐπ᾽ ἔργα βροτὸς πάλιν εἶσιν ἀ, γυπονίην τε
ἕσπερος ἄχρις ὅτου δείελον ἦμαρ ἄγῃ.
ὡς μεγάλ᾽, ὡς ποιεῖς πάμπολλα καὶ ἔξοχα πάντα,
ὡς τεχνηέντως κύριε πάντα τελεῖς.
ἡ γῆ ὅσσαν ἀνίσσ᾽ ἐπικίδναθ᾽ ἑκηβόλος ἠὼς,
νηρίθμων ἀγαθῶν τῶν σέο πᾶσα γέμει.
πόντος ὁ παμμεγέθης, ὁ ἐπ᾽ εὐρεῖ πόντος ἀπείρων,
ἑρπετά, τῶν οὐδεὶς ἥκεν ἀριθμὸς, ἔχει.
καὶ γὰρ ζῷα ἐπεῖ μάλα ποικιλόμορφα τέτυκται,
ὧν τινὰ μὲν μεγάλα, σμικρά τιν᾽ αὖ δὲ πέλει.
ἔνθα ἢ εὔσελμοι πορόωσι τὰ βένθεα νῆες,
κήτεά τ᾽ ὄργμα τεῶν παίζει ἐόντα χορῶν.
πάντα σὲ προσδοκάα, σὲ ἐσαθρέει ὅσα πέλονται

εὐκαίρως βρῶσιν δῷς ἵν᾽ ἑκάστῳ ἑήν.
εἰ σὺ διδῷς συναγείρουσιν, χεῖρας εἰ σὺ ἀνοίγῃς,
πασσάμεν᾽ εὐκταίων πάντα γανῶσ᾽ ἀγαθῶν.
εὖτε γαληναῖον δ᾽ αὖ σὸν τὸ πρόσωπον ὀρύνῃς
ἄλλῃ σφᾶς αἱρεῖ αἶψα ταφόντα φόβος.
εὖτ᾽ αὖ ἄημ᾽ αἴρῃς τὸ ζωὴν σφίσι χορηγεῖ,
ἔμπαλιν ἀφνιδίως οἰχόμεν᾽ εἰσὶ κόνις.
κὴν δ᾽ ἀναπνείῃς κτισθέντα νέ᾽ αὖτε πάρεστι,
αὐτή τ᾽ ἐξαπίνης γῆ νέον εἶδος ἔχει.
κύριος ἀλλήκτους ἐς αἰῶνας κυδεϊ γαίων,
ἐν χορὸς εὐδοκέει ἔργμασιν αὐτὸς ἑοῖς.
γαῖαν ἀναγκάζει τρομέειν τάχα μοῦνον ἐσαθρῶν,
ψαύει ὀρῶν, καπνὸν ψαυόμεν᾽ αἶψα πνέει.
ᾄσω ἐμῆς ζωῆς τῷ κυρίῳ ἤματα πάντα,
ψάλσω νωλεμέως μέσφα τι ἔσσομ᾽ ἐοί.
μοῦνόν οἱ ὅσσ᾽ ἐνέπω ἅδοι, ὅσα τ᾽ ἀείσματ᾽ ἀείδω,
γηθοσύνη ψυχῆς ὡς πέλετ᾽ αὐτὸς ἐμῆς.
κὴν φθίμεν᾽ οἱ ἄνομοι, ἄνδρες τε λίποιεν ἀλεῖται,
ὥσθ᾽ ὑπόλοιπον ὅλως μηδ᾽ ἕνα τοῖον ἔμεν.
ἀλλὰ σὺ εὐεπίῃ τεὸν ὦ φίλε κοίρανον ὕμνει
θυμέ, τῶν ἀνθρώπων πᾶν γένος ἦρα φέροι.

## ΨΑΛΜΟΣ ΡΕ.

### Ὑπόθεσις.

Δεξιτερῆς κελαδεῖ πολυκλήεντ᾽ ἔργματα θείης
ψαλμογράφος πυκινῶς τῷδε μελίσματ᾽ ἄναξ.
πιστοῦ ἀπ᾽ ἀρχόμενος Θαρείγου, κἄπειτα προβαίνων,

μέχρι

μέχρι πρὸς γαίην εἴσοδον εἰς Καναάν.

Τίνετε τῷ πάντων κρείοντι θεόφρονες ἄνδρες,
τῆς συγγνωμοσύνης σὺν χαρίτεσσι γέρας.
οὐνόματος ζαθέου ἀγορῆτ' ὀριηχέες ἔστε,
πᾶσι ἐνίσπεθ' ὁμῶς ἔθνεσσ' ὅσ' ἔρξε θεός.
μέλπεθ' ἑοῖ λιγυρῶς, ὑμνεῖτέ μιν ἡδυεπείῃ,
καὶ ὁπποίων ῥεκτὴρ βάζετ' ἐκεῖνος ἔῃ.
αὔσατε ἠγαθέῳ τῷ οὐνόματ' εὖχος ἀληγές,
εἴη ὁ διζόμενος πᾶς θεὸν εὐφρόσυνος.
δίζεσθ' ἐνδυκέως τὸν κύριον, ἠδὲ τὸ κάρτος,
ἠδὲ τὸ μειλίχιον κάρτα πρόσωπον ἔχει.
θαυμαστῶν μέμνησθε ὅσων, τεράτων τε ποιητὴς
γέντο, καὶ ἠγαθέων τὰ προΐηλεν ἐπῶν.
ὕμμεις ὦ Θαρείδαο τέκη, οἱ δμῶες ἐκείνου,
καὶ οἱ φίλοι, ἐγγενέας τοὺς Ἰάκωβος ἔχει.
ἄξιος ἄμμι θεὸς κληθῆναι ὁ κύριός ἐστιν,
ὃς πάσης ὀρθὸς τῆς χθονός ἐστι κριτής.
συνθήκης μνήμων ἧς ἐστὶ διαμπερὲς οὗτος,
καὶ ὅσ' εἰς κωλεμέως χίλι' ὑπέσχετ' ἔτη.
συνθήκης, πιστῷ τὴν σύν ποτ' ἔθηκ' Ἀβραάμῳ,
ὅν τε Σαρᾶς οἴῳ ὅρκον ἔδωκε γόνῳ.
τόν ῥα νόμοιο δίκην σε κέλευσ' Ἰάκωβε φυλάττειν,
κἄμπεδον Ἰσραὴλ σοὶ προσέταξεν ἔμεν.
τοῖον ὅθ' ἡμετέροις μῦθον μεταπατράσιν ηὔδα,
σοὶ Χαναὰν δώσω γῆν ἐριβώλακ' ἔχειν.
ὅππως σὸς κλῆρος, τὸν ὅπως κτέρας ἦκεν ἐκείνη,
ὄφρα τε δεσποσύνης ἦκεν ἐνορθετέης.

ἤματα τῷ παῦροι, κεῖνοι τ' ἐπιδευέες ἀλκῆς,
    καὶ ξεῖνοι ἀλλοδαπῇ ἐν χθονὶ πάντες ἔσαν.
νῦν μὲν πρὸς τούτους μολέοντες, νῦν δὲ πρὸς ἄλλους,
    ἐξείης θ' ἑτέρους πρὸς βασιλῆας ἀεί.
εἴασεν ἀνθρώπων σφισὶν οὐδέν' ὀλέθριον εἶναι,
    σφῶν δ' ἕνεκεν λαῶν κῆρας ἐφῆκεν ἀγοῖς.
δεινὸν ὁμοκλήσας μάλ' ἐμοὺς μὴ ψαύετε χριστούς,
    τῶν τε προφητάων ὕβριν ἀπίσχετ' ἐμῶν.
καὶ τότ' ἄρ' εἰς κείνην χθόν' ἰάλλων αἴθοπα λιμόν,
    ἄφνω μιν σίτου πάμπαν ἄμερσεν ὅλου.
σφῶν τε Ἰώσηφον προπάροιθε σαόφρονα πέμψεν,
    ὃς πραθεὶς δολοῖς ἔμμορε δουλοσύνης.
οὗ τε πόδας δεσμοῖς εἰλυμμένος ἄλγεα πάσχεν,
    ἔν τε σιδηρείαις δεινὸς ἔκειτο πέδαις.
μέχρι τοῦ ἔκπυστον λόγον, ὃν πότ' ἔφησε, γενέσθαι,
    πρός τε πυρωθῆναι θεσπεσίων μιν ἐπῶν.
καὶ τόθ' ὑπὸ δρηστῆρας ἑοὺς εἷς, αὐτὸν ἔλυσεν,
    λαῶν ὃς πολλῶν κοίρανος ἔσκεν ἄναξ.
οἰκονόμον τε δόμου βασιληΐου ἠδὲ κύβερνον,
    ἠδ' ἀρχὸν κτεάνων ὧν ἐποίησεν ἔμεν.
ὄφρ' κὰν ἰδρείην ἡγοῖτό κεν ἡγεμόσ' ἄλλων,
    κἀν ποιοίη ἑκὼν τοῖσι γέρουσι φρόνιν.
οὕτως Ἰσραὴλ νείλοιο πρὸς ἤλυθεν ὄχθας,
    κεῖς Χαμίδα ξεῖνος γῆν Ἰάκωβος ἔβη.
καὶ τόθ' ἑὸν πολλῇ ηὔξησεν πληθύϊ λαόν,
    ἐξ ὀλίγων φύσας μυρία φῦλα βροτῶν.
καί σφιν ὑπὲρ σφετέρους μέγα κάρτος ὁ κύριος ἐχθροῖς
    δῶχ',

δῶχ᾽, οἷς Αἴγυπτος γῆ πρόπαλ᾽ ἦε πατρίς.
κείνοις δὲ κραδίην δι᾽ ἐπὶ στρεφθεῖσαν ἔθηκε,
τῷ αὐτοῖο φρονεῖν πάντας ἅμ᾽ ἐχθρὰ λεῷ.
μητιάαν τ᾽ ἀπάτας τοῖς δουλεύουσιν ἐκείνω,
τῇσιν σφᾶς πολλὴν φθισέμεν ἐλπίδ᾽ ἔχον.
δοῦλον ἐὸν πέμψεν Μωσῆν, ἕταρόν θ᾽ οἱ ἀδελφὸν
δῶκε, τὸν ἔκλεκτον καὐτόν οἱ ὄντα λάτρειν.
οὗτοι ποιηταὶ τεράτων παρ᾽ σφισὶ γένοντο,
γῇ Χαμὲ δεικνύμενοι σήματα πολλὰ τεῇ.
λυγαῖον σκότος ἐλθέμεναι προσέταξε, καὶ εὐθὺς
ἤλυθεν Αἴγυπτον, νὺξ ἅτε, κεῖν᾽ ἐφ᾽ ὅλην.
κοὔποτε τοῖς αὐτοῦ μύθοισιν ἀπειθέες ἦσαν
οἱ δύω, ἐν τόσσον τοῖς σθένος ἔσκε, κάσεις.
πάνθ᾽ ὅσ᾽ ὕδατ᾽ ἔσαν σφὶν, ἄνωγε τάχ᾽ αἷμα γενέσθαι,
οὐδ᾽ ἐνὶ τοῖς ζωὴν εἶχέ τις ἰχθὺς ἔτι.
βάτραχοι ἐκ γαίης γεγαῶτες ἅπαντα νέμοντο
κείμενοι ἐν κοίταις, τὰς οἱ ἄνακτες ἔχον.
ἔσκε, καὶ ἔντομ᾽ ἄφαρ παντοῖα, καὶ ὀλοὰ πάντα,
λοιμὸς τῶν θαλερῶν, ἤλυθ᾽ ἐόντα, φυτῶν.
ὄμβρον ἀπ᾽ οὐρανόθεν βειαρῇ μιχθέντα χαλάζῃ,
πῦρ τοῖς πυρνοφόροις σφῶν ἐφέηκεν ἀγροῖς.
φθεῖρε βεβριθυίας σταφυλῇ τι καλὸν πρὸ ἀλωὰς,
οὐδ᾽ ἔτι τὰς συκᾶς ἀμπέλον εἴασ᾽ ἔμεν.
ἄγριά τ᾽ ἐξαπίνης κατέαξε, καὶ ἤμερα πάντα
δένδρεα, τὰ σφετέρων ἔνδοθεν εἶχον ὅρων.
εἶπε, καὶ ὡς εἶπεν, τάχα μυρίαι ἀκρίδες ἦλθον,
καὶ βροῦχοι, μηδεὶς τοῖς παρ᾽ ἀριθμὸς ἔην.

καὶ τόθ' ἅπαντα φάγον δηλήμονες αὐτίκα χόρτον,
ὅν θ' ἡ ζείδωρος καρπὸν ἄρουρα φόρεν.
πρωτότοκ' ὅσσ' ἦσαν, διόθεν πεπαταγμέν' ὄλοντο,
ἤλυθ' ἀπαρχῇσιν πάντοθι ῥίμφα μόρος.
τοὺς δὲ βαρεῖς χρυσῷ ἐξήγαγεν, ἀργυρέῳ τε,
οὔτε τις ἀσθενέως ἐν σφισὶν ἔσκεν ἔχων.
ἀσπαστὴ τῇ Αἰγύπτῳ ἤδ' ἔξοδος ἦεν.
καὶ γάρ μιν τάρβος, καὶ πολὺς εἷλε φόβος.
ἐξεπέτασσε νέφος τὸ οἷσι κάλυμμά κεν εἴη,
καὶ διὰ νύκτα τὸ πῦρ φῶς σφὶν ἔηκεν ἔμεν.
ᾔτησαν βρῶσιν, βρῶσις σφισὶν ὄρτυγες ἦλθον,
καὶ τῆς οὐρανίης σφᾶς ἐκόρεσσε τροφῆς.
ῥῆξεν τὴν πέτραν, ῥηχθείσης δ' ὕδατα κείνης
ῥοῦσε τάχ' ἔν τε πέδοις ῥεῖθρ' ἀνύδροισιν ἔσαν.
κὴν γὰρ ἑοῖο ἔτι μνήμων ἁγίοιο λόγοιο,
τόν ποτε δούλῳ ἔφη ᾧ Ἀβραὰμ ἐτεῖν.
οὕτω γηθοσύνης ἐνίπλειον ὃν αὐτόθεν ὄχλον,
καὶ μάλ' ἀγαλλόμενον τὸν φίλον ἦγε λεών.
καί σφισι τῶν ἐθνῶν χώρας τε καὶ οἰκία ναίειν
παρδῶκ' ἀλλοτρίους κληρονομεῖν τε πόνους.
ὄφρα φυλάξειαν τάκε θέσκελα κρίματα πιστῶς,
μήτε παρεκβαῖεν θεσπεσίου κε νόμου.

## ΨΑΛΜΟΣ ΡϚ.

### Ὑπόθεσις.

Λαὸς ἐπεγνωκὼς ἀχάριστόν ἑ κάρτα γενέσθαι,
καὶ τῇ ἀπιστίῃ πόλλ' ἀλιτέσθαι ἑοῖ:

τὸν

τὸν μὴ ξύμπαντας φθίσαντα, τὸν ὑψιθόωκον
νῦν χαρίσ' εὐμενίης εἵνεκ' ἀμείβεσθ' ἑῆς.

ΑΣματα τῷ πάντων φίλα δεσπότῃ ἄδετ' ἐόντι,
μέλπεσθ' εὐτρεπὲς, χ' ἡδὺ μέλισμα θεῷ.
πᾶς γὰρ μειλίχιος, πρᾶός τε, καὶ ἤπιός ἐστι,
κῆρ τε φιλοφροσύνης μεστὸν, ἐς αἰὲν ἔχει.
τίς τὰ μέγιστα θεοῦ, κύδιστά τε πράγεα μῦθος,
τίς θ' ὅσ' ἐπαίνετ' ἐν οἱ ἐστὶ κεγῆρυς ὀρῇ;
εὐδαίμων ὅστις δίχ' ὑπερβασίης ἀλεγεινῆς,
ὃν ξύνολον μοῦνον πὰρ βίον ἐσθλὰ τελεῖ.
μνώεο κύρι' ἐμοῦ κατὰ τὴν χάριν, ἥν ποθ' ὑπέστης
τῷ σοὶ ὑπὲρ πάντας φιλτάτῳ ὄντι λεῷ.
ξύν τε σῇ αἰνομόρους σωτηρίῃ ἐλθὲ πρὸς ἡμᾶς,
τὸν σέθ' ἵν' εὐτυχέως ἐσμὸν ἴδωμεν ἔχειν.
σῷ τ' εὐφροσύνης κοινωνήσωμεν ἵν' ἔθνει,
καὶ μέγα κληρονόμων σῶν γαῦος ἄμμε λάβῃ.
ἠλίτομεν πατέρων μιμηταὶ ἐόντες ἀλιτρῶν,
ἔργων πρακτῆρες γεινόμεθ' οὐχ ὁσίων.
γεινόμεθ' οὐχ ὁσίων ῥεκτῆρες ὑπερφίαλ' ἔργων,
δυσσεβίης τ' ἀμελῶς ἔχομεν, ἠδὲ δίκης.
θαύματ' ἐν Αἰγύπτῳ ῥέξαντά σε τόσσαπερ, ὀρθῶς
οὐκ ἴδον ἡμέτεροι, νήπια φῦλα, πατέρες.
οὐδὲ διὰ μνήμης ἐφύλαξαν, ὅσον πότ' ἐς αὐτοὺς
τῆς ἐλεημοσύνης πλῆθος ἔγεντο τεῆς.
ἀλλ' ἐπιλησάμενοι πάντων, σοὶ ἀντιέβησαν,
ἀγχόθι τῶ ἐρυθρῆς ἤματι ἔσταν ἁλός.
σῶσε δ' ἀσκηθεῖς αὐτοὺς καὶ ἀπήμονας ἔμπης,

κύδεος

κῦδος ἵν' αὐξήσῃ οὐνόματος κεν ἑοῦ.
κὖτ' ἀρετὴν, δύναμίν τε θέλων ἐπιδεῖξ' ἀμέγαρτον
τοῦ μιν ὅλης ἔνδον γῆς ἐπάϊστον ἔμεν:
φυκώδει κρατερόν τινα μῦθον ἔειπε θαλάσσῃ,
καὶ ξηρὴ, τοῦτον πευθομένη, τάχ' ἔην.
ἔνθα πολυῤῥοθίων ἐπὶ βενθῶν ἤγαγεν αὐτοὺς,
ἠΰτ' ὀρημαίης νῶθ' ὑπὲρ αἶα γέης.
ἔκ τε χερῶν ἀνδρὸς σφισι σχέτλια μητιόωντος,
ἔκ τ' ἐχθρῶν παλάμῃ σφᾶς ἤρυσε χειρῶν.
τῶν τε διωκτάων ἀψόῤῥοις κύμασ' ὄλεσσεν
πᾶν στῖφος, ὥστε κακὴν μηδ' ἕνα κῆρα φυγεῖν.
καὶ τότε πίστευσαν λόγον ὃν φῆσ' ἔμμεν ἀληθῆ,
καὶ λιγέως ὁμόθρουν ᾆσμα μέλισαν ἑοῖ.
δηρὸν δ' οὐ μετέπειτα, τόσων ἀμνήμονες ἔργων
γεινόμενοι, θείης μήτιδος οὐκ ἄλεγον.
καὶ σφᾶς ἀρχέκακος ταχέως ἐπιθυμίη εἷλεν,
κὰμ θεὸν αὐσταλέῳ πείρασαν ὄντι πέδῳ.
αὐτὸς δ' ἀμφιλαφῶς σφὶν ὅσ' ἠτίζεσκον ἔδωκεν,
ὥστε τροφῆς πλήθει σφᾶς ἐπὶ ναυτιάαν.
καὶ τότ' ἐνὶ κλισίαις ὀρέθιζον ὀνείδεσι Μωσῆν,
τόν τ' αὐτοῦ, μύστην τοῦ θεοῦ ὄντα, κάσιν.
καὶ πλατὺ αἰφνιδίως εὐρεῖα ἡ αἶα χανοῦσα,
ἦρεν τοῖς ἀρχοῖς ἐσμὸν ἀπειθῆ ἑοῖς.
χ' οὕτως τόν τε Δαθὰν πότμον γένετ' αἰνὸν ἐπισπεῖν,
τόν τ' Ἀβείρων' ἑτάροις ἄμμιγ' ἑοῖσι θανεῖν.
μεσσόθι γὰρ σφείων ἀνὰ πῦρ θανατηφόρον ἦφθη,
τοὺς τ' ἀσεβεῖς μαλερὴ φλὸξ ἐδάμασσε βροτούς.

ποίη-

ποίησαν χρύσειον Χωρήβου ἐν ἄγκεσι μόσχον,
καὶ τιμὴν νεῖμαν γνὺξ ἐριπόντες ἑοῖ.
τὴν σφετέρην δόξαν θεὸν, εἴκελον οἰόμενοι εἶναι
βοιδίῳ, εἰν ἀγροῖς χόρτον ἐρεπτομένῳ.
καὶ λῆσις σφετέρου σωτῆρος ἄμ' ἠδὲ θεοῖο
σφᾶς λάβεν, Αἰγύπτῳ τῶν τ' ἐνὶ γεινομένων·
καὶ πάντων ὅσα θαύματ' ἴδεν πέδ' ἡ αἶα χαμοῖο,
καὶ πάμπολλ' ἐρυθρῆς ῥιγέδαν' ἔνδοθ' ἁλός.
καὶ σφᾶς προῤῥίζους ἐμενοίνησ' ἐξολοθρεύειν,
εἰ μὴ σφὶν Μωσῆς ὧν δι' ἄρηξε λιτῶν.
καὶ γὰρ ὅδ' ἑστηὼς μέγα χωομένοιό περ αὐτοῦ
ἔμπροσθ' ἀτηρὴν ἐντροπάλιξε χολήν.
εἶτα ποθεινοτάτης ἀθέριξαν ἐσαῦθις ἀρούρης,
τόν τε λόγον ψευδῆ θεῖον ἔδοξαν ἔμεν.
κἀν σκηναῖς χαλεπὸς πάσαις γογγυσμὸς ὄρωρε,
τῶν οὐ πειθομένων, ὅ, ττι λέγῃ κε, θεῷ.
καὐτὸς ἑὴν ἄρσας παλάμην σφᾶς τύμμασι δεινοῖς,
μαίετο πετραίοις ἐν πεδίοισι δαμεῖν.
οὔτε καταισπεῖραι σφέας ἔθνεσι παντοδαποῖσι,
δούλους, καὶ χώρης κτήτορας οὐδεμιῆς.
καὶ τὰ γλύπτ' αὐτοῖς εἴδωλα σεβάσματ' ἔγεντο,
πασσαμένοις, τὴν περ μὴ θέμις ἦε, βόσιν.
ἱρὰ γὰρ ἀψύχοις ἔφαγον τυθέντα τεοῖσι,
καὶ τοῖς μήτε κέαρ ἔχουσί τι, μήτε νόον.
τοῖα παρώξυναν ἠδὲ μετερχόμενοί μιν ἐς ὀργήν.
ἔνθεν σφᾶς κηρῶν λοιμὸς ἐπῆλθε λάτεις.
καὶ τότ' ἀτασθαλέων Γινέας τιμωρός ἀνὴρ,

αὐτί-

αὐτίθε' αὐτὸς ἐπῇ ἔκτανε φῦλα χορεῖ.
χ' ὡ λοιμὸς σφείων φθισίμβροτος αὖτις ἀπέστη,
καὶ ζωῆς αὐτοὺς οὐκέτ' ἄμερσε μόρος.
τῆς δὲ δικαιοσύνης Γινέας κλέος ἤρετ' οἱ ἐσθλὸν
καὶ τότε, καὶ μετὰ τόνδ' εἰς τὸν ἔπειτα χρόνον.
καὶ μετὰ μικρὸν ἐπεὶ ὄριν αὖτε παρ' ὕδασιν ὦρσαν
οὐλομένην, δεινὸς σφὶν χαλέπηνε θεός.
εἰς τόσον, ὥστε δίκην χ' ὑπὲρ αὐτῶν Μωσέα τῖσαι,
χ' ὧν, ἀπροσκέπτως τὰ θρυλέεσκεν ἐπῶν.
ὅττ' ἐπαλαστήσας μέγ', ἑὸν τ' ἀκαχήμενος ἦτορ,
φῆ τινὰ χωομένῳ οὐκ ἀρετ' ὄντα θεῷ.
πρὸς τούτοις, λυγρῷ οὐκ ὤλεσαν ἔθνε' ὀλέθρῳ
τῶν οὐ φείδεσθαι σφᾶς ὅδ' εἶπε δέειν.
ναίοντές τε βροτοῖς τοῖς ἔθνεσι μίγδα βεβήλοις,
καὐτοὶ τοῖσδ' ἔρδειν ἔργα τὰ αὐτὰ μάθον.
καὶ δουλοπρεπέως τοῖς σφῶν ξοάνοισι λάτρευσαν,
ὅττ' ὀλοὸν δειλοῖς σκάνδαλον ἔξοχ' ἔην.
εἶτα κακοῖς θῦσαν θυγάτρας τε καὶ υἱέας αὐτοὺς
δαιμονίοις, αὐτῶν ἐκγεγαῶτα τέκη.
ἐκ τ' ἔχεαν παλάμαις σφετέρῃσιν ἀθῷον ἀφειδῶς
αἷμα, φονοῦς σπλάγχνων παῖς ἐπεὶ ἔσκεν ἑῶν.
καὶ σφαχθέντα δόσαν Χαναῆς τάδ' ἀγάλμασιν αἰνῶς,
μύσεσι χραίνοντες γῆν φονίοισιν ὅλην.
τοῖς τ' ἰδίοις αὐτοῖς ἔργοισι μίασμα γένοντο,
πόρνοι τε σφετέρων τῇ ἰότητι φρενῶν.
καὶ τότ' ἐπιζαφελῶς τῷ ἑῷ νεμεσήσατο λαῷ,
αἶσαν ἑὴν στυγέων, ὥς τι βδέλυγμα, θεός.

τοὔνε-

τοὔνεκα θητεύειν σφᾶς ἔθνεσιν εἴασεν, ἐχθροῖς
ἰθυντῆρσι, δίκης τοῖς ἔμελ' οὐδεμιῆς.
καὶ μάλα δυσμενέων πάντῃ θλιφθεῖσιν ὑπ' ἀνδρῶν,
σκληραῖς ταῖς αὐτῶν χερσ' ὑποτασσομένους.
πολλάκι μὲν σφετέρων σφᾶς ῥύσατ' ἐσαῦθις ἀπ' ἐ-
οἱ δέ μιν αὖ βουλαῖς σφαῖς ὀρέθιζον ὅμως. (χθρῶν,
τῷ σφετέραις ἐπ' ἀτασθαλίαις μινύθοντες ὄλοντο,
καί τις ἐπίσσυτος σφᾶς ἐδάμασσε μόρος.
βλέψεν ἐπ' ἀργαλέας ὀχέοντας ὀϊζύας ἔμπης,
καὶ μινυριζόντων οὔασ' ἄκουσεν ἑοῖς.
καὶ τῶν ἀρχαίων μνησθεὶς ἔτι συνθεσιάων,
εὔσπλαγχνος μετ' ἐὼν ἃς ἐνόησε φρένας.
καὶ σφισι τοὺς ἐχθροὺς πρηΰνεν ἐνηέας εἶναι,
τοῖς ὑπ' ἐλευθερίης κείμενοι ἄμμορ' ἔσαν.
σῶζε ταλαιπώρους, πολυπενθέας, αἰνομόρους τε,
ἐκ θ' ἡμᾶς ἐθνῶν εἰς ἓν ἄγειρε θεός.
ὄφρα γεραίρωμεν γλυκεραῖς τεὸν οὔνομ' ἀοιδαῖς,
ὄφρα τε καυχωλὴ ἄμμι σὸν ᾖ τὸ κλέος.
εἴη ἀλλήκτοις ἐς ἅπαντα μέγιστος ἐπαίνοις
ἤμαθ', ὃν Ἰσραὴλ οἱ θεὸν εὔχετ' ἔμεν.
καὶ πᾶς λαὸς ὅτῳ φρεσὶν εὔαδε τοῦτο γενέσθαι,
καὶ δὶς καρδιόθεν, καὶ τρὶς ὀροίη ἀμήν.

## ΨΑΛΜΟΣ ΡΖ.

### Ὑπόθεσις.

Χρὴ θεῷ ἀζυχὲς μεγάλην χάριν ἄνδρα προσάπτειν
πάντα, καὶ ἐμμελέως συνεχὲς ἦρα φέρειν.

οὕνεκα κὰμ γαίῃ, κὰμ ἠεροειδέϊ πόντῳ,
τῶν οἱ ἀοσσητὴρ ἔστι προσευχομένων.
Ὄφρα μὴ εὐεργέων ἔκλησις ἂν ὔμμε θεείων
δύσῃ, ἀείδοντες κλείετε καλὰ θεόν.
ὅττι φιλοφροσύνην αἰώνιον ἐγγεγαυῖαν,
καὶ δίχα μειλιχίην λήξιος οὖσαν, ἔχει.
φαῖεν τοῦτ' αὐτῷ ὁμοθυμαδὸν ἦρα φέροντες,
οὓς ἐρρύσε χερῶν ἐχθ' ὅτε κάρτει ἑῶν.
οὕς τε ἀναγκάων ἐξεῖλεν ἀμηχανιῶν τε,
ἔκ τε βίης ἀνδρῶν, τοῖσί ποτ' ἦσαν ἕλωρ.
ϗ' οὓς παμμητείρης ἀπὸ παντὸς πείρατος αἴης,
εἰς ἓνα σύλλεξεν, καὶ συνάθροισε τόπον.
κεῖθεν ὅθ' εὐπλόκαμος θάλαμον λάχεν ἀγλαὸν ἠώς,
ἠδ' ἀπ' ὀριπνεύστων τοῦ ζεφύροιο δόμων.
ἠδ' ἧχ' ἀκραὴς αἰπεινὰ θῆ οἰκία βορρῆς,
ἠδ' ὅθεν ἐκπνέει ὑγρὸν ἄημα νότος.
οἱ τῆλ' ἀνθρώπων ἐνὶ γῇ ἀλαλήμεν' ἐρήμῳ,
οὔτ' ἴχνος τι βροτῶν, οὔτε τιν' εὗρον ὁδόν.
οὔτε πόλιν τέτμον τῆς δώμά κεν ἔνδοθι θεῖεν,
οὔτε νόσου δεινῆς λιμοῦ ἐδητὺν ἄκος.
ϗ' ὧν βρόχθος ξηρὸς πολυκαγκέϊ ἔπλετο δίψει,
ϗ' ὧν ἀδινὸν πολλοῖς κῆρ φθινύθεσκε κακοῖς.
τῶν ἀπ' ἐς οὔλυμπον περιώσιος ἤλυθ' ἀϋτὴ
πρὸς θεὸν, ἀργαλέοις κήδεσι τειρομένων.
τὴν ἀναλαοσάμενος τοῖς οὖσ' ἐπίρροθος αὐτοῖς
γένετο σφᾶς πασῶν ἐκ τ' ἐσάωσε δυῶν.
τοῖς τε πολυπλάγκτοις ὁδὸν ἰθυκέλευθον ἔδειξεν,

ἠκε

ὥς κε πρὸς ἐϋκτίμενον σφᾶς πτολίεθρον ἄγῃ.
τοῦτο βροτῶν τὸ γένος χάριτας θεῷ ἔξοχα πολλὰς,
δεῖ, ἐλεημοσύνης, οἰσέμεν, εἵνεκ' ἐῆς.
καὶ εἵνεκα θνητῶν πάντεσσιν ἔθ' ἀνδράσιν ἔργων,
τοῖς βρότεον ῥέζων οὗ κεχάρηκε γένος.
αὐτὸς γὰρ ψυχὴν τὴν δίψος ἔκηδε ποτίζει,
τοῖς τε βόσιν βόσεως δευομένοισι δίδοι.
οἵ ποτ' ἐνὶ σκιεραῖς πεπεδημένοι ἵζανον εἱρκταῖς,
ἠΰ τ' ἀνοστήτοις ἐν θανάτοιο πύλαις.
οὕνεκα τοῖς θείοις θεσμοῖσιν ἀνήκοοι ἦσαν,
μεμφόμενοι πάντων τοῦ ὑπάτοιο νόμον.
τῶν μογεροῖς κραδίας ἄχεεσσιν ἔκειντο δαμέντες,
οὔτ' ἀκαχιζόμενοι τόσσ' ἐπαρωγὸν ἔχον.
αὐτὰρ ἐπεὶ μινυρὴν πρὸς κύριον ἧκαν ἰωὴν,
ἄλγεσι τὴν ψυχὴν τρυχόμενοι ἠδὲ δέμας:
ῥύσατο λισσομένων, καὶ σφᾶς κακότητος ἁπάσης
λῦσεν, ἀοσσητὴρ οὐ βραδὺς ὢν ὁ θεός.
καὶ σφέας ἐκ σκοτίων, ὅθι ἕδρανόν ἐστι μόροιο,
ἤγαγε, ῥηξάμενος τοῖς πεπέδηντο, βρόχους.
οἱ δ' εὐεργεσίης τῷ κυρίῳ εἵνεκα τόσσης,
ᾄσματ' ὀφειλόμενον δοῖεν ἄριστα χρέος.
καί μιν ἐπαινοῖεν μελιθροῖσι διαμπερὲς ὕμνοις,
ῥέξαντα θνητοῖς θαύματα πλεῖστα βροτοῖς.
ὅττι πύλας χαλκᾶς συνέτριψε, μόχλους τε κάταξε,
τοῖσι σιδηρείοις οὖσι μέγ' ἦε κράτος.
ἄφρονες, οἳ ἀνόμοις ποτ' ἀτασθάλλοντες ἐν ἔργοις,
τίσαν ὑπερβασίης τὴν δέον ἔσκε τίσιν.

καὶ πόσιν ἠδὲ βόσιν διὰ ναυσιάεσσαν ἅπασαν,
τρυχόμενοι κηρῶν ἀγχιθύροισι νόσοις.
οἱ ἐπιβωσάμενοι τὸν κύριον ἐν κακότητι,
ἀργαλέων εὗρον μῆχος ἀμηχανιέων.
καὶ γὰρ σφᾶς λογίοις ἤλθησεν ἔθ' οὐρανοπέμπτοις,
ἔκτ' ἄρα λευγαλέου αὐτὸς ἔσωσε μόρου.
οὗτοι καὶ αὐτοὶ ἐλεητύος ἀγλαόφωνοι
κήρυκες θείης, ἐν χθονὶ εἶεν ὅλῃ.
μήτε παρέλθοιεν τεὰ ἔργματ' ἀγαστὰ σιωπῇ,
χρήσιμα τὰ βροτέῳ ἤνυσε πάντα γένει.
καί οἱ ἀναιμάκτως θυσίαν θύματ' ἐπαίνου,
θέσκελα τῇ σφετέρῃ ἔργα κλέοντες ὀπῇ.
οἱ πολιῆς νήεσσιν ἁλὸς ῥόθι' αἰνὰ περῶσι.
χ' οὓς φιλοχρημοσύνη πόλλ' ὑπὲρ ὕδατ' ἄγει·
οἵδ' ἔργων θεαταὶ ἐνὶ τοῖσδε γένοντο θεείων,
καὶ τέρατ' ἀτρυγέτοις πόλλ' ἐνὶ βένθεσ' ἴδον.
ὁσσάκι τὶ φράσσας κραιπνὰς τάχ' ἐπῶρσε θυέλλας,
ἶσάτ' ὀρῶν κορυφαῖς κύματ' ἐόντα, θεός.
καὐτοὶ νῦν μὲν ἄνω μέσφ' οὐρανοῦ ἀστερόεντος,
νῦν δὲ κάτω στυγίων ἄχρ' ἐβάλοντο ῥόων.
ταρβαλέοι καὶ ἀμφασίῃ βεβολημέν' ἅπαντες
μύθων, καὶ ψυχὰς τηκόμεν' ἠπεδανάς.
ἔνθα διάττοντες καὶ ἔνθ', ὡς οἰνοβαρής τις,
οὐδέ τι μητιάαν εἰδότες, ἠὲ φρονεῖν.
ὡς δ' ἀμηχανίαις ἀφημένοι ὀξὺ ἄϋσαν
πρὸς θεόν, ἐκ σῶοι τῆσδε τόσης περ ἔβαν.
αὐτοῦ ἁλιπλανέων μένος συνάζοντος ἀελλέων,

καὶ

κοιμῶντός τε μόνῳ κύματα πηγὰ λόγῳ.
καὶ τότ᾽ ἰάνθησαν τετυχηκότες αὖτε γαλήνης,
 καὶ ἁψάμενοι νηῶν, τὸν ποθέεσκον, ὅχον.
οἵδ᾽ οὖν μνωόμενοι κινδύνων τῶν πάρος ἄνδρες
 τίσειαν χάριτας, τὰς δέον ἐστὶ, θεῷ.
τῆς τε φιλοφροσύνης, θαυμαστῶν θ᾽ εἵνεκεν ἔργων
 χρηστὰ τὰ τοῖς μερόπων ἐκγεγαῶσι δράει.
κάμμιν ὁμηγερέων ὑμνοῖεν ἀθροίσματι λαῶν,
 καὶ πολιοκροτάφοις ἥχ᾽ ἕδος ἐστὶ βροτοῖς.
τοῦτο δ᾽ αὐτὸ πρέπει κἀκείνοις ἄνδρασι ῥέζειν,
 ὧν ποταμοὶ ξηροὶ ἐκ θεόφιν πότ᾽ ἔσαν.
ὧν τε αἱ ἀέναοι οὐκ εἶχον ἔθ᾽ ὕδατα κρῆναι,
 ὡς τέφρ᾽ ἀζαλέαι γεινόμεν᾽ ἠὲ κόνις.
ὥστε γενέσθ᾽ ἅλμην τὴν πυρφόρον ἔσθ᾽ ὅτ᾽ ἄρουραν
 οὐχ ὁσίοις ὄντος δώματος αὖθι βροτοῖς.
τοῖς πάλιν ἐξ ἀνύδρων ἐξήγαγεν ὕδατα πηγῶν,
 καὶ ἃ ἀποδὸς κεῖν ποταμοὺς αὖτις ἄνωγεν ἔμεν.
ἔνθα κατοικίζων λιμῷ κεκμηκότας ἄνδρας,
 δεῖμ᾽ αὐτοῖς, ναέται τῆς κεν ἔωσι, πόλιν.
οἵτε καταπεῖραι ὀβριβώλακι πυρὸν ἀρούρῃ,
 ἔν τε φυτοῦσ᾽ οἴνας ἀμπελόεντι πέδῳ.
τήν τε ἐπηετανὸν δημήτορος ἐγγόθεν ἀκτὴν
 πολλὴν, ἐν πολλῇ ἀγκομίσ᾽ εὐφροσύνῃ.
καί σφιν ἐπιπνείων χάριν κεῖν τὴν ἐσθλοδότειραν,
 καὶ σφᾶς πληθύνων, καὶ τὰ βότ᾽ ἐμμαπέως.
ἀλλ᾽ ἀγανοφροσύνης λύσασθ᾽ ἐπέοικε θεείης,
 οὐ θέμις ἀμνηστεῖν λοίσθιόν ἐστι θεοῦ:

καὶ τὰ ὑπ' ὠμοφρόνων κεκακωμένα φῦλα τυράννων
    καὶ τὰ διχοστασιῶν αἰθόμεν', ἠὲ μαχῶν.
τῶν ἰθυντῆρες κακοὶ ἄνδρες οὐτιδανοί τε
    ἦσαν, οἱ ἰθειῶν νήϊδες αὐτοὶ ὁδῶν.
οἷς πονηροῖσι βροτοῖς ἀπάλαλκεν ἀτάσθαλον ὕβριν
    τὸ σφῶν ἀλδαίνων ἠΰτε πῶϋ, γένος.
καὶ τόδε γηθόσυνοι βλέψουσιν οἱ ἄνδρες ἐσθλοί,
    ὕβριος οἰγούσης τὸ στόμ' ἔτ' οὐδεμιῆς.
τίς σοφὸς ὢν τηρεῖ τάδ' ἐνὶ φρεσίν, ὄφρα κεν εἰδῇ
    πλῆθος κυριακῆς πᾶν ἐλεημοσύνης:

## ΨΑΛΜΟΣ ΡΗ.

### Ὑπόθεσις.

εἵνεκεν οὐρανίης τῆς χριστοῦ παμβασιλείης
    σὺ χάρις ὢν κλείει τοῖσδ' ἐπέεσσι θεόν.
χ' εἵνεκα τῆς αὐτοῦ χθονίης πέρ, ἐπειδὴ ἐκείνης
    γῆν ἐπικιδναμένης ἀρχὴ ἔμελλεν ἔμεν.

ΕΝ τόδ' ἐμοὶ περὶ κῆρι φίλον, φίλον ἐστὶ μάλιστα
    ἐν τόδ' ἐμοί, ψάλλειν σοι μέλος ἡδὺ θεός.
ὄρσεο δόξα τ' ἐμὴ θεαρέστον ἄθυρμά τε φόρμιγξ,
    καί συ ψαλμῶν ἢ χρῆμα καλόν τι λύρη.
αὐτὸς ἐγὼ προλιπὼν ἀνστήσομ' ἐθήμονα κοίτην
    αἶψ' ὂν ἐπὴν λείψῃ ἠριγένεια λέχος.
ὑμνήσων πολλῶν ξείνοις σε ἐν ἤθεσι λαῶν,
    κληΐσων τε, βροτῶν ὅππου ἂν ᾖ τι γένος.
σὴ γὰρ ἡ εὐμενίη περικαλλέα οὐρανὸν ἄστροις,
    σὴ νεφελῶν πιστὴ ψαύει ἐτητυμίη.

ἀρθητι

ἄρθητ᾽ αὐγαλέου κορυφὴν ὑπὲρ αἰθέρος ἄκρην,
  δόξα τεὴ γαίης πᾶν ὑπὲρ οὖδας ἴτω.
ὄφρα τε ῥυσθῶσιν θυμῷ φίλοι οἱ τεῷ ἄνδρες,
  κλῦθί με, καὶ χειρὸς χραῖσμέ μοι ἀλκὶ τεῆς.
ἐξ ἀδύτου τιν᾽ ἔπος ἀνενείκαθ᾽ ὁ κύριος αὐδὴν,
  τῆς ἐγὼ οὔασ᾽ ἐμοῖς σφόδρα γέγηθα λαβών.
ἄνδιχα τῇ Σιχίμῃ μεμερισμένῃ ἐμβασιλεύσω,
  μετρήσω τὸ Συχὼθ εὐρύπεδον ἄγγος ἐόν.
κλῆρος ἐμὸς Γιλεὰδ, κτέαρ αὐτὸς ἐμὸν ἔσθ᾽ ὁ Μανασσῆς,
  ἴς κεφαλῆς Ἐφραὶμ καὶ σθένος ἐστὶν ἐμῆς.
ἡγητὴς καὶ νωμητὴς ἐμός ἐστιν Ἰούδας,
  λουτροχόου τρίποδος Μωὰβ ἐμ᾽ ἐστὶ δίκην.
ταρσὸν Ἰδουμαίης ἐπιπήξομαι, ἄσμεν᾽ ἀνάξω
  τοῖσι Παλαιστίνης γῆς ναέτῃσι βροτοῖς.
τίς με, ὁδηγὸς ἐὼν πόλιν ἄξει ἐς οὐκ ἀλαπαδνήν;
  τίς με Ἰδουμαίης γῆς ἐπιβήσει ὅρων;
οὐχί σὺ παμπήδην ἡμᾶς ὁ ἀποστυφελίζων,
  οὔτε δὲ ἡμετέρην μαρνάμενος δύναμιν;
ἴσθι ἀλεξίκακος κακοτήτων ἄμμι παρουσῶν,
  κάρτος γὰρ βροτέη οὔτι βοήθει᾽ ἔχει.
σὺν θεῷ ἐνδόξων δραστῆρες ἀγήνορες ἔργων,
  συντρέψοντ᾽ ἐχθροὺς, ἐσόμεθ᾽, ἡμετέρους.

## ΨΑΛΜΟΣ ΡΘ.

### Ὑπόθεσις.

Δεινὰ καταρᾶται τῷ φωρ᾽ ἐπιτίμι᾽ Ἰούδᾳ,
  ὃς διὰ τ᾽ ἀργύριόν μιν παρέδωκε μόρῳ.

τοῖοι γὰρ πλεῖστοι νῦν πανταχοῦ εἰσὶν Ἰουδαῖοι,
εὐμενέες γλώσσῃ, δυσμενέες κραδίῃ.

ΟΣ καὶ πάντ' ἐφορᾷς, καὶ πάνθ' ἃ λέγει τις ἀκούεις,
οὗτ' ἄπ' ἐμοῦ ἦλθεν ἅπαν, τοῦ τετύχηκα, κλέος:
μὴ ἄνεως τόσσαις πρὸς ἐπεσβολίαις θεὸς εἴης,
μὴ ὀνοταζομένου μου λόγον οὐδὲν ἔχοις.
καὶ γὰρ τῶν ἀσεβῶν στόμ' ἐμοῦ κατ' ἀφειδὲς ἀνοίχθη,
καὶ τῶν κερδοσύνας πλάσσαι ἐπισταμένων.
οἷσί με πᾶσι μέλει διαβάλλειν ψευδέϊ γλώσσῃ,
καὶ στυγερῇ κἀμοὶ προῖκά περ ἐχθρὰ φρονεῖν.
κἀμὲ ἀπὸ κραδίης τὸν σφᾶς φιλέοντα, δι' ἔχθους
ἰσχέμεναι, καὶ ζῶντ' οὐκ ἀνέχεσθ' ἔτ' ἰδεῖν.
αὐτὰρ ἐγὼ λιτανεύω ὅμως σε διαμπερές, αὐτοῖς
ἵλαος οὐκ ἀγαθοῖς καίπερ ἰὼν οὖσιν ἐῆς.
ἀντ' ἐσθλῶν ἀπ' ἐμοὶ δεδόει κάχ' ὁ κύντατος ἀνήρ,
ἀντ' ἀγάπης ἔχθρην, ἀντί τε μῖσος ὄρου.
τῷ σὺ κατάστησον τὸν δυσσεβῆ ἀρχέμεν αὐτοῦ,
καὶ πρὸς δεξιτερὴν τὸν Σατανᾶν οἱ ἔμεν.
ἐξίτω, εἰς ὄλεθρον δεδικασμένος ἠΰτ' ἀλείτης,
εὐχὴ γιγνέσθω πᾶσ' ἐς ἁμαρτάδ' ἑοῖ.
ἤματα τῆς βιοτῆς παντλήμονι παῦρα δεδόσθω,
ἄλλος δεξάσθω κεῖνος ὅτ' εἶχε γέρας.
τεθνειὼς ἐπὶ γῆς λιπέτω, τὰ τέκ' ὀρφανὰ τέκνα,
γινέσθω χήρη τῇ φιλότητι μίγη,
ἔστωσαν μετανάσθ' οἱ ἐκγεγαῶτες ἐκείνου,
διζόμενοι σπανίην ἔνθα καὶ ἔνθα βόσιν.
δώματ' ἐπερχόμενοί τ' ἀλλότρια, ὅττι περ ἄνδρες

ποιοῦ

ποιοῦσ᾽ οἷς σφέτερος πᾶς ἀπόλωλε βίος.
αἰρέτω ὅσσ᾽ αὐτῷ πόθ᾽ ὑπῆρξεν ἅπαντα δανειστής,
    ἄλλος τις λαβέτω τὰ κτεάτισσε πόνῳ.
μηδεὶς κηδέσθω, μηδεὶς εὖ ῥεξέτω αὐτόν,
    τέκν᾽ αὐτοῦ μελέτω τὠρφανὰ μηδὲν ὅλως.
τοὺς λάχεν ὀψιγόνους, ἐκλελάθωσαν ἅπαντες,
    γινόμενοι ταχινῇ νώνυμοι ἐν γενεῇ.
πάσης ἀμπλακίης μνήμων πάλι κύριος εἴη.
    τῆς ἔνοχ᾽ οἱ κείνου πότ᾽ ἐγένοντο πατέρες.
καὶ τὰ δίχ᾽ ἐνδικίης ἐξ οὔτις ἀλειψάτω αἰὼν
    ἔργα, τὰ ῥέξε πάλ᾽, ἥ μιν τετοκυῖα γυνή.
καὶ ταῦθ᾽ ὡς τὸ πάρος θεοῦ αἰὲν ἐνώπιον ἔστω,
    τίσοντ᾽ αἰνοτάτην ἤματα πάντα δίκην.
ἐφθίτω δ᾽ ἀπὸ γῆς ἀνθρώπων αὐτίκα τούτων
    μνείη, ἐπὴν φθιμένους σφᾶς ποθ᾽ ἡ αἶσα δάμῃ.
οὕνεκα μειλιχίῃ τινὶ μηκέτι μνήσατο χρῆσθαι,
    πῆμα δ᾽ ὀχεῦντι λυγρὰς γεῦτο μέγ᾽ ἀνδρὶ δύας.
τόν τε πένητα βροτὸν, καὶ τὸν βεβαρηότα λύπαις
    ζήτει, ἀμειρέμεναι ἱέμενός σφε βίου.
κἀπειδὴ αὐτῷ ὀλοὴ πάρος ἡ οὖσα κατάρα
    ἤρεσε, πρός μιν ἄφαρ βήσεται ἤδε μολεῖν.
αὖτις δ᾽ εὐλογίης ἀθέριξεν ὅτ᾽ ὠφελίμου περ,
    κἀκείνη αὐτοῦ ἔσσετ᾽ ἀπόπροθ᾽ ἀεί.
ἀμφιβέβληκεν ἑῷ χροῒ ὡς περόνημα κατάραν,
    καὶ ταύτης μυχάτας πλεῖος ἔγεντο φρένας.
τούνεκεν ὡς ὕδωρ εἰς σπλάγχν᾽ αὐτοῖο διῆλθε,
    κἀμ ὀστοῖς ἔδρην ὥς τι ἔλαιον ἔχει.

τῷ ῥα καθὼς χλαίνη οἱ τερμιόεσσα γενέσθω,
    καὶ ζώνη, ζῶσαι τῇ δέμας αἰὲν ἐόν.
ταῦτ' ἂρ ἐγὼ θεόθεν συμβήμεναι εὔχομ' ἅπασι,
    τοῖσι κακὴ ἀζηχὲς μυθομένοισιν ἐμοί.
καὶ τόνδ' οὐρανόθεν φορέτωσαν μισθὸν ἀπ' ἐχθροί,
    οἷσιν κυδάζειν ἐσθλὸν ἐμ' ὄντα μέλει.
ἀλλὰ σὺ οὐνόματος μνησθεὶς τεοῦ ἴσθι σαωτὴρ,
    ἴσθι φύλαξ τόσσαις ἐν κακότησιν ἐμοί.
καί με φιλοφροσύνῃ αὐτὸν τεῇ ἔξελε πασῶν,
    νόσφι παρηγορίην τῆς λάχον οὐδεμίην.
ὡς γάρ τις προΐκτης ἐπιδευὴς κεῖμαι ἀρωγῆς,
    καὶ τοὐμὸν ταραχῆς κῆρ ἐνὶ φρεσὶ γέμει.
δυσομένοιο καθὼς φεύγει σκιὰ ἠελίοιο,
    ὣς τάχα καὶ αὐτὸς πᾶς σκιὴ οἴχομ' ἐών.
πλάζομαι ἐξελαθεὶς δόμου ἀμπέδον ἄλλυδις ἄλλῃ,
    ὡς οἶκον τέττιξ οὐδαμοῦ οὐδὲν ἔχει.
γούνατα νηστείῃ νοσέει, πᾶς λεπταλέος χρώς,
    οὐδ' ἠβαιὸν ἔχων πῖος ἔτ' ἐστὶν ἐμοί.
χρῆμ' ἐπονείδιστον τοῖς δυσμενέεσσι τέτυγμαι,
    ὥστε τὸ κρᾶς κινεῖν σφίσ' ἐμ' ὁρῶσι μέλειν.
ἴσθι βοηθὸς ἐμοὶ ἐπιδευέϊ ὄντι βοηθοῦ
    νῦν, φιλοφροσύνην σὴν κατ' ἄριστε θεός.
ὄφρα δαῶσι τεὴν παλάμην τήνδ' οὐδέ του ἄλλου,
    καὶ ῥεκτῆρ' ἔργων τῶν δέ σε μοῦνον ἐμῶν.
κἂν κακὴ ἔμ' εὔχωνται σύ μοι ἐσθλὰ δὸς, ἀντίπαλοι ]
    κἄν μοι ἕως' αἴσχρως ὑστερέοιντο τύχης.
αὐτὰρ ἐγὼ σὸς ὀπηδὸς ἐὼν καὶ ὀτρηρὸς ὑπουργὸς,

παντα

πάντα παρ᾽ εὐφροσύνης μεστὸς ἔοιμι βίον.
ἀμπέχοι ἄνδρας ἐμὲ θροέοντας κέρτομ᾽ ὄνειδος,
εἴη δυσκλείη ἡ σφετέρη σφὶ χιτών.
ἀλλὰ θεὸν πολλοῖσιν ἐγὼ μελέεσσι γεραίρειν,
τοὐμὸν ἐμαίομ᾽ ἀεὶ ἀν᾽ στόμα, μοῦνον ἔχων.
ἔν τε πολυανδρέων ἀγύρει μεγακυδέα λαῶν,
αἰνῶν, ποιήσω, ἄσμασιν αὐτὸν ἐμοῖς.
δεξιτερῆς γὰρ ἀπὸ στὰς ἀνδρὶ συνηγόρος ἐστὶ
τλήμονι, τῷ μηδεὶς βούλετ᾽ ἀρωγὸς ἔμεν.
ἔκ τε δικαστάων ἀδίκων νιν κρίματος αἱρεῖ,
τῶν μέλλον ψυχῆς αὐτὸν ἀμέρσαι ἑῆς.

## ΨΑΛΜΟΣ ΡΙ.

### Ὑπόθεσις.

Παντάρχον βασιλῆα πέλειν ἱερῆά τε χριστὸν,
πατρὶ γενετῆρι τεῷ ἐδριόωντα λέγει.
φάσκῃ ψευδὲς ἔμεν τὸ δὲ πνεῦμά τις, οὐκ ἀλεγίζω.
αὐτῷ γὰρ χριστοῦ νητρεκές ἐστι λόγῳ.

Εἶπ᾽ ὅτε πανδύναστος στόμ᾽ ἀνοίγων θέσπιδι φωνῇ,
οὕτω πρὸς τὸν ἐμὸν κύριον εἶφ᾽ ὁ θεός.
δεῦρο πρόσελθε μολὼν παῖ ἐμῷ κεχαρισμένε θυμῷ,
καὶ πρὸς δεξιτερὴν σὸν λάβ᾽ ἔδεθλον ἐμήν.
ἐχθρὰ φρονήσαντάς σοι ἄχρ᾽ οὗ τεοῖς ἔδρανα ταρσοῖς,
καὶ θρῆνυν ζαθέοις ποσσ᾽ ὑπὸ σοῖσι θέω.
κύριος ἠγαθέης ἀπ᾽ ὄρευς ἁγίοιο Σιῶνος,
σὴν ἀρχὴν μέλλει πάντ᾽ ἐπὶ πείραθ᾽ ἱεῖν.
σκηπτοῦχος τοίνυν βασιλεὺς, καὶ κοίρανος ἠΰς

ὤν, κρατερῶς ἐχθροῖς κυκλόσ' ἄνασσε τεοῖς.
ἤματι τῷ νίκης ὀβρίμου ἐπήβολος ἔσσῃ,
τεύχεσι παμφανόων σιγαλόεσσι δέμας·
τουτάκ' ἀρεστὰ τεὶν σὸς ἕκοντ' ἐπιβώμια θυμῷ,
ἑσσάμενος, ῥέξει, φαρέα ἱρὰ, λεώς.
ἀχράντῳ, καθάπερ τὶς ἕωθεν ἔερσα, λοχείῃ
σὴ ἔστ' ἐκ καθαρῆς γαστρὸς ἰοῦσα φύτλη.
ὤμοσε θεσπεσίῃ ἐνοπῇ τιν' ὁ κύριος ὅρκον,
οὔτε μιν ὀψίνοος τὶς μετανοία λύσει·
τύνη σὺ λογέων ἐς αἰῶν' ἱκετήριος ἱρεὺς
ἔσσεαι, ὁπποῖος Μελχισεδὲκ πάλ' ἔην.
ἀγχίθρονος σῆς δεξιτερῆς ἀεὶ ἥμενος, ὀργῆς
συντρίψει βασιλεῖς κύριος ἤμαθ' ἑῆς.
καὐτὸς δ' ἰθείαις δικάσει ξύμπαντα δίκῃσι,
φειδόμενος ποινῆς, ἔθνεα, μηδεμιῆς.
πολλοὺς τ' ἰφθίμους σφετέρης βιότητος ἀπούρας,
δειλῶν ἐμπλήσει πᾶν νεκύων τὸ πέδον.
πολλῶν τ' ἀρχόντων ὀβριμυδέα κράατα κλάσσει,
κράατα τῆς πλείστης γῆς περ ἔχοντα κράτος.
χείλεσ' ἀφυσσάμενος χειμάρρου ἀπ' εἰνοδίοιο
οἶσι, τὸ ἰλυόεν καὶ θολερὸν μάλ' ὕδωρ·
καὶ πίνειν μέλλει τὸ, πιών τε κάρηνον ἀείρειν,
κῦδός τ' εἰσαῦθις τοὔνεκ' ἀληγὲς ἔχειν.

## ΨΑΛΜΟΣ ΡΙΑ.

### Ὑπόθεσις.

Τοῦτο μελίζεσθαι τὸ μέλος τῇ πρέχατος ὥρῃ

εἴωθ',

εἴωθ', οὐχ ἵζων, ἱστάμενος δὲ λεώς.
ὅππως Αἰγύπτου μεμνημένος, εὔχαρις εἴη
τῷ εὖ ῥέξαντι πλεῖστά μιν αὖθι θεῷ.

Ὑμνῶ κληΐζων σὲ θεὸς τεχνήμονα κόσμου,
ἐν κραδίης τε ἑῆς σοι φίλ' ἀείσμαθ' ὅλης.
καὶ τοῦτ' ἐν βουλῇ θεοδέγμενος εὐθέος ἐσμοῦ,
κἀμ τῶν εὐαγέων, τῶν θ' ὁσίων ἀγύρει.
ὡς ἀπέλεθρα θεοῦ περιπληθέα τ' ἔργα τέτυκται,
ὡς μέγαλ' ὡς τὰ θεοῦ ἔργματ' ἀγητὰ πέλει.
τῶν ὁ φροντίδ' ἔχων, τάτ' ἐρευνῶν, θυμὸν ἰανθεὶς
παντοίας μέλλει εὐφροσύνας ὀχέειν.
εὔδοξ' ἄττα τελεῖ μάλα, καὶ μεγαλοπρεπέ' ἐστὶ,
καὶ τοῦ ἡ ἐνδικίη ἤματα πάντα μένει.
μνημοσυνόν τι ἑῶν θαυμαστῶν κώυσεν ἔργων,
ἐν φρεσ' ὁ εὔσπλαγχνον κύριος ἦτορ ἔχων.
οἵτινες εὐαγέως αὐτὸν περὶ κῆρι φοβοῦνται,
τοῖσδεσι δαψιλέως βρώμαθ' ἅπασι διδοῖ.
ἧς μιμνησκόμενος συνθήκης πάντοτε, φωνῆς
ῥήμασι πίστωσεν τὴν πρόπαλ' ἠγαθέης.
ἰσχὺν ἑῶν ἔργων ἰφθίμων τε κρατερῶν τε
πᾶσαν ᾧ ἀγγέλλει, ἔντε τίθησι λεῷ.
τοῦ δόμεν αὐτῷ ἅπανθ' ὅσ' ἔθνεα πρόσθε νέμοντο,
ἔθνεα, τὰ σφετέρων αὐτὸς ἄμερσε νομῶν.
ὅσσ' ἐργάζεθ' ἑῇ χερσ' ἔτυμα καὶ ὀρθὰ τέτυκται,
θέσμι' ἅπαντ' αὐτοῦ πιστά, χ' ἑδραῖα πέλει.
στερρά τ' ἐς αἰώνων αἰῶνας ἰδ' ἔμπεδα μίμνει,
καὶ πιστῶς γίνεται σφόδρα, καὶ ἀτρεκέως.

λύτρα-

λύτρωσιν λαῷ τῷ ἑῷ πολύλιστον ἴαλλε,
καὶ μέλλειν βάζει θώρηκι ἔθ' αἰὲν ἔμεν.
οὐνόματος φοβεροῖο λαχὼν, καὶ πᾶσιν ἀγαστοῦ,
οὔνομα πανθόσιον, πανθάγιόν τε λαχών.
ἀρχὴ ἐχεφροσύνης ὁ φόβος τοῦ κυρίου ἐστὶν,
ὧτιν' ὁπηδεύων πάνσοφός ἐστιν ἀνήρ.
κυδάλιμός τε ἑὼν ἐφ' ἑῷ πινυτόφρονι θυμῷ,
γηθήσει δόξης ἔμμορος ἀθανάτης.

## ΨΑΛΜΟΣ ΡΙΒ.

### Ὑπόθεσις.

οὐδέν οἱ εὐσεβέες δοκέουσι μὲν εἰ μὴ ἀφαυρῆς,
ἐν τῇ νῦν ζωῇ, ἄχθη ἐτώσι' ἔμεν.
ἀλλ' ἔμπης αὐτοὺς μακαρίζει ὅδ' ἔξοχα πάντων,
κἂν σφι ἀποτμότατοι κόσμῳ φανῶσι πέλειν.

Κεῖνος ἄρ' εὐδαίμων ἀνήρ τε πανόλβιός ἐστιν,
οὗ ζάθεος μυχάταις φρέσ' ἐνάρηρε φόβος.
ὅς τε μάλ' ἐνδυκέως τὰ θεόσδοτα ῥητὰ μεταλλῶν,
πᾶσαν ἔθ' ἐν μούνοις τοῖσδεσι τέρψιν ἔχει.
τηλέκλυτ' ὀψίγονοι τοῦδ' ἐκγεγαῶτες ἔσονται,
τοῦδε σπέρμ' ἐφ' ὅλης καρτερὸν ἔσσετ' ἔρας.
καὶ τῶν εὐαγέων ἡ φύτλη ἀπημοσυνάων,
εὐλογέοντα, τυχεῖν μέλλει, ἔχουσα θεόν.
τῶνδε κατοικήσει πλοῦτος τὰ μέλαθρα καὶ ὄλβος,
τῶνδε δικαιοσύνη ἔμπεδος ἔσσετ' ἀεί.
ἐν σκότῳ ἀντέλλει φῶς τοῖς ἀγαθοῖσι φαεινὸν,
παντοίην αὐτοῖς ἡγεμονεῦσον ὁδόν.

οὐρανόθεν παρὰ τοῦ οἰκτίρμονος, ἠδὲ δικαίου,
    ἔμπλεά τ' ἴσχοντος σπλάγχν' ἐλεημοσύνης.
εὐτυχίης ἀπολαύσετ' ἀνὴρ πάλιν οὗτος, ὁ κιχρῶν
    τῷ πέλας, εὐμενέοντ' ἐν φρεσὶν ἦτορ ἔχων.
νόσφι τε πάντα δόλου τὰ δέοντα, καὶ ἔνδικα πράττων
    οὐδένα πημαίνων, ἠὲ κακόν τι λέγων.
τοῖον ἄρ' οὐδεμίη κραιπνή περ ἄελλα σαλεύσει,
    τοῖος ἀντάων ἔστ' ἀμέριμνος ἀνήρ.
ἠδὲ δίκαια φρονῶν ἄτρεπτος, ἄσειστος, ἀκλινὴς,
    πᾶσι διὰ μνήμης στήσετ' ἐς αἰὲν ἐών.
ἀγγελίης ἀΐων κακοῦ ἔσθ' ὅτ' ἐπερχομένοιο,
    ἀπτοίητον ὅμως ὡς πάρος ἦτορ ἔχει.
αὐτὸς γὰρ στήριξεν ἕθεν κρατερόφρονα θυμὸν,
    εἰς τὸ ἐν ὑψιθρόνῳ κυρίῳ ἐλπίδ' ἔχειν.
θαρσαλέην κραδίην, κραδίην λάχεν ἀστυφέλικτον,
    καὶ στῆθος ταρβοῦς παντὸς ἄπειρον ὅλως.
δυστυχὲς οὐ μηδὲν, λυγρόν τε φοβήσεθ' ἕως τοῦ
    ἐχθροὺς δυστυχέειν τοὺς ἕθ' ἴδῃ κε γανῶν.
ἀκτεάνοις κτέανα ψωμίζει, χρήματα πτωχοῖς,
    οὐδὲ δικαιοσύνης ὄψετ' ἑῆς τι τέλος.
θώκου ἐπ' ἀκροτάτου ἐναρίθμιος ἥμενος ἐσθλοῖς,
    κυδῆεν κεφαλῆς οἴσει ἕθ' ὕψι κέρας.
ταῦθ' ὁ βέβηλος ὁρῶν χόλον ἄγριον αὐτίκ' ἀνάψει,
    ἠδὲ μάτην κύπερ ἑὸν τήξετ' ὀδόντε πρίων.
πᾶσα γὰρ ἡ ἀσεβῶν κενεὴ ἐπιθυμίη ἔσται,
    μελλόντων οὐδὲν τῶν μεμάασι τελεῖν.

ΨΑΛ-

# ΨΑΛΜΟΣ ΡΙΓ.

## Ὑπόθεσις.

Μέχρι πρὸς δυσμὰς βασιλεύσει ἀπ' ἀντολίηθεν,
ἐθνῶν παντοίων ἀρχὸς ὁ χριστὸς ἐών.
τούς τε ταπεινόφρονας βριάων, καὶ δόξῃ ἀέξων,
καὶ φίλα ταῖς στείραις μητράσι τέκνα διδῶν.

Αἰνεῖτ' ὦ παῖδες τὸν κύριον ἠθάδι φωνῇ,
αἰνεῖθ' ὑμετέρου κυρίου οὔνομ' ἄκρον.
οὔνομ' ἀγακλειτὸν τοῦ κυρίου ἔξοχα εἴη,
ἐκ τοῦ νῦν ὄντος, καὶ ἐς τὸν ἔπειτα χρόνον.
κλεινὸν ἀπ' ἀντολίης μέχρι δυσμῶν κυρίου εἴη
τοὔνομ', ἐπ' εὐρείης ἔνθα καὶ ἔνθα γέης.
παντοδαπῶν ἐθνῶν ὁ θεὸς γεραρώτερός ἐστι,
ἀκρότατον κῦδος, κοὐρανοπληθὲς ἔχων.
τίς θεῷ ἡμετέρῳ παγκοιράνῳ ἴκελός ἐστιν
αὐτὸν ἐφ' ὑψηλῶν τῷ ἑδράσαντι δόμων;
ὄμμασί τε ζαθέοις τὰ ταπεινὰ κατασκοπέοντι,
ὅσ' ἤτ' οὐράνιος βηλὸς, ἢ αἶα φορεῖ.
ὅς ῥα καὶ οὐτιδανὸν βροτὸν ἐκ κονιόρτου ἐγείρει,
ἔκ τε πένητα ῥύπου ὑψόει ἔκ τε κόπρου.
ὄφρ' ἐξύμβουλον τοῖς ἀρχόντεσσι καθίζῃ,
ἀρχόντεσσι λεῶ τοῖς μεδέουσιν ἑοῦ.
κἀμ μεγάροις ποιεῖ τὴν στεῖραν πρόσθε περ οἰκεῖν,
μητέρα παμπόλλοις παισὶν ἰαινομένην.

ΨΑΛ.

# ΨΑΛΜΟΣ ΡΙΔ.

## Ὑπόθεσις.

Θαύματα κλῄζει νήριθμα λυροκτύπος ὧ ναξ,
   τοῖσιν ἀπ' Αἰγύπτου λαὸν ἔθ' ἦγε θεός.
τοῦτο δὲ μηλοφάγῳ καὶ αὐτὸ ἔοικεν ἑορτῇ
   πάσχατος, ᾄδεσθαι πανταχοῦ ᾆσμα θεῷ.

Ἔγγονοι εὐπάτορες τοῦ Ἰσραῆλος ἀγαυοῦ,
   ἦμος ἀπ' Αἰγύπτου στεῖχον ἰόντες ὅρων:
βάρβαρον ὅττε λεὼν καὶ ἀλλόθροον προλελοιπὼς,
   πᾶς Ἰακωβογενὴς οἶκος ἐρημάδ' ἔβη:
τῆμος ἀείζηλος σφῶν γένεθ' ἁγιασμὸς Ἰούδας,
   τῆμος ὁ Ἰσραὴλ σφῶν κλυτὸς ἔπλετ' ἀγός.
ἴδε, καὶ ἐκτεταφὸν κραιπνῶς φύγε κῦμα θαλάσσης,
   καὶ τὸ Ἰορδάνιον ῥοῦσ' ὀπίσω τάχ' ὕδωρ.
ἀλλόμενα σκίρτησεν ἄνω ὀβριμήκετα ὄρη,
   σκιρτῆς οἱ μήλων ὡς φιλέουσι πόσεις.
σκίδνησαν τε χυτῆς γῆς αἰωρήματα κνημοί,
   πηδῆσαι προβάτων ἀρνὶ ἅτ' ἐστὶν ὀρᾶν.
Τίς σε θάλασσα φόβος φύγαδ' ἔτραπε; τίπτε δέδοικας;
   τίς σε Ἰορδάνιον στρέψε παλίσσυθ' ὕδωρ;
τί σκιρτήσατ' ὄρη καθὰ κριοί; ἠὲ τί κνημοὶ
   πηδήσασθε καθὼς τῶν οἴων τὰ τέκη;
κυρίου ὀσσομένη τὸ πρόσωπον ἡ αἶα σαλεύθη,
   κινυμένη σεισμῷ καὶ τρομέουσα τόσῳ.
καὶ προπάροιθε θεοῦ, τῆς γῆς λάβεν ἔγκατα παλμὸς,
   τοῦ δ' ἄρα σαεριγενὴς λαὸς ὦ ἱρὰ φόβει.

τοῦ με-

τοῦ μεταποιοῦντος πετρῶν ἀτέραμνα κάρηνα
εἰς λίμνας, ὑδάτων πλήρεας ἀενάων.
τούς τε ἀπόρρωγας κρατερούς τε καὶ ἀστυφελίκτους,
εἴς τινας σύνδρους πίδακας, εἴς τε ῥόους.

## ΨΑΛΜΟΣ ΡΙΕ.

### Ὑπόθεσις.

Τὰ ξόαν' οἷς ἔθνη λατρεύει ἄμοιρα ἰωῆς
ἠδὲ βίης, χρυσοῖ κἀργυροῖ εἰσὶ θεοί.
αὐτὰρ ὁ Ἰσραήλαο θεὸς, θεὸς ἰσχυρός ἐστι,
καὶ πᾶσιν χραίσμει τοῖς ἑ σέβουσι βροτοῖς.

Κύριε μὴ θνητοῖς ἡμῖν δίδου ἀνδράσι δόξαν,
ἀλλά σοι, οὐνόματος σοῦ τὸ γὰρ ἐστι γέρας.
σοῦ γέρας οὐνόματος δόξ' ἐστὶν ἅπασα κλέος τε,
σῷ τ' ἐπὶ τῷ ἐλέει, σῇ τ' ἐπὶ νητρεκίῃ.
τοῦ χάριν ἀφραίνοντ' ἐάσειας ἂν ἔθνεα φάσκειν,
ὅν ῥα σέβοντ', αὐτῶν νῦν ποῦ ἐστὶ θεός;
αὐτὰρ ὁ ἡμέτερος θεὸς οὐρανὸν ἕδρανον ἴσχει,
οἷός τε ἐστὶν ἅπανθ' ὅσ' ἐθέλησι τελεῖν.
αὐτοῖς δ' ἀνδρομέων εἴδωλα ποιήματα χειρῶν,
ἀργύρεα, σπουδῇ χρύσεά τ' ἐστὶ σέβειν.
οἷς στόματ' ἀλλ' οὐδὲν λαλέειν ἱκανοῖσιν ἔνεστι,
καὶ φάε' οὐδέποτε βλεψομένοισι δόθη.
χ' οἷς δόθη ὦτα μὲν, ἀλλ' οἷοις τε μὴ οὖσιν ἀκούειν,
ὧν ῥῖνές τ' ὀσμὴν ἔλλαχον οὐδεμίην.
ἴσχει τοι παλάμας, ἀτὰρ οὔτινος ἀντιλαβέσθαι,
ἀψύχοις δύναται σφῶν παλάμῃσιν ὅμως.

ἴσχει

ἴχει καὶ πόδας ὡς βροτοὶ ἄνδρες, ἀλλὰ βαδίζειν
οὐ δύναθ᾽, ὡς ζωός τις κε βαδίζῃ ἐών.
οὔτ᾽ ἄρ ἰαλλέμεναι δύναται πολυηχέα φωνὴν,
εἰ καὶ μιμηλοὺς πάντα φάρυγγας ἔχει.
ἰσοφυεῖς αὐτοῖς αὐτῶν οἱ πλάσται ἔασι,
οἷς τε πεποίθησις σφῶν ἐναφῆρε κράτει.
αὐτὰρ ὁ Ἰσραὴλ ἐπὶ κύριον ἐλπίδα βάλλοι,
ὅν θ᾽ ὑπερασπιστὴν, ὅν τε βοηθὸν, ἑλών.
πᾶστις Ἀαρῶνος πιστοῦσ᾽ εἰς κύριον οἶκος,
τόν τε ἀλεξίκακον, τόν τε ἀρωγὸν ἐόν.
ᾧτιν᾽ ἔνεστι φόβος τοῦ κυρίου, ἐλπίδ᾽ ἐπ᾽ αὐτῷ
θείη, ἀλεξητὴρ ἠδ᾽ ἀμύντορ ἐών.
εὐλογέει ἡμᾶς ὁ θεὸς μεμνημένος ἡμῶν,
καὶ μάκαρας χάριθ᾽ ἢ τλήμονας ἄμμε ποιεῖ.
εὐλογέει τὸν Ἀαρῶνος τηλεκλυτὸν οἶκον,
τόν τ᾽ Ἰσραῆλος κυδαλίμοιο δόμον.
εὐλογέει πάντας μιν ὅσοι περὶ κῆρι φοβοῦνται,
ξύνθ᾽ ἅμα τοὺς σμικροὺς, ξύνθ᾽ ἅμα τοὺς μεγάλους.
εὐλογίης δῶρ᾽ ὔμμιν ἐπῆς θεὸς ἄλλα ἐπ᾽ ἄλλοις
ὔμμιν ἄρ, ὑμμετέροις τοῖς τε γόνοισι πόροι.
εὐτυχίης ὑμέες παρὰ κυρίου ἔμμοροι ἐστὲ,
ὃς ποίησεν ἑῷ αἰθέρα, γῆν τε λόγῳ.
οὐρανὸς ἀενάου πᾶστις θεοῦ ἐστὶν ἔδεθλον,
γῆν δὲ βροτοῖσι βροτῶν υἱάσι δῶκεν ἔχειν.
οὐδεὶς τῶν νεκύων σε ἀναύδων κύρι᾽ ἐπαινεῖν
μέλλει, ἢ εἰς ἀΐδου δῶμ᾽ ὁ κελαινὸν ἰών.
ἀλλ᾽ ἡμεῖς μεγάλοις σε θεὸς κυδαίνομεν αἴνοις,

εἰς χρόνον ἐκ τούτου μηδὲν ἔχοντα τέλος.

## ΨΑΛΜΟΣ ΡΙϚ.

### Ὑπόθεσις.

Αἰνοπαθῶν βώστρησε θεὸν χραισμήτορ' οἱ ἐλθεῖν,
ἔκ τε μιν ἀργαλέης ἀθλιότητος ἑλεῖν.
καὶ τάχ' ἐσηκούσθη. τῷ νῦν χάριν αὐτῷ ἀνάπτει,
πᾶσί τε νιν μελέοις σύμενέοντα κλέει.

Τοῦτό μοι ἥδιστον, τόδ' ἐμοὶ χαριέστατόν ἐστι,
ὅττι δέησιν ἐμὴν κλῦσ' ἐνοπήν θ' ὁ θεός.
ἄγχι χαμὼν κεφαλὴν, ἐπεὶ ἔθ' ἐμ' οὔατα πέλασσεν,
ἤμασί μιν ζωῆς πᾶσ' ἐπιβώσομ' ἐμῆς.
σχοῖνοι ἐμὲ πλεκτοὶ τοῦ παντολέταο μόροιο,
στερρ' εἰλήφεισαν τοῦ θανάτου με πέδαι.
εὑρήκεισάν ἐμὲ θλίψεις δεῖν' ἄλλαι ἐπ' ἄλλαις,
ἀρχοῦ ὑποχθονίων τοῦ ἀίδαο μυχῶν.
ἄλγεσιν ἐγκύρσας ὀδύνῃσί τε θυμοβόροισι,
κάμμεν, ὡς μεγάλῳ βρίθεϊ τειρόμενος.
καὶ τότε κικλήσκων τὸν κύριον, αἶνυσ' ἔειπον,
τῶν δ' ἀπ' ἐμὴν ψυχὴν κύει ἀμηχανιῶν.
ἔξοχ' ὁ κύριος ἐστ' ἐλεήμων, ἠδὲ δίκαιος,
οἰκτίρμων σφόδρ' ἐστὶν ὃν σεβόμεσθα θεός.
τοὺς τ' ἀδόλους τούς τ' εὐήθεις περὶ κῆρι φυλάσσει,
κἀμὲ πεσόντ' αὖθις χερσὶν ἐγείρει ἑαῖς.
ἄνστα θ' ἐμὴ ψυχὴ πρὸς σὴν τ' ἐπανέρχεο παῦλαν,
σοῦ σ' ἔρδοντα φίλον τόσσα λαχοῦσα θεόν.
κείνη ἐκ θανάτου βιοτῆτά μου εἵλεο, κείνη
ῥύσαο με ζοφερῶν ἐξ ἀίδαο δόμων.

καὶ

καὶ τόρσηνας ἐμὰς γλήνας φίλε δακρυχεούσας
κύριε, τοὺς σφαλεροὺς πῆξας ἐμούς τε πόδας.
κυρίου ἔμπροσθεν φοιτήσομαι ὑψιμέδοντος,
ἐν τῇ ἀειζώων πάντοτε γῇ διάγων.
οὕνεκεν ἀκλινὴς, καὶ θαρσήεσσά με πίστις
ἔλλαβε, νόσφι δέους θέσφατα ῥήματ' ὁρῶ.
καὶ διὰ τοῦτ' αὐτὸ πλείστοις ὑποχείριός εἰμι
πήμασ' ἐνέδρῃσι, θλίψεσιν, ἠδὲ δύαις.
εἶπον ἀδημονέων πότ' ἀμηχανίῃσι βεβριθὼς,
πᾶς τις ψευδαλέος τὴν φύσιν ἐστὶ βροτός.
τόσσα λαβὼν θεόθεν πῶς εὐχαριστέσσομ' ἐσαῦτις,
πῶς τ' εὐεργετέειν κύριον ἔμπαλ' ἔχω;
δέξομαι εἰς ἰδίας σωτήριον ἔκπωμα χεῖρας,
κυριακόν τ' ὄσσαν τοὔνομα βώσομ' ἰείς.
εὐχωλὰς ἀποδώσομ' ἐμὰς θεῷ αὐτόθι πάσας,
ὅτθι θεοκλήτων σύλλογός ἐστι λεῶν.
τιμήεις ἔμπροσθε μόρος τοῦ κυρίου ἐστὶ,
τῶν ὁσίων ἀπὸ γῆς οἰχομένων ὁ μόρος.
εἰμὶ τεὸς δοῦλος, τεὸς ὦ φίλε δέσποτα δμῶος,
παιδίσκης θ' υἱὸς νήπιός εἰμι τεῆς.
καὶ σὺ διέρρηξας σῷ ἐμὰς τῷ κάρτεϊ σειρὰς,
κἀμὰς ἠγαθέῃ λύσαο χειρὶ πέδας.
θύσω ἀναίμακτόν σοι θῦμα, τὸ θῦμά γ' ἐπαίνων,
κυριακοῦ γεγονὼς ἄγγελος οὐνόματος.
ὅσσ' ἀθ' ὑποσχόμενος τελέθω, τάδε πάντ' ἀποδώσω
τῷ θεῷ ἐν παντὸς τοῦ ἔθνευς ὦπι λεῶ.
χ' ὑψορόφοισιν ἐνὶ ζαθέοις αὐλῆσι μελάθρου,

κὰμ ἱερῷ Σολύμων ἄστεϊ τηλεκλυτῷ.

## ΨΑΛΜΟΣ ΡΙΖ.

### Υπόθεσις.

Πᾶσαι ὅσ᾽ οἰκητῆς βασιλεῖαι ἔασιν ἐπ᾽ αἴης,
νῆσος ἔμεν Χριστὸν γνώσεθ᾽ ἅπασα θεόν.
καὶ δίχ᾽ ἄνακτα τέλους πρᾶόν τε καὶ ἐμπεδόμυθον,
καὶ πλέον εὐμενίης αἰὲν ἔχοντα κέαρ.

Κλέιετε παγγενέτην τὸν κύριον ἔθνεα πάντα,
ὅσσα τὸ εὐρύχορον τῆς χθονὸς οὖδας ἔχει.
λαὸς ἀπειρεσίης ναετὴρ πανθυμαδὸν αἴης
πᾶς τις, ἐπαίνοισιν τόνδε γεραίρῃ ἑοῖς.
οὕνεχ᾽ ἑῇ κρατερῶς ἐλεητύϊ ἄμμε σαώζει
αὐτὸς ὁ δωτίνην πᾶσιν ἅπαντα διδῶν.
κἄφθιτος ἀτρεκίη, καὶ λήξιος ἐστιν ἄκληρος,
τὴν ζαθέοισιν ἔθεν γνώρισεν ἄμμι λόγοις.

## ΨΑΛΜΟΣ ΡΙΗ.

### Υπόθεσις.

Τοῦ εὐαγγελίου ἀγγέλλει ὀβράσιμον ἦμαρ,
πᾶσιν ἐλεύσεσθαι γῆς ναέτῃσι βροτοῖς.
καὶ πολλὴν διὰ τοῦτο χάριν θεῷ αὐτὸ προσάπτει,
ζωὸς ἔτ᾽ εὐχόμενος κεῖνο τὸ ἦμαρ ὁρᾶν.

Δεῦτ᾽ ἄγετ᾽ εὐσεβέων ψυχαὶ θεοείκελοι ἀνδρῶν,
ἃς κτίσ᾽ ἀθήνητός τ᾽, αὐτόφυτός τε θεός.
δεῦτε, καὶ ὑμμετέρῳ πανθυμαδὸν, εἰς ἓν ἰοῦσαι,
τίσαθ᾽ ὁμοῦ, χαρίτων τῷ γενετῆρι χρέος.

οὕνεκα

οὕνεκα μειλίχιος, χρηστός τε μάλ᾽ ἐστὶ, καὶ ἐσθλὸς,
εἴς τε χρόνον τηρεῖ πάντ᾽ ἐλεητὺν ἑκών.
Ἰσραῆλος ἅπας λεγέτω τοῦ ἀμύμονος οἶκος,
ὅττι τέλους ἔλεος θεῖον ἄμοιρον ἔφυ.
ἱροῦ Ἀαρῶνος θεαρέστον ἐνισπέτω ἕρκος,
ἄμμορος ὅττι τέλους ἡ θεοῦ ἐστὶ χάρις.
κύριον οἱ ἐμπαζόμενοι λεγέτωσαν ἅπαντες,
αὐτοῦ ὅττ᾽ εὐμενίη ἤματα πάντα μένει.
κείνη ὀϊζυρὸς κείμην ἄτῃσι παλαιῶν,
κἀμὸν γυιοκόροις κήδεσι θυμὸν ἔδων·
τηνίκα βωσάμενος λιτόμην τὸν κύριον, ὅς μου
ἔκλυεν, εὐρύνων γήθεσ᾽ ἐμὸν τὸ κέαρ.
εἰμ᾽ ἀδεὴς πάντως, ἐπαρωγὸν κύριον ἴσχων.
πῶς κεν ἔμ᾽ ἔρδοιεν γηγενέες τι κακόν;
καρτιστός χ᾽ ὕψιστος ἐμοὶ παρ᾽ ὁ κύριός ἐστι,
καὶ χέρεσι δυῶν ἐξ ἐμ᾽ ἔθ᾽ ἄνυτ᾽ ἐμῶν.
κἀγὼ χειρώσας τὰ ἀνάρσια φῦλα δι᾽ αὐτοῦ,
ἤδη καταφθίσθαι ταῦτα γελάσομ᾽ ἰδών.
κρεῖττον ἐὰς βάλλειν ἐπὶ κύριον ἐλπίδας ἐστὶν,
ἢ ἐς χαμαιγενέας τ᾽, ἀσθενέας τε βροτούς.
λώϊον ἐλπίζειν ἐπὶ κυρίῳ ἀφθίτῳ ἐστὶν,
ἢ πίσυνον θνητοῖς ἡγεμόνεσσιν ἔμεν.
ἔθνεα κυκληδόν με ἅπαντα μάλ᾽ ἰσχάνει ἐχθρά,
πάντες ἅμ᾽ ἐγκείνται δήϊοι ἄνδρες ἐμοί.
προῤῥίζους ἐκκόψομ᾽ ὅμως σφέας ἠΰτε δένδρα,
οὐνόματος πέλεκυν κυριακοῖο λαβών.
πάντοθεν ὡς στέφανός τις ἀθροιζόμενοί με κυκλοῦσι,

εἴς τ' ἐμὲ ῥοιζηδὸν κραιπνὰ μεμᾶσι πεσεῖν.
ἀλλ' αὐτῶν κρείττων γεγονὼς, διατμήξομ' ἅπαντας,
κυρίου, ἀμφιτόμον φάσγανον, οὔνομ' ἔχων.
ὡς δ' ἑσμὸς ξουθῶν ἐμὲ ἀμπίσχουσι μελισσῶν,
νύσσοντες κέντροις χρῶτα μάλ' ὀξέσ' ἐμόν.
καὶ ὡς πῦρ ἀζαλέοις ἐνὶ ῥάμνοις σβέσσ' ἀΐδηλον,
ἔσβηνται, σφετέρῃ πειθόμενοί με βίῃ.
αὐτὰρ ἐγὼ πάλιν οὔνομ' ἅτε ξίφος ὀξὺ μεμαρπὼς
κυριακὸν, τμήσσειν σφᾶς δίχ' ἕτοιμος ἔω.
ὤθουμ' ὄφρα πεσὼν ψαύσωμαι κύμβαχος αἴης,
ἀλλά με χερσ' αἴρει κύριος αὐτὸς ἑῇς.
ἰσχὺς, καὶ ψαλμὸς, καὶ ἐμὴ σωτηρίη ἐστὶν,
ἀέναος πάντων κοίρανος ὢν ὁ θεός.
ᾄσμασι θεσπεσίοις περὶ νίκης ἀμφιμέμυκεν
αὐλὴ ἀπάνθ' ὅσιοι κἄνδιχ' ὅθ' εἰσὶ βροτοί.
δεξιὰ ἠγαθέη τοῦ κυρίου οὖσα κρατίστη,
εὖ τελεῖ μεγάλῃ ἔργ' ἐπίσημα βίῃ.
δεξιὴ ἀειρομένη τοῦ κυρίου, ἤματα νίκης
οὐ λήγοντα κλυτῆς, κυδαλίμης τε κρατεῖ.
οὐ τεθνήξομ', ἀτὰρ βιοτῆτι ζήσομ' ἰανθεὶς,
ἔργα τε κηρύξω ὅσσ' ἐτέλεσσε θεός.
δρεξάμενος μαστίζει ἐμὸν σῶμ' ἔξοχ' ἱμάσθλαις
κύριος, ἀλλ' ὀλοῷ οὐ διδόει με μόρῳ.
δεῦτε δικαιοσύνης καί μ' οἴγετε καμπυλόεσσας
νωὶ πύλας, ἐσιὼν τὰς, θεὸν ὄφρα κλέω.
ἥδε πύλη, πύλη ἐστὶ θεοῦ μονοσέπτου, ἀγαστοῦ,
τὴν ἐσελεύσονται, οἷς τὰ δίκαια μέλει.

σοὶ χάρις αἰὲν ἔοι θεὸς, ὅττι μοι ἄλγε᾽ ὀφέλλεις,
 εἶτε ἐμὲ σφείων χειρὶ σῇ αὖτε ῥύῃ.
λᾶας ὃς ἀχρεῖος τοῖς τέκτοσιν ἔμμεν᾽ ἔδοξεν,
 οὗτος γωνίης κρᾶς μέγα κεῖται ἐών.
τοῦδε μόνος ῥεκτὴρ πανυπέρτατος ἔργματός ἐστιν,
 ὄμμασι θαυμαστὸν ἡμετέροισι, θεός.
τοῦτο τέτυκτ᾽ ἦμαρ τὸ ἀγακλεές τε καὶ ἱερόν,
 τὸ στήσας κέκλεται κύριος εἶν᾽ ἅγιον.
ᾧ ἔνι χαρμοσύνης πλέ᾽ ἀγαλλιασώμεθα πάντες,
 ᾧ ἔνι κλείωμεν γαννύμεν᾽ ἡδὺ θεόν.
κύριε χρισμήτωρ ἵλαθ᾽, ὦ φίλε κύριε σωτὴρ
 γίνου ἅπασι διδοὺς πράγεσιν εὐοδίην.
ἄξιος εὐλογίης ὡς ἔοιθ᾽, ὡς ἔμμορος εἴη,
 οὐνόμαθ᾽ ὁ προσιὼν κυρίου ἐν ζαθέῳ.
πᾶσ᾽ εὔφημα ὑμῖν φωνοῦμεν ὁμοθρόῳ αὐδῇ,
 οἳ τοῦ κυριακοῦ ἐνναέτ᾽ ἐστὲ δόμου.
ὁ κρατέων ξυνάπαντα μόνος, θεὸς ἄμβροτός ἐστι,
 καὶ ταῖς ἡμετέραις φῶς πραπίδεσσι φέρει.
κοσμεῖτ᾽ ἐν κλεινῇ κηώδεα νηὸν ἑορτῇ,
 βωμοῦ ἄχρι χλοεροῖς εὐκεράοιο κλάδοις.
τύνη ἐμὸς θεὸς ἐσσὶ, τεῖν χαρίτων χρέος οἴῳ
 τίσω, ὑπερβάλλον σοὶ κλέος αἰὲν ἀρῶ.
θεῖα φίλαι ψυχαὶ δαιδάλματα, κτίστορ᾽ ἐπαίνοις
 δόξασαθ᾽ ἡμέτερον, καὶ χαρίτεσσι θεόν.
ἤπιος ὅττι λίην, λίην ὅτι μείλιχός ἐστιν,
 ἀλλήκτῳ τε πλέως τὰς φρένας εὐμενίης.

## ΨΑΛΜΟΣ ΡΙΘ.

### Ὑπόθεσις.

Τοῦτο μέγιστον ἐὸν τὸ μέλος τὰ μέγιστα διδάσκει,
ἤγουν τὰ ζαθέου θέσμι᾽ ἀγαστὰ λόγου.
τὰ κλείων, καὶ δοξολογῶν, καὶ ἄμμι πινυστῶν,
ἀκροαταῖς διδαχῆς μέμφεται οὐκ ἐτεῆς.

### ὀγδοὰς α.

Ὄλβιοί οἱ ζωὴν διάγοντες ἀμεμφέα πᾶσαν,
καμβαίνοντες ἀεὶ τοῖσι θεοῖο νόμοις.
ὄλβιοι οἷς τηρεῖν τοῦδ᾽ ἔμπεδα μαρτύρι᾽ ἁγνῶς,
ζητεῖν τε κραδίῃ σπουδή ἐστιν ὅλῃ.
οἱ γὰρ ὁδοῖς αὐτοῦ στείχοντες ἐν ὀρθοκελεύθοις,
οὔτ᾽ ἄνομον ῥέζουσ᾽ ἔργματι, οὔτε κακόν.
κοίνῃ θεσπεσίας τὰς σὰς ἐκέλευσας ἀνωγάς,
σφόδρα φυλάξασθαι πᾶσι βροτοῖσι θεός.
αἴθε βίον ναίων διάγοιμι ἐπὶ χθονὶ τοῖον,
ὄππως ἐντολέων σῶν κεν ἔοιμι φύλαξ.
εἰς τὰς σὰς πάσας μόνον κὴν ἀτενίσω ἐφετμάς,
οὔτις ἐλεγχείην ἔσσει ἐμ᾽ ἀμπλακίῃ.
ἰθείης κραδίης χάριν οἶδά σοι ἐκγεγαυῖαν,
ῥητὰ δικαιοσύνης σῆς παρὰ σεῖο δαείς.
ἔμπεδα τηρήσω τὰ νόμαια σέθ᾽ ἔμπαλιν αὐτὸς
μήποτε, τὸν σέθ᾽ ἀεὶ δυόμενόν, με λίπῃς.

### ὀγδοὰς β.

πῶς κεν ἀμωμήτως νεανίσκος ὃν οἶμον ὁδεύσῃ;
ὡς ἄρα, πειθήμων σοῖσι λόγοισιν ἐών.

ἐν ξυνόλῳ μαστεύει ἐμός σε στήθεϊ θυμὸς,
  τῷ νόμοι᾽ οὐκ ἐάσῃς τόνδ᾽ ἀπὸ σοῖο τυχεῖν.
ἐν κραδίης θαλάμῃσιν ἐμῆς τὰ σὰ θέσφατα κεύθω,
  μή κε προσκρούω σοί, τιν᾽ ἁμαρτοσύνῃ.
κύρι᾽ εὐκλεὲς σὺ ἀτέρμονος ἄξιος ἐσσὶ,
  σάς με ἐφημοσύνας, σοὺς με δίδασκε λόγους.
θηγόρον ἀμπτύξας στόμ᾽, ἐμοῖς χείλεσιν ἐνίψαι
  βούλομ᾽ ἅπαντα τεοῦ ἀνθερεῶνος ἔπη.
γῆθος ἐμοὶ πέλεται ἡ ὁδὸς σῶν μαρτυριάων
  τόσσον, ὅσον κε φέρῃ πᾶσα ῥυηφενίη.
ἄττα σὺ προστάξας ἐπετείλαο, ταῦτα πιφαύσκω,
  εἴστε τεὰς τῷ ἐμῷ ὄσσε τιταίνω ὁδούς.
τῆς σέθεν ἐνδικίης κηρύγματα τέρπομ᾽ ἐρευνῶν,
  οὐδέ τις ἔκλησις σῶν ἐμὲ δύνει ἐπῶν.

ὀγδοὰς γ.

σὺ με τεὸν ῥέξον θεράποντ᾽, ἵνα σεῖο διδόντος
  ζώοιμ᾽, ἠδ᾽ ἐν σοῖς ὄφρα μένοιμι λόγοις.
οἶξον ἐμὸν πηλῷ ῥυπόωντι κατώρυχον ὄμμα,
  θαυμάσι᾽ ὄφρ᾽ εἰδῶ σοῖς ὅσ᾽ ἔνεστι νόμοις.
οὐ γῆς ἰθαγενὴς, περίφοιτος δ᾽ ξένος εἰμὶ,
  μὴ κρύψῃς λογίων ῥητά μοι ἱρὰ τεῶν.
ἀρρήτῳ ψυχή τιν᾽ ἐμὴ κατ᾽ ἔρωτι τέτριπται,
  καὶ ἱμείρῳ θεσμῶν ἤματα πάντα τεῶν.
τοῖς μεγάλ᾽ ἐκπάγλως καὶ ὑψηλὰ φρονοῦσιν ὁμοκλεῖς,
  ἐστὶ κατάρ᾽ ὅστις σῶν ἑκάς ἐστι νόμων.
ἆρσον ἐπεσβολίας ἀπ᾽ ἐμοῦ καὶ ὀνείδε᾽ ἀπεχθῆ,
  σῶν γὰρ μαρτυρίων ἔμπεδός εἰμι φύλαξ.

ἕζονται, καὶ μοῦ κατὰ δεινὰ δυνάσται ὀροῦσι,
σῶν δ' ἐγὼ τεθμῶν σὸς περὶ δοῦλος ὁρῶ.
ἔξοχα σοῖς λογίοις ἐγκείμενος ἧδομ' ἀτρέπτως,
καί σφισι συμβούλων χρῶμ' ἐπιδευόμενος.

ὀγδοὰς δ.

Ἐν δαπέδῳ ψυχὴ ἡ ἐμὴ κεῖτ', ἔν τε κονίῃ.
ζώγρει ἔμ', ἀψευδεῖ ὥσπερ ὑπέσχεο ἔπει.
τἀμὰ κέλευθα τεῖν σύ μου ἀγγέλλοντος ἀκούεις.
ποίησον νομίμων τῶν σοῦ ἔμ' ἴδριν ἔμεν.
τῶν σέθ' ἀνωγάων ἐμοὶ ἱρὴν δεῖξον ἀταρπόν,
καὶ τὰ σὰ κληΐζων θαυμάσι' ἔργματ' ὁρῶ.
τήκομ' ἄχεσι φίλον δεινοῖς βεβολημένος ἦτορ,
δὸς καθ' ὑποσχεσίας μοι σθένος ἠῢ τεάς.
τὴν ἀδικίην ἀπ' ἐμοῦ καὶ ὁδὸν ἀλήμον' ὀρύκῃς,
μήτ' ἄρ ἐμοὶ φθονέῃς σοῦ τὸ δίδαγμα νόμου.
οἶμον ἐτητυμίης ἐκλεξά μοι εὐσεβίης τε,
σὰ στήσας γλυκίων κρίματα πρόσθεν ἐμεῖο.
μαρτυρίων τῶν σῶν ἀντίχομαι, οὔποτ' ἐῴης
αἰσχύνην πυρί με βλῆσθαι ἀεικελίην.
κὴν παραμυθήσῃ σὺ ἐμὸν κέαρ, αὐτίχ' ὁδεύσω
ἐντολέων τροχόων σῶν ταχύγουνος ὁδόν.

ὀγδοὰς ε.

ἰθύπορ' ἔνδειξον σῶν μοὶ τὰ κέλευθα νομαίων,
ὅππως τηρήσω μέχρις ἐκεῖνα τέλους.
δὸς σύνεσίν μοι, ὅπως τὸν σὸν νόμον αἰὲν ὀρύνω,
χ' οἱ δι' ὅλῃ τελέω πειθόμενος κραδίῃ.
ἐσσὶ τρίβοιο τεῶν πιστός μοι ὁδηγὸς ἐφετμῶν,

ὅττι

ὅττι σφόδρ' αὐτὰς καὶ περὶ κῆρι φιλῶ.
κλῖνον ἐμὴν κραδίην ἐπὶ σῶν θεσπίσματα μύθων,
 οὐκ ἐπὶ χρυσομανῆ τὴν φιλοχρημοσύνην.
στρέψον ἐμὰς γλήνας, ἵνα μὴ τὰ μάταια δράκωσι,
 κὰν ταῖς σαῖς ζωὴν θάλψον ὁδοῖσιν ἐμήν.
πίστωσον θεόφραστα τεῷ σ' ἐντάλματα δούλῳ,
 ἀστεμφὴς ἴσχῃ ὄφρα με σεῖο φόβος.
εἶρξον ὀνειδισμοὺς ἀπ' ἐμοῦ, τοὺς δείδια θυμῷ.
 καὶ γὰρ χρηστὰ τὰ σὰ κρίμαθ' ἅπαντα πέλει.
ἠνίδε καρδιόθεν τῶν σῶν ἱμείρομ' ἀνωγῶν,
 τῶν ἀνάψυχοις σῇ με δικαιοσύνῃ.

ὀγδοὰς ζ.

σὴ ἐλεημοσύνη ἐπ' ἔμ' ἡ πουλύλλιτος ἔλθοι,
 σή με βοηθείη σὸν κατ' ὀναίη ἔπος.
κέρτομ' ἐμ' ὄφρα δόμεν βάζουσιν ἀπόκρισιν ἴσχω,
 οὕνεχ' ὅλῃσι τεῷ φρεσὶ πέποιθα λόγῳ.
καὶ μὴ ἀπὸ στόματος τοῦ μοῦ τὸ ἐτήτυμον αἱρῇς.
 ἐν σοῖς γὰρ πᾶσαν κρίμασιν ἐλπίδ' ἔθην.
πάντοτε σὸν τηρεῖν νόμον εἰς αἰῶνα μενοινῶ,
 καὶ δὴ ἐς ἀέναόν τ' ἀΐδιόν τε χρόνον.
γηθόσυνος χωρεῖς τε φόβου καὶ δείματος εἶμι,
 καὶ γὰρ ἐφημοσύνας δηέμεν εἶμι τεάς.
σῶν περὶ μαρτυρίων βασιλεῦσ' ἀντώπιος ἑστὼς
 μυθοῦμ' αἰσχύνης ἔμμορος οὐδεμιῆς.
πᾶσί τε μοὶ παρά σου τοῖς προρρηθεῖσ' ὑπακούων
 ἥδομ' ἄγαν, σφείων φίλτερον οὐδὲν ἔχων.
πρός τ' ἀγαπιζόμεν' ἂρ τὰ σά μοι προστάγματ' ἀνίσχω
 χεῖρε,

χαῖρε, δικαιοσύνης σῆς τὰ νόμαια λαλῶν.

ὀγδοὰς η.

Μνώεο σῶν ἐπέων σῷ ἐμοὶ τῷ δούλῳ ἐόντι,
οἷς ἐπ' ἐμ' ἀσφαλέως ἐλπὶς ἅπασα τέθη.
ἔνθεν ἐμῆς ἐν τῇ παραμυθίη ἔρχετ' ἀνίαις.
σὸς γὰρ ζωοῦργὸς ζωοποιεῖ με λόγος.
ἄνδρες ὑπέρθυμοι κατ' ἐμοῦ γελόωσι κατηφοῦς,
οὐχὶ νόμοι' ἔμπης τῶν σοῖ' ἀφίσταμ' ἐπῶν.
ὅττ' εἰς νοῦν κόσμου τὰ σὰ κρίματ' ἐμ' ἔρχετ' ἀπ' ἀρχῆς,
τόττε παρηγορίης ἔμπλεον ἦτορ ἔχω.
ὡς πυρὶ ἐκκαύθην ἀσεβέεσιν ἐπ' ἀνδράσι κηλέῳ,
ὕβρει ἀῤῥήτῳ σὸν προδιδοῦσι νόμον.
ψάλλω ὅσσα σέθεν προπάροιθε δίκαια πέλονται,
τοῦτ' ὄφρ' ἐπιχθόνιον δῶμ' ἄτ' ἔπηλυς ἔχω.
νύκτα δι' ἀμβροσίην σὸν τοὔνομα φράζομ' ἐν εὐνῇ,
καὶ πιστὸς γίνομαι σοῖο νόμοιο φύλαξ.
θησαυρὸς τόδ' ἐμοί, τόδ' ἐμοὶ κειμήλιόν ἐστι.
δίζεσθ' ἔν τε νόῳ τὰ προσέταξας ἔχειν.

ὀγδοὰς θ.

Τοῦτο μέρος καὶ κλῆρον ἐμὸν χρὴ ἔμμεν' ἔειπον,
οὐκ ἀθετεῖν στόματος θέσκελα ῥητὰ τεοῦ.
βυσσόθεν ἐκ κραδίης δέομαι τοῦ σεῖο προσώπου,
οἰκτειραί με, καθὼς ἀμφαδόν ἐστ' ὅτ' ἔφης.
φράζομαι ἐνδυκέως τὰμ' ἴχνη ἐχέφρονι θυμῷ,
τοὺς τε ἐμοὺς λογίων σῶν πόδας ἐγγὺς ἔχω.
μηδὲν ἐπειγόμενον μ' ἀνακόπτει, μηδὲν ἔμ' ἴσχει,
τοῦ μὴ ἐφετμάων τῶν σέο φροντίδ' ἔχειν.

ληΐζοντ' ἀσεβῶν ἀνδρῶν ἐμ' ἀπεχθέα φῦλα,
  σὸν δ' ἔμπ' ἀμνηστῶν οὐ προλέλοιπα νόμον.
ἀνστάμενος χάριτας θύω σοι νυκτὸς ἀωρί,
  ὀρθὰ δικαιοσύνης κρίμαθ' ὅτ' ἐστὶ τεῆς.
χρῶμ' ἑτάροις τούτοις καὶ ἠθάσιν, οἵ σε φοβοῦνται,
  οἵ τε τεῶν φύλακοι στερροὶ ἔασι λόγων.
κύριε πᾶσα γέμει τῆς σῆς ἐλεητύος αἴη.
  ποίει ἐμ' ἐντελέων τῶν σέθεν ἴδμον' ἔμεν.

ὀγδοὰς ι.

ὡς ἀγαθ', ὡς πάμπολλ' ἔρδεις σὸν χρηστά με δμῶον,
  σὺ τάδ' ὑποσχέσθαί μοι πάλ' ἐπιστάμενος.
ἐσθλὴν παιδείην καὶ μετριότητα δίδαξον,
  ἀγνάμπτως νομίμοις πειθόμενόν με τεοῖς.
πρὶν τεταπεινῶσθαί με, ἀλώμην ἔνθα καὶ ἔνθα,
  νῦν δὲ τεοῖς ἀπλανῶς ἐν λογίοισι μένω.
μειλίχιος, καὶ χρηστὸς ἄγαν, καὶ ἤπιος ἐσσί,
  σοῦ με μαθήτευσον ῥήματ' ἀγητὰ νόμου.
ψεύδη δ' ὀρσύγονται κατ' ἐμοῦ ὑπερήφανοι ἄνδρες,
  σῶν δὲ ὀπηδὸς ἐγὼ κηρόθι εἰμὶ λόγων.
ὡς στέαρ ἢ τυρὸς καρδίαι σφισίν εἰσι παχεῖαι,
  σὸς δ' ἐμοὶ τέρψις, χ' ἡδονή ἐστι νόμος.
εὖ ἔχει, ἐξ ὕψους ὅτ' ἐμ' ἄρ κατ' ὄβραζε βέβληκας,
  ὄφρα δικαιοσύνης θεσμὰ μάθοιμι τεῆς.
ἠγεγαὼς στόματός σου ἐμοὶ θροῦς φίλτερός ἐστι,
  μυρία ἢ χρυσοῦ ψήγματα κἀργυρέου.

ὀγδοὰς κ.

σῶν πρὸς ἐποιήθην παλαμῶν πλάσθην τε, νόησιν

δός

δός μοι, ἐφημοσύνας σὰς ἵν' ἔχω κε μαθεῖν.
οἱ σὲ φοβούμεν' ἐμὲ φρεσὶν εὐθυμοῦσιν ὁρῶντες,
οὕνεκα προσδοκίη μοι λόγος ἐστὶ τεός.
ἔγνων τοῦτο σαφῶς τὰ σέθ' ἔνδικα κρίμαθ' ὅτ' ἐστὶ,
χ' ὅττι με μάστιξας, πιστά μ' ἰδ' ἐσθλὰ φρονῶν.
σῇ χάριτ' ἀντιλαβοῦ ἐμέθεν, καὶ πάρ με κάλεσσον,
ὡς δή ἐμ' ἰσχύρισας πολλάκ' ὑπισχόμενος.
ἐλθὼν οἰκτισμὸς σὸς ἐμοὶ βίου αἴτιος εἴη,
ὅττι τεὸν σφοδρῷ δίζομ' ἔρωτι νόμον.
αἰσχυνθείησαν μοι ἀλαζόνες ἐχθρὰ φρονοῦντες
ψευδολόγ', αὐτὰρ ἐγὼ τὰ φράσομ' ἄττα κέλῃ.
εἴησαν φίλ' ἐμοὶ καὶ ὁμέστιοι, οἵ σε τρέοντες,
καὶ οἱ μαρτυρέων ἴδμονές εἰσι τεῶν.
μίμνοι ἐμὴ κραδίη ἐνὶ σοῖς θεσμοῖσιν ἄμωμος,
μή κεν ἐρυθραίνῃ ὄψιν ἐμήν τι δέος.

ὀγδοὰς λ.

Ψυχὴ ἐμὴ τὸ τεὸν ποθέει σωτήριον αἰνῶς,
σοῖς ἐφ' ἅπασαν ἔθηκ' ἐλπίδ' ἔγωγε λόγοις.
σῶν πολλὺς μύθων τάσδ' ἵμερος ἴσχει ὀπωπὰς,
βαζούσας· μέλλεις πότε με παρακαλέειν;
ὅττι κατέσκληχ' ὡς ἐνὶ καπνῷ κείμενος ἀσκὸς,
οὐκ ἐπιλησάμενος τῶν νομίμων σέθ' ὅμως.
πόσσα με προσδοκάαν τὸν σὸν δεῖ ἤματα δοῦλον;
αἰνὰ διώκοντας πυκινὰ τοὺς με κρινεῖς;
ἄνδρες ὀρύσσουσιν λάκκους μοι ἀγαυροὶ ἐόντες,
ἀλλ' οὐκ εἰδομένους σοῖς ζαθέοισι νόμοις.
ξύμπαντ' ἀτρεκίη τὰ σέθεν προστάγματ' ἔασι,

ψευδε-

ψεύδεσι θλίβομ', ἐμοὶ ἐλθ' ἐπαρωγὸς ἐών.
μικροῦ δεῖν ἐπὶ γῆς με διαρραίσαντες ὄλεσσαν,
οὐκ ἔμπης προδότης τῶν σέθεν εἰμὶ νόμων.
σύ με ζωγροίης ἐλέους μεμνημένος, ὅππως
μαρτυρίων στόματος τῶν σοῦ ἔοιμι φύλαξ.

ὀγδοὰς μ.

εἰς χρόνον ἀενάοντα τεὸς λόγος ἀστυφέλικτος,
τηλεφανοῦς περάτων αἰθέρος ἄχρι μένει.
εἰς γενεὰν στήκει γενεάν τε ἀληθείη ἄλλην
σὴ, τὰ θέμεθλ' αἴης θῆκας ἐφ' οἷσι μένει.
ἐκ τοῦ νῦν σύμπαντ' εἰς τοὐπίον ἤματος ἦμαρ
μίμνει, ἐφημοσύνῃ δοῦλά γ' ἐόντα τεῇ.
εἰ μὴ σοῦ νόμου παραμυθήσαιτό με ὀμφὴ,
μηδὲν ἂν ἠτληθεὶς ἀθλιότησιν ἔκιν.
μηδέποτ' οὖν χ' ἐξῆς τῆς σῆς ἐπιλήσομ' ἐφετμῆς,
ἥ μοι ἀνάψυξιν ζωοδότειρα φέρει.
εἰμὶ τεὸς, τεὸν ἔμμεν' ἐῶν ἐμ', ἀρωγὸς ἐμ' ἴσθι.
καὶ γὰρ δίζημαι ῥεζέμεν ὅσσα κέλῃ.
κῆρά μοι οἰσόμενοι λοχόωσι πονηροὶ ἔμ' ἄνδρες,
σῶν δ' ἐμοὶ θεσμῶν, τῶν λογίων τε μέλει.
πάντα τέλος σφέτερον κεκιχηκόθ' ἑώρακα λῆξαι,
σὸς δὲ τέλους παντὸς ἄμμορός ἐστι λόγος.

ὀγδοὰς ν.

ὡς φίλος, ὡς τεθμὸς σὸς ἐμοὶ καταθύμιός ἐστι,
τὸν μελετῶν ἀπὸ μὴ παύομ' ἂν ἦμαρ ὅλον.
ταῖς ἐχθρῶν ποιεῖς φρονιμώτερον εἶν' ἔμ' ἐφετμαῖς
τὸν ἐμέθ', ἀΐδιον κτῆμα γάρ εἰσιν ἐμοί.

τῶν

τῶν μου ἐπιστατέων πάντων συνετώτερός εἰμι,
ἠπειδὴ λογίοις νοῦν προσέθηκα τεοῖς.
μείζων τὴν πινυτὴν πολυπείρων εἰμὶ γερόντων,
χρηστῷ ὑπαὶ θεσμῶν σῶν ζυγῷ αὐχέν' ἔχων.
παντὸς ἐμοὺς ταρσοὺς οἴμου ἀβάτοιο ἀπείργω,
ὄφρα τεοῦ φύλακος ῥήματος αἰὲν ἔω.
οὐκ ἄλλῃ, προλιπὼν τὰ σὰ δόγματα, τὸν πόδ' ὄρειδα,
ὅττι κατηχητὴς τῶνδε ἐμοὶ σὺ πέλῃ.
σὸν ῥῆμα βρόχθῳ τῷ μῷ γλυκερώτερόν ἐστι,
ἢ ἐκ μελισσάων ἡδὺ πόνημα μέλι.
πολλὴν ἰδμοσύνην σὸς ἐμῆς λόγος ἐν φρεσὶ τίκτει,
τῷ ῥα ἀλημοσύνης μισῶ ἅπασαν ὁδόν.

ὀγδοὰς ξ.

σὸς λόγος αἰγλήεις λύχνος ποσίν ἐστιν ἐμοῖσι,
σὸς φάος μέγ' ἐμῆς ἐστ' ἀτραποῖσι λόγος.
ὤμοσα, καὶ πιστῶς ὡς, ἤντ' ἂρ ὤμοσα ῥέξω,
δόγματα σῆς τηρῶν πάντα δικαιοσύνης.
σφόδρ' ἐταπεινώθην, σὺ ταπεινωθέντ' ἀνεγείρειν
σπέρχεο, σῶν ἴσχων ἐν φρεσὶ μνῆσιν ἐπῶν.
δέχνυσο τὰ στόματ' ἄρ τοι ἑκὼν ἐμῷ ἱερὰ θύω,
κοινωνῶν κρίσεώς μοι τὸ δίδαγμα τεῆς.
ταῖσδ' ἐνὶ πάντοτ' ἐμὴν ψυχὴν χείρεσι κομίζω,
μνῆστιν ὅμως θεσμῶν σῶν ἀτίνακτον ἔχων.
δυσσεβέες κρυφίας τανύουσί μοι ἄρκυας ἄνδρες,
οὐ σῶν ἐντολέων πλάζομ' ἀπόπροθ' ὅμως.
κληροῦχος σῶν μαρτυρίων αἰώνιός εἰμι
τοῖς μεγάλως κραδίη ἐν φρεσ' ἀγάλλετ' ἐμή.

πρηνη-

περιώνυμον κάμπλω τεὸν φίλον ἦτορ, ἐς αἰεὶ
  κραινέμεν, ἔμπεδον τέθμι' ὅσ' ἐστὶ σέθεν.

ὀγδοὰς ο.

οἵσι νέης διδαχῆς μέλεται τοὺς δ' ἔξοχα μισῶ,
  σοῦ δ' ἔραμ' ἁπάσῃ αἰὲν ἔρωτι νόμου.
ἀσπὶς ἐμοὶ σὺ πέλεις, καλιὴ, θώρηξ τε, κόρυς τε,
  ἐλπομένῳ τὰ ἑῶν ἐμπεδόμυθος ἔφης.
φεύγετε τηλόσ' ἐμοῦ κακὴ' ἐλέγχε', ἀτάσθαλοι ἄνδρες.
  δράσω γὰρ δρᾶσαι ὅσσ' ἐκέλευσε θεός.
σῶζέ μ' ἔπει σέθ', ὅπως τοῖς ζώσ' ἐναρίθμιος εἴω,
  μήτε ὑπ' ἐλπωρῆς ἐξ ἀπάφωμαι ἐμῆς.
ἦν μόνος μοὶ καὶ σωτήριον ἐγγυάλιξον,
  καὶ τερφθήσομ' ἀεὶ σοῦ μελέτῃσι λόγου.
συντρίβεις διδαχῆς σῆς πάντας ἀποστατέοντας,
  ὅττι ψευδὲς ἅπαν σφῶν τὸ φρόνημα πέλει.
πάντας τοὺς ἀσεβεῖς ἀποβάλλεις ὡς σκύβαλόν τι,
  τοὔνεκα μὴν λήγω δόγματα σεῖο φιλῶν.
πάλλομ' ὅλον ῥίγει τρομέω τε δέμας, σὲ δεδοικώς,
  κἀμ' ἐπὶ σοῖς κρυερὸν κρίμασι τάρβος ἔχει.

ὀγδοὰς π.

οὔνομά μοι φροντὶς καὶ ἔνδικα ῥεζέμεν ἐστὶ,
  μή με ἐπηρείαις ἔκδοτον ἔμμεν' ἔα.
ἴσθι παράκλητος, καὶ σοῦ θεράποντος ἀμύντωρ,
  μή τις ἀγηνορίῃ ἢ πίσυνός, με βλάβῃ.
εἰς τὸ σὸν ἀμβλὺς ἔω σωτήριον ὄσσε τιταίνων,
  εἴς τε δικαιοσύνης ῥητὰ σεβαστὰ τεῆς.
σὴν ἐλεημοσύνην κατὰ, σόν με δμῶα κυβέρνα,

καὶ μὲ ὀπηδεῖσαι σοῖσι δίδασκε λόγοις.
κοιράνῳ ὡς θεράπων, οὕτω σοὶ ὑπήκοός εἰμι,
δός συνέσιν μοι, ὅπως θέσφατά κεν σὰ μάθω.
ἀγχιφανὴς χρόνος ἦλθε θεὸς δίκῃ ὥριος ἐστὶ,
ὅττι νόμον λῦσαν σὸν δίχα τμηξάμενοι.
τοὔνεκά μιν χρυσοῦ καὶ ὀβρύζου αὐγαλέου πρὸ
μᾶλλον, ἐγὼ στέργω, καὶ περὶ κῆρι φιλῶ.
τοῦδε χάριν πρὸς σὰς ἰθύνω ἐμαυτὸν ἀνωγάς,
καὶ ψευδεῖς στυγέω ἠλιθίας τε τρίβους.

ὀγδοὰς ρ.

Θαυμάσι' ἐστὶ τὰ σῆς λίην θεσπίσματα φωνῆς,
τοὔνεκ' ἐμῇ ψυχῇ ἔξοχα τῶνδε μέλει.
ῥῆμα καταυγάζει τὸ τεὸν ξύμπαντα φαανθὲν,
καὶ σοφίην πολλὴν τοῖς ἀσόφοισι δίδοι.
ἀσθμαίνων τοὐμὸν στόμ' ἔῳγα, κέχηνά τ', ἐφετμῶν
ἀντιλαβέσθ' ἐθέλων τῶν σέο χείλεσ' ἐμοῖς.
οἰκτίζων ἐπ' ἐμὲ βλέψον, σοι ἅτ' ἐστὶ συνήθες
ἐρδέμεν, οὔνομ' ἀεὶ τοῖς ἀγαπῶσι τεόν.
πρὸς τεὸν ἴθυνον τὰ ἐμοῦ διαβήματα μῦθον,
μήτ' ἔασον κρείττω μου τιν' ἁμαρτάδ' ἔμεν.
ῥῦσ' ἀπ' ἐπηρείης βροτέων με καὶ ὕβριος ἀνδρῶν,
ὡς ἀμελὴς τῶν σῶν οὐδενὸς ἔσσομ' ἐπῶν.
ἔλλαμπ' ἀκτῖσιν τοῦ σοῦ σὸν δμῶα προσώπου,
κᾆμ' ὑφ' ἅπαντα τίθει σοῦ τὰ δίκαια λόγου.
ῥεῖθρα ἀπ' ὀφθαλμοῖιν λάβρως καταλείβετ' ἐμοῖιν
σοῖ' ἐφ' ὑπερβασίαις οὐλομένῃσι νόμου.

ὀγδοὰς σ.

οὐκ ἄδικος πέλεαι ὦ κύριε, ἀλλὰ δίκαιος,

ἰθείης κρίνων σταθμῇ ἅπαντα δίκης.
σῆς σὺ δικαιοσύνης ἐπετείλαο μαρτύρι᾽ αἰνῶς,
καὶ τῇ ἀληθοσύνῃ κέκλῃ ἅπασι μένειν.
θυμοβόρος τις ζῆλος ἐμὸν καταδαίνυται ἦτορ,
ἀμνηστεῖν, ἀλγοῦν, φῦλα σοῦ ἐχθρὰ λόγου.
ὡς πυρὶ θεσπιδαεῖ κεκαθαρμένα, λαμπετόωσι
ῥήματα σὰ ψυχῇ δούλου ἐραστὰ τεοῦ.
σμικρὸς ἐὼν δοκέω λόγου ἄξιος οὐδενὸς εἶναι,
ἀλλ᾽ οὐκ ἐντολέων σεῖο λέλησμαι ὅμως.
ἔστι δικαιοσύνη ἡ ἐνδικίη σὴ ἀτέρμων,
χ᾽ ὡ σὸς ἐτητυμίῃ αἰὲν ἐοῦσα νόμος.
εὗρον ἀμηχανίαι, εὗρόν τ᾽ ἐμὲ θλίψιες αἰναὶ,
ἀμφοτέρας νικῶ σοῦ μελέτῃσι λόγου.
ἔστι δικαιοσύνης σὰ θεοπρόπι᾽, ἔμμορ᾽ ἀληγοῦς,
τὰ γνῶμαί μοι δὸς, καὶ σάος ἔσομ᾽ ἀεί.

ὀγδοὰς τ.

Ἐκ κραδίης δὴ κράζω ὅλης, κράζοντος ἄκουσον
κύρι᾽, ἀεί με σέθ᾽ ὥστ᾽ ἐν φρεσὶ τέθμι᾽ ἔχειν.
αἰνῶς σὲ βωστρῶ, βωστροῦντέ μοι ἔρχεο χραίσμων,
σῶν λογίων πολλὴ φροντὶς ὅπως μοι ἐνῇ.
ἠοῖ ἅμ᾽ ἐρχομένῃ μετ᾽ αὐτῆς πρὸς σὲ ἱκάνω,
σοὺς ἐγκομβώσας ἐλπίσ᾽ ἐμῇσι λόγους.
φάε᾽ ἄϋπν᾽ αἴρω πρὸ τοῦ ὄρθρου φαινομένοιο,
ῥῆμα διὰ στόματος σόν τε ἐθίζομ᾽ ἔχειν.
δέχνυσ᾽ ἐμὴν κινυρὴν οἰκτίρμων κύριε φωνὴν,
καὶ τὸ ζῆν ἐπὶ σαῖς μοι κρισέεσσι δίδου.

ἐγγὺς ἐμεῖο γένοντ' οἱ ἴσχοντές με δι' ἔχθους
δεινοῦ, ἀτὰρ νομίμων τηλόθ' ἔασι τεῶν.
κύριε σὺ σχεδὸν εἶ, σὺ πλησίον ἵστασαι ἡμῶν,
καὶ σὰ ἐτήτυμ' ἀεὶ ῥήματ' ἅπαντα πέλει.
ἔκπαλαι ἀριφραδέως λογίων περὶ σῶν τόδ' ἐπέγνων,
ὅττι τάδ' ἀλλήκτως θεμελίωσας ἔμεν.

ὀγδοὰς υ.

εἴσιδ' ἔμ' αἰνόμορον, καὶ ἔξελ' ἀμηχανιάων.
οὐ γὰρ λησαμένων εἷς νόμου εἰμὶ τεοῦ.
ἴσθι συνηγορέων, παράκλητος ἐμοί, καὶ ἀμύντωρ,
κὰν τῷ σῷ μύθῳ μοι σθένος ἡδὺ δίδου.
τηλοῦ ἀπ' ἀνθρώπων ἀσεβῶν σωτηρίη ἐστί,
σῆς ἀθεριζόντων ῥητὰ δικαιοσύνης.
κύριε παμπόλλη σὴ τυγχάνει οὖσ' ἐλεητύς,
στῆσί μοι ἑσπόμενος δὸς κρισέεσσι βίον.
τῶν μὲ διωκόντων, τῶν μὲ πλεῖστ' εἰσὶ θλιβόντων,
οὐκ ἀπὸ μαρτυρίων χωρέω ἔμπα τεῶν.
τῶν ὑπεροπλάων ἀνιώμενος ὄσσομ' ὅμιλον,
ὅττι λόγοιο λόγον μηδένα σοῖο ποιεῖ.
φράζεο δερκόμενος τὰς σὰς φιλέοντά μ' ἀνωγὰς
κύριε καὶ χάριτος ζώγρεε σῆς με χάριν.
ὡς ἀρχῆθεν ἔην, ὡς νῦν τὸν ἀληθινόν ἐστι
ῥῆμα, τεῆς τε ἅπαν κρῖμα δικαιοσύνης.

ὀγδοὰς φ.

Καίπερ ἀθῷον ὅλως με διώκουσ' ὄντα τύραννοι,
σὸν δὲ μόνον κραδίη δειλιάει μου ἔπος.
σοῖσι θεοπροπίοις ἔπι τοὐμὸν ἀγάλλεται ἦτορ,

ὡς σκύ

ὡς σκύλοις μεγάλοις ἐγκυρέων τις ἀνήρ.
μισῶ ψευδολόγους, καὶ ῥῖνα βδελύττομ᾽ ἀέργων,
ἀλλ᾽ ἐρόεσσα τεοῦ γῆρυς ἐμ᾽ ἐστὶ νόμου.
τρὶς τετράκις τε ἂν᾽ ἓν σὲ γεραίρω ἦμαρ ἐπαινῶν,
εὔδικος ὅττι κριτὴς ἰθυκρίτης τε πέλῃ.
σὸν νόμον εἰρήνη φιλέουσιν ὁμέστιός ἐστι,
οὔτινα μέλλουσι πρὸς κακὰ προσκοπέμεν.
προσδοκόω τὸ τεὸν σωτήριον οὐρανόπεμπτον,
δρῶ τε νόμοισι τεοῖς δρᾶν ἐμὲ ἅττα κέλῃ.
τηρῶ σῆς ὀμφῆς καθ᾽ ὅλον θεσπίσματα θυμὸν,
καὶ μάλ᾽ ἐμῇ ψυχῇ ταῦτ᾽ ἐρατεινὰ πέλει.
εἰμὶ φύλαξ πάντων ὅσα φῇς τε, καὶ ὅσα κελεύεις,
νῆις γάρ συ ἐμῶν οὔτινος ἐσσὶ τρίβων.

ὀγδοὰς χ.

ἐγγίζειν ἕκατον σέθ᾽ ἐμὴν τοῖς ὠσὶ δέησιν,
συμφωνῶν τε σοφὸν σοῖς με λόγοισι ποιοῦ.
δέξαι ἀγχηναίην σ᾽ αἰτοῦντ᾽ ἐμὰ δάκρυ᾽ ἀρωγὴν,
καὶ σωτὴρ κρατερὸς σοὺς κατ᾽ ἐμ᾽ ἔσσο νόμους.
τηνίκα δοξολόγους σοι χείλεσ᾽ ὀρσύξομαι ὕμνους,
κηνίκα ποιήσεις εἰδότα σῆς με δίκης.
γλῶσση ἐμὴ τῆς σῆς μαντεύματα βάζει ἰωῆς,
ὅττι τὰ προστάττεις ἔνδιχ᾽ ἅπαντα πέλει.
χεὶρ μάλα ῥωμαλέη σὴ ἐμοὶ σωτήριος εἴη,
ὅττι παραγγέλλων, ᾑρέτισ᾽ ὅσσα κέλῃ.
ἱμερτὴ σὴ ἐμοὶ σωτηρίη, ἠδὲ ποθεινὴ
ἐστὶ, καὶ εὐφραίνει σῶν μελέτη με λόγων.
ζῆσαι ἐμὴν ψυχὴν ἐάσῃς, ἵνα κέν σε γεραίρω,

καὶ τὰ σὰ χραισμήσῃ κρίματ᾽ ἐσαῦτις ἐμοί.
δίζεο πλαζόμενόν με ἐοικότ᾽ ὀλωλότι μήλῳ,
δμῶα σὸν, ἐντολέων οὐ σέο λησάμενον.

## ΨΑΛΜΟΣ ΡΚ.

Ὑπόθεσις.

ὅσσον τῇ γλώσσῃ διαβαλλέμεν οὐκ ἀτρεκεῖ πὰρ
πῆμα φέρῃ, γοερὸν μαρτυρέει τόδ᾽ ἔπος.
οὐδὲν γὰρ λοιμηρότερον χρῆμ᾽ ἄλλο τέτυκται
πλάττοντος στόματος ψεύδεα κρυπταδίως.

Ἦμος ὑπ᾽ ἀντιπόροιο τύχης λύγρ᾽ ἄλγεα πάσχω,
λυπρὸν λευγαλέοις κῆρ μελεδήμασ᾽ ἔχων:
τῆμος ἀρηγόνι ἐμοὶ καλέω τὸν κύριον ἐλθεῖν,
αὐτὸς δὲ κραυγῆς οὐκ ἀθερίζει ἐμῆς.
ῥῦσον ἀπὸ στομάτων, τοῖς ψεύδε᾽ ἐφκύδανε φάσκειν,
ῥῦσον ἐμὲ γλωσσῶν τῇσι μέμηλε δόλος.
τίπτε σε παντοίας εἰδυῖα κακοῤῥαφίας πὰρ,
γλῶσσ᾽ ἔρδειν, τί κε σοὶ πῆμα δύναιτο δόμεν:
χειρὸς ὀϊστοῖσιν τινὸς ὀξέσ᾽ ἔοικε κραταιῆς,
καὶ πυρὶ ἀρκεύθους τῷ τις ἀνῆψεν ἀνήρ.
οἴμοι ἐγὼ, ὅττι πρὸς βοῤῥῆν φυγὰς εἰμὶ παροικῶν,
πρός τε νότον τὸ ἕδος κήδαρος οἶκον ἔχων.
ὡς ψυχῇ μακρὴ δοκεῖ ἥδε παροικίη εἶναι,
ἀνδράσιν εἰρήνην παρὰ στυγέουσιν, ἐμῇ.
χρῆμά μοι εἰρήνη φίλον ἐστὶ μάλ᾽, ἀλλὰ λέγοντος
μεῦ τι, σφὶν πόλεμος καὶ μάχη αἶψα μέλει.

## ΨΑΛΜΟΣ ΡΚΑ.

### Ὑπόθεσις.

Ἀτρέπτους κέλεται θεοδέγμονας ἄνδρας ὤναξ
καὶ πισύνους σφετέρης τῷ θεῷ ἐν φρέσ' ἔμεν.
καί μιν προσδοκάαν, τὸν δηθύνοντά περ, αἰεί,
οὕνεκα τῶν πιστῶν οὐκ ἀμέλειαν ἔχει.

Ἠέρταζον ἐμὰς ἐπὶ ἠλίβατ' οὔρεα γλήνας,
ὧν ἄπ' ὀϊζυρῷ ἄρχετ' ἄρηξις ἐμοί.
ἡ ἐμὴ οὐρανόθεν παρὰ κυρίου εἶσιν ἀρωγή,
ὃς ποίησε βίῃ ἄστρα τε καὶ χθόν' ἑῇ.
οὔποτ' ὀλισθαίνειν σὲ φυλάσσων οὗτος ἐάσει,
τοῦ ἐνὶ ὕπνος ἕδρην ὄμμασιν οὔτις ἔχει.
οὔποτε καμνέει καθάπερ βροτὸς, οὔποτε κνώσσει,
τοῦ Ἰσραῆλος φρουρὸς ὁ πιστὸς ἐών.
εἴη καὶ φύλακος σὸς ὁ κύριος, ἠδὲ καλύπτοι
πάντ' ἀνὰ δεξιτερὴν σὴν σκιῇ ἤμαθ' ἑῇ.
μὴ φλογεραῖσι βαλὼν ἀκτῖσί σε ἥλιος αἴθῃ,
ἢ τὸ σεληναίης ἐννυχίοιο φόως.
παντὸς τηρείη σὲ ὀλέθρου ὁ κύριος ἐκτὸς,
αἰέν τε ψυχῆς σῆς ἐπίκουρος ἔοι.
καὶ σὴν εἰσίθμην, καὶ σὴν ἐξήλυσιν, ἐκ τοῦ
νυνὶ, φυλάξειεν παρ' ξυνάπαντα χρόνον.

## ΨΑΛΜΟΣ ΡΚΒ.

### Ὑπόθεσις.

Γηθέει ἐκ θυμοῦ βουλῆς γνωρίσματα θείης

δῆλα, καὶ ἐν σολύμῃ ἱρῇ εὕρετ' ἐμεῖο.
ἡμετέρῃ γὰρ τόπος σολύμῃ πᾶς ἐστιν, ὁ ἴσχων
κήρυκας διδαχῆς ὦ 'γαθὲ Χριστὲ τεῆς.

Πλεῖος εὐφροσύνης ἐμοὶ αὐτίχ' ὁ θυμὸς ἔγεντο,
ὡς προσέβαλλεν ἐμοῖς οὔασι τοῖον ἔπος.
στείξομεν ἀγρόμενοι τὸν ἐς ἀργυροφεγγέα νηὸν,
τοῦ χαίρει ναέτης κύριος αὐτὸς ἐών.
καὶ πόδες ἱσταμένοις ἀστεμφέες ἧμιν ἔσονται,
ἔνδοθεν πυλέων ἱερὸν ἄστυ τεῶν.
ἄστυ εὐκτίμενον, Σολύμων τὸ ἐπώνυμον ἱρῶν,
καὶ θῶκος λαοῖς εἰς ἓν ἰοῦσι πέλει.
πρὸς τὸ ὁμηγερέες φῦλαί κεν ἅπασ' ἀναβῶσιν,
ὅσσαι παγκρατέος φῦλαι ἔασι θεοῦ.
πᾶσιν ὁ Ἰσραὴλ τᾶ θεοπρόπι' αὐτόθ' ἀκούῃ,
ἠδὲ τὸ κυριακὸν γνώριμον οὔνομ' ἔῃ.
κεῖθι δικαστάων γὰρ ἕδεθλα τὰ βήματα κεῖται,
ἐγγονέων τ' ἀγλαοὶ Ἰσαΐδαο θρόνοι.
ὄλβια τῇ ἁγίῃ Σολύμων εὔχεσθε πολίχνῃ.
πᾶς τις ὁ μιν φιλέων ὄλβιος εἴη ἀνήρ.
εἰρήνη τειχῶν σῶν ἔνδοθι ναιετοῴη,
εὐτυχίη τ' αὐλῶν ἐσθλοδότειρα τεῶν.
εἵνεκ' ἀδελφειῶν, τῶν τ' ἄγχιστ' ἐκγεγαώτων,
ζῆν σε ἐν ἡσυχίῃ εὔχομ' ἀπήμον' ἀεί.
καὶ διῶμ' ἐκ θεόφιν φιλέων τὸ τετυγμένον ἱρὸν,
ζητήσω τὰ λίην σοί κεν ὀνήσιμ' ἔῃ.

# ΨΑΛΜΟΣ ΡΚΓ.

## Ὑπόθεσις.

Οἱ πλεῖστοι τῶν γηγενέων ἀμέλειαν ἔχουσι
τῶν τε θεοῦ λογίων, τῶν τε θεοῦ λατρείων.
τοῖσδεσιν ἀσχαλόων ἐ γέλωτ' ἄνδρεσι τετύχθαι,
τὸν θεὸν οἱ μάντις λίσσετ' ἀρωγὸν ἔμεν.

Πρὸς σὲ μέγιστε θεὸς τὸν ἀειδιῆ ἐόντα περ, ἀπείρου
αἰθέρος, αὐγαλέου ἐνναετῆρα δόμου:
πρὸς σὲ ἀμηχανέων ὁ τάλας κακότησιν, ἀείρω
οὔλυμπόν δ' αἴης ὦπας ἄπωθεν ἐμούς.
οὔτε γὰρ δοῦλοι τοὺς δεσπόζοντας ἐκείνων,
τοῦ ὅσα κέν σφιν ἀδῇ, εἰσορόωσι, δράειν.
χ' ὥσπερ αἱ ἀμφίπολοι δεσποινῶν τῶν σφετεράων
ἐντροχάλους ἀτενῶς εἰσαθρέουσι χέρας:
οὕτω χ' ἡμέτερ' εἰς τὸν κύριον ὄμματα δέρκει,
κύριον ἡμέτερον τὸν τελέθοντα θεόν.
μέσφ' οὗ μειλίχιος καὶ ἤπιος ἄμμι γένοιτο,
ἀφνύμενος λυγρῆς δμῶας ἔθ' ἄμμε τύχης.
οἴκτειρον γοερὰς, οἴκτειρον κύρι' ἀπότμους,
καὶ τιμῆς ἡμᾶς ἐν μοίρει οὐδεμιῆς.
αὐτὰρ ἀτιμιέων ἐνιπλείους ἤλιθα πολλῶν,
καὶ κατὰ τὴν ψυχὴν, καὶ κατὰ πᾶν τὸ δέμας.
καὶ γὰρ χλευασμὸς τοῖς ὄλβῳ κυδιόωσι
τυγχάνομεν, καὶ τοῖς φυσιόωσι γέλως.

## ΨΑΛΜΟΣ ΡΚΔ.

### Ὑπόθεσις.

Τυτθὸς ὁ τῶν ὁσίων ἐπὶ γαίης ἐστὶν ὅμιλος,
    τῶν νήριθμ' ἀσεβῶν κῆρα τὰ φῦλα φρονεῖ.
ἀσκηθὴς τυτθός περ ὅμως, καὶ σῶος ὅδ' ἐσμὸς,
    πάγχυ τ' ἄτερθε φόβου ἐστὶν, ἕκητι θεοῦ.

Εἰ μὴ ἀλεξητὴρ ἡμῖν παρ' ὁ κύριος ἦεν,
    τοῖον ὁ Ἰσραὴλ ἐννεπέτω τι ἔπος:
εἰ μὴ ἀλεξίκακον γένετ' ἧμιν ὁ κύριος ἄλκαρ,
    ἀνσταμένων ὀλέκειν τλήμονας ἄμμε βροτῶν.
ἦτοι καὶ ζωοὺς ἂν λευκανίηνδε φορεῦντες,
    ἀγριόθυμ' αὐτοὶ φῦλα κατ' ἄμμε πίον.
καὶ δὴ ὑποβρυχίους κατεπόντισ' ἂν οἴδματα θαλάσσης,
    χείμαρρός τε ῥόοις ἂψ ἐπέκλυσεν ἑοῖς.
ψυχαῖς ἡμετέραις ἐπέκειτο κεν ὕδατα πολλὰ,
    εἰδόμεν' ἠλιβάτων ταῖς κορυφῇσιν ὀρῶν.
τῶν χαρίτων γέρας αἰὲν ἔχοι θεὸς, εὐλογίης τε,
    κυδιόων δόξῃ, χαίροι ὁ πάντα κρατῶν.
ὃς βρόχθοι ἡμᾶς σφῶν ἐκ δεινοῖο σαώσας,
    οὐκ ἔατ' ὠμοβόροις ἔμμεν' ὀδοῦσιν ἕλωρ.
ὡς βρόχον ἰξευτοῦ πωτᾶτ' οἰωνὸς ἀλύξας,
    ὡς καὶ ἡμετέρη ψυχὴ ἄλυξε μόρον.
κάρτα συνετρίφθη, ἐράγη τόπερ εὐστρεφὲς ἅμμα,
    κὰμ ἀδεεῖ ἡμεῖς ζῶμεν ἐλευθερίῃ.
πᾶσα βοηθείη παρὰ κυρίου ἡμετέρη ἐστὶ,
    κτίστου τῆς θ' αἴης, οὐρανίων τε δόμων.

ΨΑΛ.

## ΨΑΛΜΟΣ ΡΚΕ.

### Ὑπόθεσις.

Εἰ καὶ ἐᾷ τοὺς δυσσεβέας βασιλευέμεν ἄνδρας
ἔσθ' ὅτε, παιδεύων τοὺς ἔθεν ὧδε θεός:
πάντα μεταλλάττει δεινῶς τε τὸ ὕστατον ἔμπης,
ὡς ἐνὶ ποιητὴς τοῖσδεσ' ὁ θεῖος ἔφη.

ΩΝ ἐνάρηρε θεῷ πίστις τῷ πάντα κρατοῦντι,
τοὺς δ' οὐ σεισέμεναι τις κε δύναιτο βίῃ.
ἀλλ' ἀμετάπτωτοι καὶ ἔμπεδοι αἰὲν ἔσονται,
ὡς ἀτίνακτον ὄρος κἄμπεδόν ἐστι Σιών.
ὡς ἣ πτόρθιξ Σολύμη ἐστεπτ' ὀρέεσιν ἱρή,
τῶν σχεδὸν οὐρανίης μῆκος ἐλήλαχ' ἕδρης:
ὣς ὀρέφει τὸν ἑὸν περιπλύξας κύριος ἐσμὸν,
ἔνθεν ἐς ἀενάου ἤματ' ἄπαυστα χρόνου.
οὐ γὰρ δυσσεβέων σκῆπτρον τὸ κατάρατον ἀνδρῶν,
δηρὸν ἐπ' ἀνθρώποις εὐσεβέεσσι μενεῖ.
ὅππως μὴ ἀφετῶν ἄδικ' ὄργα οἱ ἔνδικ' ὁρῶντες,
ἄξωσ' οὐλομένης καὐτοὶ ἀτασθαλίης.
ἔσθ' ἀγαθοῖς ἀγαθὸς, χρηστοῖς θεὸς ἤπιος ἴσθι,
καὶ τοῖς οὐ λοξὰς ἀνδράσ' ἔχουσι φρένας.
οἵσδ' ἀτραπὸς σφετέρας οὐκ ὀρθὰ κέλευθα μέμηλε
στειχέμεναι, σκολιὰς ἠλιβίας τε τρίβους:
τούσδε σὺν ἀνθρώποις θεὸς ἔσθ' ὅτ' ὀλέσσει ἀλιτροῖς,
γαίῃ δ' εἰρήνη σοῦς Ἰάκωβε δόμους.

## ΨΑΛΜΟΣ ΡΚϚ.

### Ὑπόθεσις.

Μηκὸς ἐλευθερίης ἐξαῦθις ἐπήβολος ἐσμὸς,
τῷ θεῷ ἐκτίνει, τὴν οἱ ὄφειλε, χάριν.
οὗτος ὁ λαὸς ἐπεὶ τὰ σπέρμαθ' ἔηκεν ἀκλαίων,
πλείως ἀμήσει λήϊ' ἔθ' εὐφροσύνης.

Φῦλα σιωνείων πολιητῶν κύριος αὖθις,
κὰν λύσῃ στιβαρῶν, τῇσι κρατοῦντο, πεδῶν·
τουτάκι ὀνειρώττουσι βροτοῖς ἐναλίγκιοι ἡμεῖς,
εἵνεκα τοσσατίης ἐσσόμεθ' εὐφροσύνης.
καὶ στόμα τερπνοτάτου πεπλήσεται ἄμμι γέλωτος,
γλῶσσά τε ἡδυθρόων οὐκ ἐπιδεύσετ' ἐπῶν.
καὶ τότε τοιοῦτόν τις ἐν ἔθνεσι μῦθον ἀκούσει,
ὡς μεγάλ', ὡς αὐτοὺς πόλλ' ἀγαθ' ἔρξε θεός.
καὶ τόδ' ἄρ' οὐχ αὔτως εἰρήσεται. ἦ γὰρ ἔρεξεν
κύριος εὖ ἡμᾶς ἦ τὰ μέγιστα βίῃ.
τῶν μιμνησκόμενοι μάλα χαίρομεν εὔφρονι θυμῷ,
μεστοί τ' ἐσμὲν ὅλην τὴν φρένα γηθοσύνης.
λῦσ' ἀπὸ τῶν δεσμῶν, σκοτοέσσης αἶνυσ' ἀπ' εἱρκτῆς
ἡμᾶς, σῇ μεγάλῃ χρώμενος ἶφι χερί.
θαῦμα τελῶν ὁπποῖον ἔγενθ' ὅτε λαῖτμα θαλάσσης
πρὸς νότον ἔτμηξας σῶν προπάροιθε λεῶν.
οἷσι μέμηλε τὸ νῦν ἐνὶ γῇ πολυδάκρυτα βάλλειν
σπέρματα, κἂν λυγροῖς σπειρέμεναι τὰ γόοις·
οἵδε θέρους πότ' ἐπελθόντος, θεριοῦσιν ἐκείνων
πυρὸν ἀγαλλόμενοι ἐκγεγαῶτα πολύν.

σπέρμα βαδίζουσιν πολύτιμον χερσὶ φοροῦντες,
θέρμα τε βάλλοντες δάκρυ ἀπὸ βλεφάρων.
αὖ δὲ κομίζοντες νοστοῦσι δράγματα πολλά,
κἀρρήτων σφετέραις ἐν φρεσὶ χαρμοσύνην.

## ΨΑΛΜΟΣ ΡΚΖ.

### Ὑπόθεσις.

οὔτε βίης, οὔτ' ἰδμοσύνης πέλετ' ἔργμα βροτείης,
ἤ τε τὰ κοινὰ καλῶς, ἤ τε τὰ οἴκοι ἔχειν.
ἀλλὰ βίῃ θεὸς ἠγαθέῃ ξὺν ἅπαντα σαώζει,
οἰκοφύλαξ μοῦνος, καὶ πολιοῦχος ἐών.

Εἰ μὴ τοῦ μεγάρου τέκτων ὁ ὑπέρτατος αὐτὸς
κύριος ᾖ, παλάμαις οἰκοδομῶν τόδ' ἑαῖς:
τεκταίνεσθ' ἄνδρες μεμάασιν ἐτώσια τοῦτο
θνητοί, ἀπρήκτοις τ' ἀργαλέοις τε πόνοις.
εἰ μὴ ὁ αὐτὸς ἐκ πόλεως ῥυτήρ τε φύλαξ τε,
οὐκ ἂν φρουροῦντες τήνδε ῥύοιντο βροτοί.
κἂν φίλα λέκτρα λίπῃς οὔπω ῥοδοπήχεος ἠοῦς
φαινομένης, κἂν ἧς νύκτας ἄϋπνος ὅλας.
καὶ βιότοιο ποθῇ καμέῃς ἀκαχήμενος ἦτορ,
ἀλγεινὴν πορέων γαστέρι σεῖο τροφήν:
οὐδὲν ὅμως πρήξεις, κοὐδὲν τετελεσμένον ἔσται,
τῶν σπουδαζομένων σοι ἀέκητι θεοῦ.
ῥᾷστα δὲ τοὺς φιλέει καὶ ἰαύοντάς περ ὀφέλλει,
παντοίοις κείνους δαψιλέως ἀγαθοῖς.
κυίδε καὶ παῖδες δόσις αὐτοῦ ἐπήρατ' ἔασι,
καὶ τὸν τῆς γαστρὸς καρπὸν ὅδ' ἔσθ' ὁ φύων.

ὡς χειρί τις στιβαρῇ προϊεὶς χαλκήρεας ἰοὺς,
αὐτὰ τιτυσκόμενος, τῶμ βέλει ἄπλετ' ἀνήρ.
ὣς ἄρ ὅδ' ἠϊθέους εἰς ὄργομ ἐγείρει ἀγαυοὺς,
εἰλομένους βέλεσι σφὸμ πτερόεισι μένος.
ὦ τὴν εὐτυχίην πολλῶμ προφερεστέρου ἄλλων,
τῶνδε πλέην οἰστῶμ ἰοδόχην ὃς ἔχει.
οἳ κὰμ ταῖς ἀγοραῖς μέγα τῇ πατρίδ' εἰσὶμ ὄνειαρ,
κὰμ πολέμοις θείῃ μὶμ κε ῥύοιντο βίῃ.

## ΨΑΛΜΟΣ ΡΚΗ.

### Ὑπόθεσις.

Συζυγίῃ ἰότητι θεοῦ ἱερόμ τε καλόμ τε,
καὶ θεμιτὸμ πέλεται πᾶσί τι χρῆμα βροτοῖς.
καὶ πᾶς ὡς γνώμην ἄλλην ἔχει, οὐχ ὅσιός τις,
ἀλλὰ τοῦ ἀντιθέου δαίμονός ἐστι λάτρις.

ΟΥτος ἄρ εὐδαίμων καὶ τρὶς καὶ τετράκις ἐστὶμ
οὗτος ἐπ' εὐτυχίης ἵκε τὸ πλεῖστομ ἀνήρ.
ὃς θεὸμ ἐκ κραδίης, ὡς νήπια τέκνα γονῆας,
ἐντρέπετ', ἐν πᾶσι πράγμασ' ὀπιζόμενος.
τάς τ' αὐτοῖο τρίβους ἰθείας, κ' ὀρθοκελεύθους,
μοῦνομ ἑῆς βιοτῆς ἤματα πάντα μολεῖ.
ὅστις ταῦθ' ἔρδεις, τῶμ σῶμ καμάτοισί σε θρέψεις
χειρῶμ, σὺ διάγωμ, ἢ ἢ πανόλβος ἐώμ.
αἰδοίη ἄλοχος τεὴ ἀμπέλῳ ἔσσεθ' ὁμοίη,
ἀμφὶ σὸμ ἑρπύσῃ κλήμασιμ οἷσι δόμομ.
καὶ τὰ σὰ τέκνα κλάδοις λιπαρῆς ἐπιείκελ' ἐλαίης,
τὴν σὴν ἀθήσῃ ἀμφὶ τράπεζαν ὁρῶμ.

ἠνίδε

κώϊδε τοῖα φόβει θεόθεν δόμαθ᾽, ὑψιμέδοντος
ὃς φρεσὶ λευγαλέαις οὐκ ἀθερίζει ἀνήρ.
εὐλογέειν μέλλει σε Σιῶνος ἀπ᾽ οὔρεος ἱροῦ,
ὁ κρατέων πάντων χθόσιν ἔῃσι θεός.
ὅππως ἂρ ζωῆς σῆς ἤματα πάντα κεν ἀθρῇς,
τὴν ἱερῶν Σολυμῶν ὀλβιοδαιμονίην.
καὶ τῶν σῶν παίδων υἱωνοὺς ἐκγεγαῶτας,
τόν τ᾽ Ἰσραῆλος δῆμον ἐν ἡσυχίῃ.

## ΨΑΛΜΟΣ ΡΚΘ:

### Ὑπόθεσις.

Πολλάκις Ἰσραὴλ ὤχησεν ὀϊζύας αἰνάς,
χ᾽ ἥττων δυσμενέων ἄλγεα τλῆσεν ἑῶν.
ἐξ ὧν αὖ ῥύσθη, τῷ μιν ῥύσαντι προσάπτει
τοῖς δ᾽ ἐν, ὀφειλομένην τοῖς ἐπέεσσι χάριν.

Ὕβριν δυσμενέων βαρέην ὑπὸ πολλάκις ἀνδρῶν
ἔτλην, πάμπρωτης τῆς μου ἀφ᾽ ἡλικίης.
φαίη ὁ Ἰσραήλ: πολλοί μοι κάρτος ὄβρισαν
πολλάκι, γεινόμενοι κρείττονες οὔποτ᾽ ἐμοῦ.
τόσσον ἀνιάων πλῆθος, τόσσον ἄχθος ἀείρειν,
τόσσον ἀνάγκασαν φῦλά με ἐχθρὰ πονεῖν.
ὥστε τὸ νῶτον ἐμοὶ δοκέειν τιν᾽ ἐοικέν᾽ ἀρούρῃ
τοὐμὸν, τὴν ἀρότρῳ τις ταμέῃ κεν ἀνήρ.
ἤλθετο γὰρ πολλῶν ἀροτήρων τοῦτο καὶ αὐτὸ
ἔσθ᾽ ὅτε μηκύνειν αὔλακας οἷσι μέλεν.
ἀλλ᾽ ὁ δίκαιος ἑὼν παγκοίρανος οὐκ ἀδικός τις,
μηρίνθους ἀσεβῶν ἀνδριχ᾽ ἔκοψε βροτῶν.

αἶσχος ἀνάφθήτω μέγα χαζομένοισιν ὀπίσσω
πᾶσι, σιώνειον τοῖς στυγέουσιν ὄρος.
εἴκελοι ἔστωσαν τῷ φυῶτ' ἐπὶ δώμασι χόρτῳ,
ὃς ξηρὸς γίνεται, πρίν κε τις αὐτὸν ἀρῇ.
τοῦ μήτε πληροῖ τις ἑὴν ποτε χεῖρα θοριστὴς,
μήτε ὁ δεσμεύων δράγματα, κόλπον ἀνήρ.
χ' ὃν μήτ' εὐλογέειν, ὁ παρερχόμενός κε θορισμὸν,
μήτε ἀπὸ κραδίης ὧδε δύναιτο λέγειν.
θείη εὐλογίη μεθ' ὑμῶν ἔοι, εὐχόμεθ' ἐσθλά,
ὄλβιά τ' ἐν κυρίου οὐνόματ' ὔμμι θεοῦ.

## ΨΑΛΜΟΣ ΡΛ.

### Ὑπόθεσις.

οὔτις ἐν ὠπὶ θεοῦ γίνεθ' οἷς ὄργοισι δίκαιος,
αὐτὰρ ἡ ἐνδικίη πίστιός ἐστι μόνης.
ὡς δὲ βραχεῖ πάμπολλα μέλει περιέλλαβ' ἀοιδὸς,
ἄνδρα κεν φαίης οὐρανόπεμπτον ἔμεν.

Κέιμενος ἀτλήτῳ στυγερῆς κακότητος ὑπ' ὄγκῳ,
ἐκ βαθέων κράζω κύριε πρός σε θεός.
τώνη οὖν φωνῆς κεκράγοντος ἄκουσον ἐμεῖο,
τήντε δέησιν ἐμὴν ὠσὶ δέδεξο τεοῖς.
κὴν παρατηρήσῃς γὰρ ἁμαρτάδας, ὅσσ' ἐγένοντο,
κὴν γὰρ ἀλιτροσύνας ἐλλογέῃ τιν' ἐάς:
τίς μὴ ἁμαρτωλὸς; τίς ἀνὴρ βροτὸς ἔσσετ' ἀθῶος;
τίς τε δικαζόμενος βῆμ' ὑπὸ σεῖο μενεῖ;
ἀλλά σοι ἱλασμός τ' ἄφεσίς τε ἀτασθαλιάων,
ὅππως κεν θνητὸς πᾶς σε φοβοῖτο, πάρα.

προσ-

προσδέχομαι ἐκ ψυχῆς τὸν κύριον ἐκ κραδίης τε,
ἐν τ᾽ αὐτῷ κεῖται πᾶσά μοι ἐλπὶς ἔπει.
πᾶσ᾽ ἡ ἐμῆς ψυχῆς ῥώμη ἐν τῷδε πέπηγται,
ἐξ ἠοῦς, ἠοῦς μέχρις ἐπανερχομένης.
πᾶσαν κ᾽ Ἰσραὴλ ἐπὶ κυρίῳ ἐλπίδ᾽ ἔθ᾽ ἴσχῃ,
τῷ γὰρ λύτρωσις, τῷ ἔλεός τε παρά.
καί μιν ἔθ᾽ ἐκ πασῶν κακιῶν τε ἁμαρτιέων τε,
ὀργῆς ἀμνήμων τῆς πρὶν, ἐλεῖται ἑῶν.

## ΨΑΛΜΟΣ ΡΛΑ.

### Ὑπόθεσις.

Κενόν τι βροτέοις πιστευέμεν δόγμασίν ἐστι,
χρὴ δὲ θέμεν ζαθέης πίστιν ἐπ᾽ εὐμενίης.
τοῦτο παραγγέλλων ὁ ἀοιδὸς, ἀλαζόνας ἄνδρας
αἰτιάαθ᾽, αὐταῖς τῶν πίσυν εἰσὶ φρένες.

ΟΣ χθονὶ νειοτάτῃ καὶ οὐρανῷ ἐμβασιλεύεις,
καὶ τὴν κοιρανίην κύριε πᾶσαν ἔχεις.
οὔποτέ μοι φανταζομένῳ φρενάκισε κενή τις
κῆρ, ἀφραδέεσιν ἐνὶ φρέσ᾽ ὑπερηφανίη.
οὔτε καταφρονέων τινὸς, ὄμματ᾽ ἐς ὕψος ἄειρα,
ὡς πίσυνος σοφίῃ ὤν τις ἔθ᾽, ἠὲ βίῃ.
οὔτ᾽ ἐπιχειρῆσαι μεγάλοις ποτὲ πράγεσιν ἔτλην,
τοῖς νόος ἠδὲ κράτους κρείττοσ᾽ ἐοῦσιν ἐμοῦ.
πῶς; ἀπὸ σῆς χάριτός τ᾽ ἐλεημοσύνης τε κρεμαθείς,
ὡς ἀπὸ τῶν θηλῶν μητρὸς ἧς τι βρέφος.
τῆς ὀλιγωρήσας, ἐν ἐμῇ τ᾽ ἀρετῇ τε βίῃ τε
οὐκ ἐν σοὶ πίστιν τὴν ἐμέθ᾽ ὅσαν ἔθην:

δὴ τότε μοὶ ὀδύνη, πένθημ᾽, οἰμωγὴ, ἀνίη,
    χ᾽ ὑγρὸν δειλαίῳ δάκρυον ὦπα παρῆν.
ὡς εἴτις μαζὸν γαλαθηνὸς ἑῆς γενετείρης,
    κλαυθμυριζόμενος, δακρυχέων τε λίπῃ.
τῷ κ᾽ ἰσραῆλι ξύμβουλος ἀμύμον᾽ ἂν εἴην,
    πᾶσαν ἔθ᾽ ἐν μούνῳ κυρίῳ ἐλπίδ᾽ ἔχειν.
τῆς τ᾽ αὐτοῦ χάριτος μόνον ἐξηρτημένον εἶναι,
    εὐσεβὲς ὂν, καὶ νῦν καὶ μετέπειτα, κέαρ.

## ΨΑΛΜΟΣ ΡΛΒ.

### Ὑπόθεσις.

Ὄφρα θρησκείην σώζῃ καὶ τὴν βασιλείην,
    ἄμβροτον αἵδε λιταὶ ἀντιβολοῦσι θεόν.
τῇσιν ὑποσχεσίῃ θεόθεν τὶς ἴσα προσῆπται,
    μελλέμεν ἀμφοτέρους αὐτὸν ἀμύντορ᾽ ἔμεν. (ίων,

Αὐτογένεθλε θεὸς, κοσμουργὲ, κύβερνέ τε πάν
    ὅσσα τεοῦ μύθου τεῦχος ὁ κόσμος ἔχει:
Δαυίδου μνήσθητι τεοῦ θεράποντος ὀτρηροῦ,
    Δαυίδου μνήμων λάτρειος ἴσθι τεοῦ.
τῶν τε δυσημερίων τὰς πόλλ᾽ ἔτλησεν ἀχεύων,
    ἠδ᾽ ὀϊζυρῶν τοῦ βιότοιο πόνων.
ὅς ῥά ποτ᾽ ὤμοσσεν τῷ κυρίῳ, ὅς ῥα κρατίστῳ
    ἐσθ᾽ ὅθ᾽ ὑπέστη ἑκὼν σῷ Ἰάκωβε γόνῳ.
τοίην ὅσσαν ἱείς· ὅτ᾽ εὐδμήτοιο δόμοιο
    τὴν ὀροφὴν ὑπ᾽ ἐμοὶ οὔποτε βήσομ᾽ ἴμεν.
οὔτ᾽ ἂρ ἐφ᾽ ἡμερίοις μάλα περ μόχθοισι κεκμηκὼς,
    βήσομ᾽ ἐπὶ κλίνης στρώματ᾽ ἐμὸν τὸ δέμας.

οὔτε

οὔτε φίλον πὸρ ἐμοῖς προσδέξομ᾽ ἐπ᾽ ὄμμασιν ὕπνον,
    οὔτε γ᾽ ἐμ᾽ ἀνοχύσω τὰ βλέφαρ᾽ εἰς ἓν ἰμεν:
πρὶν τόπον εὑρίσκειν, ὅθι κεν θρησκευτέος εἴη
    κύριος, ὅτ᾽ ἥρως σός τ᾽ Ἰάκωβε μένοι.
ἠνίδ᾽ ἐν ἐφρατίῃ χώρῃ μιν ἀκούομεν εἶναι,
    ἠνίδ᾽ ἐ τοῦ ξυλόχου εὕρομεν ἐν πεδίῳ.
ἔδρανον εἰς τοίνυν κείνου, ἠδὲ θυώδεα νηὸν,
    ἀντιβολήσοντες, βῶμεν, ἐκεῖθι θεόν.
πρός τε κυνήσωμεν πρὶν εἴς τε, γονυκλινέες τε
    πρόσθεν θεσπεσίων θρήνυος εἷο ποδῶν.
ἄνστα πρὸς παύλην σὴν ὦ ἄναξ ἢ σὺ μὲν αὐτὸς,
    ἠδὲ κιβωτὸς ἕδρης ἰσχύος οὔσα τεῆς.
οἱ τεοὶ ἐν δικίῃ μυστηπόλοι ἄνδρες ἱροί,
    ὥς τι περὶ σφέτερον φᾶρος ἔχωσι δέμας.
οἵ θ᾽ ὅσιοί θ᾽ ἅγιοί τε τεοὶ κεχαρηότι θυμῷ,
    ἔνδοθι θεοφρόνων σφῶν γανόωσι φρενῶν.
μὴ τὴν κοιρανίην ἀπὸ τοῦ σέο χριστοῦ ἀείρῃς,
    ἦρχε γε Δαυίδῃ σῷ θεράποντι φόρων.
κύριος ἀψευδῆ Δαυίδῃ ὤμοσεν ὅρκον,
    καὶ μετ᾽ ἔνορκα βαλεῖν οὔποτε μέλλει ἔπη.
γνήσιον ἠδὲ τεῆς τοι γαστρὸς ἐκγεγαῶτα
    ἐσσόμενον, σῷ ἔσω ἐν βασιλῆα θρόνῳ.
κἂν τηρήσωσι ξυνθήκην ἐμπεδόπιστοι
    ἀρραγῆ, οἱ παῖδες τοὺς σαφέες ἡμετέρην.
καὶ τὰ θεοφραδέων θεσπίσματα θέσκελα μύθων,
    τοὺς μέλλουσι σαφῶς μου πρὸς ἅπαντας ἰδεῖν:
δὴ τότε καὶ αὐτοὶ οἱ ἐκγεγαῶτες ἐκείνων,

σκηπτοῦχ' ἐξοῦσιν πάντα σὸν ἦμαρ ἔδος.
καὶ γάρ οἱ σὺ θεμέθλου ἐκλέξατο αἰπὺ Σιῶνος
ἕδρανον, ἐκ πάντων κύριος αὐτὸς ὁρῶν.
καὶ τοῦθ' οἱ μέγαρον καθ' ἑὸν πολὺ σὔαδε θυμὸν
μᾶλλον, ἢ ἀλλ' ἄλλη δώματα ναιετάειν.
ἐνθάδ' ἐς αἰώνων αἰῶνας ἐμ' ἔστ' ἐρατεινή,
θέσπιδι, ἄμπαυσις, φωνῇ ἔειπε θεός.
ἐνθάδ' ἐνοικήσω, ὅτι φίλτατος οὗτος ἐμ' οἶκος,
πάντων τῶν ἄλλων ἐν χθονὶ ἐστὶ δόμων.
ἦχι καὶ ἀνδρομέην τῆς γαίης καρπὸν ἐδωδὴν,
εὐλογέων μέλλω ἄφθον' ἀεξέμεναι.
τοὺς τε τροφῆς χρηΐζοντας μονοειδέος ἄρτου
ἐμπλήσ' ἱμερτῆς ἄχρι κόροιο τροφῆς.
τοὺς δὲ θυηπολίας μεθέποντας, καὶ ἱρὰ πιστῶς
εὐαγέσ' ἔρδοντας φίλτατ' ἐμοὶ κραδίαις·
ἡ θεοδώρητος σωτηρίη ἀμφικαλύψει,
εὔννητος καθά τις, τερμιόεις τε χιτών.
θυμαλγῶν τ' ἀπάνευθεν ἀχῶν ἄγε' αὐτόθ' ἕκηλοι
ζήσουσ' ἐν πολλαῖς τέρψεσιν ἠδὲ χαραῖς.
ἔνθα καὶ ἀέναος μεγάλη τ' ἀνιοῦσά τις ἀρχή,
Δαυίδου δήλη, λάτρειος ἔσσετ' ἐμοῦ.
ἔνθα τινὰ χριστῷ τῷ 'μῷ ἡτοίμασα λύχνον,
λύχνος ὃς ἄσβεστος μέλλει ἐς αἰὲν ἔμεν.
καὶ τοὺς μὲν κραδίαις οἱ δυσμενέσ' ἐχθρὰ φρονοῦντας,
αἰσχρὰς αἰσχύνας ἐνδύσομ' ἀμπεχόνας.
αὐτὸς δ' εὐανθῆ στέφανον τοῦ κράτος ὑπέρθεν,
σκηπτοῦχος βασιλεύς, οἴσετ', ἐς αἰὲν ἐών.

ΨΑΛ-

## ΨΑΛΜΟΣ ΡΛΓ.

### Ὑπόθεσις.

ὡς ἡ ὁμοφροσύνη τὰ σμικρὰ τετυγμένα ἀέξει·
ὡς καὶ σωζομένων ἅμμα πέλει διδαχῶν.
ταύτην κἂν νήσοις, κἂν ταῖς πολέεσσι φυλάττειν
χρὴ, μύρῳ σὺν ᾠδεῖ, καὶ δρόσῳ εἰδομένην. (κηται

Οὐδὲν παμπήδην γλυκερώτερον ἄλλο τέτυ-
κάλλιον οὐδὲν ὅλως, οὐδὲν ἄμεινον ἔφυ.
ἅμμαθ' ὁμοφροσύνης τοῦ ὁμόγνια φῦλα συνῆφθαι,
ἡσυχίως ξυνοὺς ναιετάοντα δόμους.
ἥδ' ἀρετὴ τιμῆς συνῳδίη ἐστὶ μεγίστης
ἀξίη, ἀνθρώποις καὶ φίλη οὖσα θεῷ.
καὶ μύρῳ εἰδομένη τῷ βαλσάμῳ ἀγλαοτίμῳ,
εἰς τοῦ Ἀαρῶνος κρᾶθ' ὃ ἄνωθε χύθη.
ἔνθεν δ' εἰς κροτάφους κατιὸν τοὺς γήραϊ λευκοὺς,
ἐς τ' ἴκελον χροιῇ σφὶν τὸ γένειον ἅπαν.
καὶ δὴ ἄχρι κρωσσῶν ἐσθῆτος τερμιοέσσης,
κὴν τῆς ἱροσύνης ἔνδυθ' ὁ ἴδρις ἀνήρ.
ὡς γὰρ ἀφ' Ἕρμωνος τανυφύλλου θῆλυς ἔερσα,
ἱρὰ καταρρέει εἰς τὰ Σιῶνος ὄρη·
ὡς ὁμόνοια δρόσος καὶ ῥεῦμα φερέσβιον οὖσα,
ἀμψύχει βροτέας ἣ γλυκύτητι φρένας.
ἣν τις δεξάμενος δέχεται μέγαν ὄλβον, ὀπηδὸν
τῆς δ' ἅμα, καὶ πεῖρας μηδὲν ἔχοντα βίον.
τοῖα γὰρ οὐρανόθεν θεὸς αὐτὸς ὑπέσχετο δώσειν
δῶρα, διχοφροσύνην τοῖς φυγέουσι βροτοῖς.

## ΨΑΛΜΟΣ ΡΛΔ.

### Ὑπόθεσις.

ὁ βραχὺς οὗτος ἐὼν ψαλμὸς τὰ πλεῖστα διδάσκει,
ἤγουν θρησκείην τήν κε δέχοιτο θεός.
θέσφατα γὰρ μεθέπειν ἀζηχὲς ῥήματ᾽ ἀνώγει
ἀνδράσι, μυστοπόλοις εὐαγέεσι θεοῦ.

Αἰνίζεσθε θεὸν παγκοίρανον, ὑψίθρονόν τε,
παγκρατέος πάντες δοῦλοι ὅσ᾽ ἐστὲ θεοῦ.
ὅσσοι κυριακοῦ ἑστήκατε ἔνδοθι σηκοῦ
παννύχιοι, θείης σηκοῦ ἐόντος ἕδρης.
πανθαγίῳ σφετέρας ἐντ᾽ οἴκῳ ἀνίσχετε χεῖρας,
αἰνοῦντες πάντων τὸν κρατέοντα θεόν.
ἐνναετὴρ φρονέοι σοὶ ὁ κύριος ἐσθλὰ Σιῶνος,
οὐρανὸν ὃ κτίσας γαῖάν τε καὶ οἶδμαθ᾽ ἁλός.

## ΨΑΛΜΟΣ ΡΛΕ.

### Ὑπόθεσις.

ἔργα διηγεῖται θαυμαστὰ, καὶ ἄξια μνήμης,
δηλῶν τὸν σφείων τέκτονα τοῖσδε θεόν.
ᾧ καὶ λατρεύειν, καὶ ὀφειλόμεν᾽ ἱρὰ ῥέξειν,
οὐ τοῖς ἀψύχοις χρὴ ξοανοῖσι βροτούς.

Αἰνεῖτ᾽ ὦ πρόπολοι τοῦ κυρίου ἱροὶ ἄνδρες,
οὔνομα τοῦ πάντων ἡνιόχοιο θεοῦ.
οἵτινες ἠγαθέῳ ἵστασθέ μιν ἄμφις ἐν οἴκῳ,
ἔνθα ὁ νητρεκέως ὢν θεὸς αὐλὴν ἔχει.
τὸν πάντων ὕπατον, τὸν ἄριστον κλείετε πάντων,



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

τῷ φιλότητος ἀεὶ μειλιχίης τε μέλει.
οὐνόματ' ἀϊδίῳ τῷ ἐκείνου ἐνέπατε δόξαν,
ἄξιον ἧς πάσης ἐστ', ὄβριμον ἐόν.
ἐκ γὰρ ἐλέξατ' ἑοὶ Ἰάκωβον ὁ κύριος αὐτῷ,
τόν τε καὶ τὸν Ἰσραὴλ ἔμμεν' ἄνωγεν ἑόν.
ὡς εἰδὼς γὰρ ὁρῶ, κύδιστος ὁ κύριός ἐστι,
καὶ μετὰ πᾶσι πρέπει τοῖς ἑτέροισι θεοῖς.
ὅσσ' οἱ ἔδοξε τελεῖν τελέων, κὰν αἰθέρι λαμπρῷ,
κὰν ἀτιταλλούσῃ τῇ χθονὶ φῦλα βροτῶν.
πρὸς τοῖσδ' ἐν πόντῳ ἰοειδέϊ καὶ πολυκλύστῳ,
τῆς τ' ἠχηέσσης πᾶσ' ἐνὶ βένθεσ' ἁλός.
ὑδατόεντα νέφη, εἰς ὕδατα πυσυστὸν ἀνέλκει,
γῆς πέρ ἀφ' ὑστατίων εὐρυχόροιο μυχῶν.
ὦκά τε τὴν στεροπὴν, διατμήξας ὕδατα, φαίνει
καὶ λάβρως φῆνας μιν τάχ' ἄνωθεν ὕει.
ἔκ τε κατακλείστων ἀνέμους ἀλιαέας ἄντρων,
ὡς ἀπὸ θησαυρῶν, ὁππότε βούλετ', ἄγει.
κῆρας ἐν Αἰγύπτῳ τοῖς πρωτοτόκοισιν ἐπόρσας
πάντεσσ', ἢ κτηνῶν ἢ γενέεσσι βροτῶν.
πόλλ' Αἴγυπτε τεῒν τερατώδεα ἔργα τε δείξας,
καὶ σημεῖα βίης πόλλ' ἀριδείκετ' ἑῆς.
οὐ μόνον σοὶ ἀτὰρ τῷ σῷ βασιλῆϊ καὶ αὐτῷ,
καὶ πᾶσιν, κείνου τοῖς θεράπουσιν, ἀγοῖς.
πολλοῖς καὶ μεγάλοις κακὸν ἔθνεσι πότμον ἐφῆκε,
τοῖς ἐφ' ὑπερθύμοις ἧκεν ἄναξι μόρον.
ἔκταν' Ἀμορραίων βασιλῆα τὸν ἀνδρ' ἄαπτον
Σηὼν, αἰχμητῶν σὺν λογάδεσσιν ἑῶν.

παῦσε βίης βιοτῆς τε τὸν Ὢγ ἄρχοντα Βασάνης,
καὶ πάντας, Χαναῆς οἳ πάλ' ἄνακτες ἔσαν.
γῆν τ' αὐτῶν, ἄλλοις παρέδωκε κατάσχεσιν εἶναι,
ἤγουν Ἰσραὴλ λαῷ ἀγλαὸς ἑῷ.
κύριε νωλεμέως τεὸν οὔνομ' ἀγακλεές ἐστι,
κύρι' ἀείμνηστον σὸν κλέος ἐστὶ κλέος.
αὐτὸς ἑὸν λαὸν κρινέει θεὸς, ἀλλ' ἐπιεικὴς,
ἀλλὰ κριτὴς δούλοις ἤπιος οἷσιν ἑῶν.
εἰκόνες αἷς θείην νέμει ἔθνεα ἠλεὰ τιμὴν,
ἄργυρος, ἢ χρυσὸς, καὶ βροτέ' ἔργα πέλει.
γλῶσσαν ἀκίνητον, τυφλὰς ἴσχουσαι ὀπωπὰς,
κοῦφαθ', ἃ πάμπαν ἔπος μὴ δύναταί τι πορᾶν.
οὔτε τι ἐν στόματι πνεῦμ' ἐστὶ φερέσβιον αὐταῖς,
οὔτε τιν' ἀσφάραγος λαῖνος ἠόρ' ἴει.
τοίοις δ' εἴδονται ποιήμασ' οἱ αὐτὰ ποιοῦντες,
οἵ τ' αὐτοῖς πίσυνοι ὥς τισ' ἔασι θεοῖς.
ἀλλὰ σὺ τὸν ζωὸν θεὸν ὄντ' Ἰάκωβε πανοικεὶ,
κύριον ὑμνείων ἤματα πάντα σέβοις.
τοῦτο δ' Ἀαρῶνος γένος ἱρὸν οἱ ἔκγονοι αὐτὸ,
καὶ οἱ τοῦ Λευὶ δρῶσιν ὅσ' εἰσὶ τέκη.
καὶ πάντες σφετέραις οἱ φρεσὶ φοβούμενοι αὐτὸν,
χ' οἷς θεολατρείης τῆς ἐτεῆς τι μέλει.
πᾶσα νέμοιτο θεῷ δόξ' ἐνναετῆρι Σιῶνος,
καὶ τῶν τῆς Σολύμης τῆς ἱερῆς γε δόμων.

## ΨΑΛΜΟΣ ΡΛϚ.

### Ὑπόθεσις.

Κύριον ἀζηχὲς κληΐζειν πᾶσι κελεύει,
κτίστορα τὸν πάντων καὶ μόνον ὄντα θεόν.
καὶ τὸν ῥυσάμενον φῦλ' Ἰσραῆλος ἀπ' ἐχθρῶν,
τόν τε μάλ' εὐμενέτην καὶ γλυκύθυμον ἀεί.

Ὅσοι μειλιχίης εἰδήμονές ἐστε θεείης,
εὖ τὸν παντάγαθον φάσκετ' ἐόντα θεόν.
κλείετέ μιν, διότε πᾶσαν ἑοῖ χάριν, οὐδέ τιν' ἄλλῳ,
ὅττι καὶ ἡ αὐτοῦ ἄφθιτός ἐστι χάρις.
τὸν πάντων θεὸν ὄντα θεῶν εὖ ἐννέπετ' οἶον,
καὶ γὰρ ἐς οἰκτιρμῶν ἐστὶν ἅπαντα χρόνον.
τίσαθ' ὁμοῦ χάριτας πάντων τῷ ἄνακτι ἀνάκτων,
ἐν φρεσὶ γὰρ κραδίην εὐμενῆ αἰὲν ἔχει.
τῷ τε μόνῳ τεράτων τοίων ῥεκτῆρι τόσων τε,
οὔποτε γὰρ χρηστὸς παύετ' ἴν' ἐσθλὸς ἐών.
τῷ πτύχας οὐρανίας τεύξαντι πολύφρονι θυμῷ,
ὅττι φιλοίκτιστος συνεχές ἐστι θεός.
τῷ ἐκτείναντι χθόν' ὑγρῆς ἐφύπερθε θαλάσσης,
πάντοτ' ἐπεί, τελέθων ἤπιος ἐσθλὰ φρονεῖ.
τῷ μάλα φωστήρων ποιητῇ ἐόντι διαυγῶν,
οὔτι γὰρ ἡ κείνου τέρμ' ἐλεητὺς ἔχει.
τῷ φῶς ἠμάτιον στήσαντι τὸν ἥλιον εἶναι,
ἄλληκτος γὰρ ἑοῖ εὐμενίη τις ἔνι.
τὴν δὲ σελήνην τῇ εὐφρόνῃ ἄστρα τε λάμπειν,
εὔσπλαγχνος γὰρ ἀεὶ ἐστὶ καὶ ἐσθλὰ δίδοι.

τῷ τὰ πρωτότοκ᾽ ἐν Φαρίῃ ὀλέσαντί ποτ᾽ αἴῃ,
ὅττι ἐλεημοσύνης ἤματα πάντα γέμει.
ἔκ τε τὸν Ἰσραὴλ μέσσων ἀγαγόντι ἔθ᾽ ἐχθρῶν,
κῆρ γὰρ οἱ εὐνοίης ἔστ᾽ ἐνίπλειον ἀεί.
χειρὸς ἀητήτου δυνάμει, καὶ κάρτεϊ πολλῷ,
ὅττι φιλοφροσύνης ἔμπεδός ἐστι φύλαξ.
ἄνδιχα τῆς ἐρυθρῆς διελόντι τὸ οἶδμα θαλάσσης,
οὕνεκα μειλιχίης οὔποτε παύεθ᾽ ἑῆς.
ἠδ᾽ τὸν Ἰσραὴλ ἀγαγόντι δι᾽ ὑγρὰ κέλευθα
οὐ γὰρ κῆρ λήξει ἔσθ᾽ ὅτε πρᾶον ἔχων.
τὸν Φαραὼ δ᾽ ὕφαλον πολλῶν ὀλέσαντι μετ᾽ ἄλλων,
ὅττι δίχ᾽ εὐμενέτης λήξιος ἔμμεν᾽ ἔφυ.
γεινομένῳ λαοῦ δ᾽ ἔθ᾽ ὁδηγῷ ἐρήμῃ ἐν αἴῃ,
αἰεὶ γὰρ χρηστοῖς ἀνδράσι χρηστὰ φρονεῖ.
τῷ βίῃ ἠγαθέῃ κρατεροὺς φθίσαντι τυράννους,
οὐ γὰρ ἀπολλυμένη ἔστ᾽ ἐλεητὺς ἑοῖ.
τῷ βασιλεῖς δυνάμει κτείναντι κεκασμένα φῦλα,
ἡ γὰρ ἐκείνου ἄνευ λήξιός ἐστι χάρις.
ἀρχὸν Ἀμορραίων Σηὼν ἄνδρ᾽ ἀγριόθυμον,
ὡς γὰρ νῦν ἐστίν, τὼς ἔσετ᾽ ἐσθλὸς ἀεί.
τόν τ᾽ Ὤγ γεινόμενον κλεινῆς ποτ᾽ ἄνακτα Βασάνης,
καὶ γὰρ ἄπαυστον ἑῆς ἐν φρεσὶν οἶκτον ἔχει.
καὶ τὴν ἀλλοτρίην χθόν᾽ ἑῷ διαδόντι τῷ ὄχλῳ,
καὶ γὰρ ἀεὶ χρησταὶ αὐτῷ ἔνεισι φρένες.
τῷ γοῦν Ἰσραὴλ τῷ ἑῷ φίλῳ ἔξοχα δούλῳ,
ὅττι διαμπερέως κῆρ ἔχει ἄρθμια φρονεῦν.
μνήσατο γὰρ κακότητ᾽ ἡμῶν ποτ᾽ ἀμηχανεόντων,

ὅττι διηνεκέως μείλιχός ἐστι θεός.
ἐκ τ' ἀνδρῶν ἡμᾶς ἐρρύσατο δυσμενεόντων,
  καὶ γὰρ εὔσπλαγχνος μέλλει ἐς αἰὲν ἔμεν.
οὗτος ὁ πᾶσι βόσιν τοῖς ἐμψύχοισι χορηγῶν,
  ἐσθλ' ἐπεὶ αὐτῷ νωλεμές εἰσι φρένες.
κλείετ' ἐπουράνιον θεὸν, ἰθυντῆρά τε πάντων,
  οἰκτίρμων γὰρ ἀεί τίς τε φίλ' ἐστὶ φρονῶν.

## ΨΑΛΜΟΣ ΡΛΖ.

### Ὑπόθεσις.

Ταῦτα Σιὼν ἱκέτευσε θεὸν πότε δουριάλωτος,
  ἐν Βαβυλωνείῳ πὰρ ποταμοῖσι πέδῳ.
τοῖσι παράκλησίς τις, ὑποσχεσίη τε πάρεστον
  ἱμερτῆς οὔσης τῆς οἱ ἐλευθερίης.

Ἑζόμενοι ποταμῶν δουρύληπτοι ἄγχι βαθυρρόων,
  τοὺς γῆ πυροφόρος τῆς Βαβυλῶνος ἔχει·
θερμὰ κατὰ βλεφάρων χέαμεν καὶ δάκρυα πολλὰ,
  εἰς νόον ἄμμι φίλη ἂψ ἐπεὶ ἦλθε Σιών.
μουσικά τ' ἐξ ἰτεῶν ἐκρεμάσαμεν ὄργαν' ἐν ὄχθαις
  τῶν πλῆθος σφετέραις πουλὺ τὰ ῥεῖθρα φύει.
ἔνθα γὰρ ἡμείας ποθ' οἱ ἀνδραποδισάμεν' εἶχον,
  ἀειδέμεναί τι καλῇ ἄμμε κέλευσαν ὀπί.
αἰτοῦντες κιθάρας ἡμᾶς αὐλούς τε λύρας τε,
  καὶ λύπαις φαιδρὴν θυμοβόροισι χαράν.
ᾄδετε, φάσκοντες, γλυκύθρουν τὶ μελήδειον ἡμῖν,
  οἷα Σιωνείῳ πολλάκις ἦσατ' ὄρει.
πῶς δ' ἐν ὀθνείῃ μέλπειν κε δυναίμεθα γαίῃ,

τλήμονες ἡμετέρῳ κινυρίῳ ἡδὺ μέλος·
κὴν σέθ' ἐγὼ τῆς νῦν ἐλεεινῆς ἐπὶ πάγχυ λάθωμαι,
κὴν ἱερὴν λήξω ὦ Σολύμη σὲ φιλῶν·
οὐδεὶς δεξιτερῆς ἔτ' ἐμῆς μνησθείη, ἔτ' οὐδεὶς
φαίη ἐμὴν ἀρετὴν πανσθενῆ ἔμμεν' ἀνήρ.
οὐδένα μῦθον ἐμὴ ἔτι γλῶσσα δύναιτο πιφαύσκειν,
εἰ κραδίην ποτ' ἐμήν τις σέο λῆσις ἕλῃ.
κὴν τι ἐμῷ θυμῷ σοῦ φίλτερον εἶναι ἐάσω,
κὴν ἐάσω γλύκιον κῆρί τι ἔμμεν' ἐμῷ.
μνώεο Ἰδουμαίης ναετάων κύριε γαίης,
λαῷ ἐνεικάντων πήματα πολλὰ τεῷ.
ὅττε γὰρ ἡμετέρην πόλιν ἄνδρες ἐχθροὶ ἐπόρθουν,
αὐτῶν τῶν ἐχθρῶν οἵδ' ἀγριώτεροι ἔσαν.
κείρετε, βάζοντες, μάλα κείρετε, λείπετε μηδὲν,
ὅππως γυμν' αὐτῆς καὶ τὰ θέμεθλα πέλῃ.
καὶ σὺ γὰρ ὦ Βαβυλὼν ἡ νῦν περ ἐοῦσα κραταιὴ,
ἔσθ' ὅθ' ἕλωρ δηΐοις ἄμπαλιν ἀνδράσ' ἔσῃ.
ὄλβιος εἴη, ὅτις κακά σοι τόσ' ἐσαῦθις ἐφήσει,
ὅσσα τεὸς μελέοις ἧμιν ἔφηκεν ἄρης.
ὄλβιος εἴη ὅτις τὰ σὰ νήπια τέκνα μεμαρπὼς,
προσρείψει πέτροις ὠμὸς ἐών τις ἀνήρ.

## ΨΑΛΜΟΣ ΡΛΗ.

### Ὑπόθεσις.

Τὴν παγκοιρανίην, τὴν χριστοῦ παμβασιλείην
ὀρχεῖσθ', ἐν κραδίης τοῖσδεσιν σύχεθ' ἑῆς.
καὶ τοὺς τῆς γαίης σκηπτούχους εἰξέμεν αὐτῷ,

καὶ

καὶ δουλοπρεπέως οἰσέμεν ἦρα λέγει.

Κύριε ὃς βασιλεὺς βασιλήων ἐσσὶ μέγιστος,
    πάντων τῶν χθονίων οὐρανίων τε κρατῶν.
σοὶ χάριτας περὶ κῆρι φέρω, προπάροιθε σὲ κλείων
    ᾄσμασιν ἀθανάτων ἡδυθρόοισι θεῶν.
πρὸς σὸν βήσομ' ἴμεν λιτανεύσων ἱερὸν οἶκον,
    καὶ τεὸν αἰνήσω χείλεσιν οὔνομ' ἐμοῖς.
εἵνεχ' ὑπερβολάδην οἰκτίρμον' ἐνὶ φρεσὶ θυμὸν,
    καὶ πλέον οὐ σφαλερῆς πίστιος ἦτορ ἔχεις.
καὶ γὰρ ποίησας τὸ τεὸν πανυπέρτατον αὐτὸς
    οὔνομα σοῖς ἱεροῖς πανθαγίοις τε λόγοις.
ὁσσάκις ἀγκαλέσω, ὁσάκις τέ σε ἀντιβολήσω,
    οἶξον ἐμαῖς ἀκοὰς σὰς παραχρῆμα λιταῖς.
καὶ μένος ἠῢ ἐμῷ ἀρετήν τε δὸς ἔμπαλι θυμῷ,
    θυμῷ τῷ κάρτος νῦν σχεδὸν οὐδὲν ἔνι.
πάντες ἐπιχθόνιοι σὲ κληΐζουσι σέβοντες
    κύριοι, ὦ πάντων κύρι' ἄριστε θεός.
ὅττι φίλων αἴουσιν ἐπῶν, τὰ μὴ ἀνδρόμεόν τι,
    ἀλλὰ σὸν ἠγάθεον τὸ στόμ' ἔειπεν ἐόν.
καὶ μέλπουσιν ἅμα στείχοντες τὰς σέθ' αὐγὰς,
    ἡ σὴ ὅτ' ἀκροτάτη κύριε δόξα πέλει.
ὕψιστος γὰρ ἐὼν τὰ ταπειν' ἐς ὁ κύριος ἀθρεῖ,
    τὸν δ' ὑπέρθυμον τηλόθεν ἄνδρα νοεῖ.
κἄν τις ἀμηχανίης με γεφύρας χρειὼ ἱκάνῃ,
    τῆς τε δυηπαθίης, δυστυχίης τε περᾶν:
τύνη ἀναψύχων ἔμπης, ἀσκηθέα σώσεις,
    καὶ λύσῃς πάντων βριθοσύνης με κακῶν.

ςἰκύτε

σύ τε χέρ' ἐκτανύσας ἐπὶ τοὺς κοτέοντας ἐμ' ἐχθρούς,
σωτὴρ τῆς ψυχῆς τῆδε γενήσῃ ἐμῆς.
πάντα τελειώσει ἐμέθεν θεὸς εἵνεχ', ὁ θυμὸν
ἐν πραπίδεσσι τέλους νόσφ' ἐλεήμον' ἔχων.
τύνη σῶν παλαμῶν καλὸν ὦ πάτερ ἤπιε πλάσμα
μὴ παρίδῃς, τυφλὴ μή κε τύχῃ τὸ φρενῆ.

## ΨΑΛΜΟΣ ΡΛΘ.

### Ὑπόθεσις.

ὡς σοφὸς ὡς πολύφρων θεός ἐστιν ὁ πάντα γινώσκων,
ἠδ' τὰ γιγνόμενα κρυπταδίως περ ὁρῶν.
καὶ πάνθ' ἢ κτίζων δυνάμει κτισθέντα τε σώζων,
ἢτε βίῃ μοῦνος πάντῃ ἅπαντα κρατῶν.

Ὃς μήτ' ἤρξας ἔμεν μήτ' αὖ ποτὲ κύριε λήξεις,
ὦ πάνσεπτε, φόως οὐκ ἐλετόν τι, θεός.
τύνη ὅσ' ἔνδοθ' ἐμοῦ καὶ ἔκτοθ' ἔασιν ἅπαντα
οἶσθα, καὶ οὔτι φρένας τῶνδε λέληθε τεάς.
εἴτε γὰρ ἑδριόω εἴτ' ἔγρομ' ἐπίστασ' ἀπὼν περ,
γινώσκεις τε νόος δίνεα τηλόθ' ἐμοῦ.
ὁππότε με στείχοντα βλέπει τοῦ ἤματος αἴγλη,
ἐννύχιος κοίτης ὁππότε κεῖμ' ἐπ' ἐμῆς·
τὺ παραμέμβλωκάς μοι ὁρῶν ὄπισω τε πρόσω τε,
καὶ ὁρμαίνων πάσας ἐν φρεσὶ τάς μου ὁδούς.
οὐδ' ἄρα μῦθον ἐμή τινα γλῶσσα δύναιτό κε φάσκειν,
μὴ πρὶν φάσκεσθαι γνώριμον ὄντα τεΐν.
τύνη ἐμὸν νῶτον, κἀμὸν τὸ μέτωπον ἔπλασσας,
καὶ ὅσσα παρῴχηται, καὶ ὅσσ' ἔτι μέλλει ἔμεν.

καὶ

καὶ δὴ τὴν παλάμην μου ἔχεις σὴν παντόθ' ὕπερθεν,
τῆς μούνης τεῦχος, κτίσματ' ἀγαστὸν ἐῷ.
τήνδε δαημοσύνην τῆς θαυμασιώτερον οὐδὲν,
καὶ μεῖζον, χωρεῖν οὐ δύνατ' ἦτορ ἐμόν.
ποῖ με μὲ πορεύεσθαι λήσοντα τεὸν δεῖ ἄημα;
ποῖ φυγέω ἵνα μὴ ὄμμα με σόν κε βλέπῃ;
ἢν ἔμ' ἐκ γαίης ἀναβῆναι ἐς οὐρανὸν αἰπὺν,
κὐκεῖδ' ὁ αἰπὺς ἕδρη οὐρανός ἐστι τεή.
ἢν ἀμειδήτου καταβῆναι ἔμ' ἄϊδος εἴσω,
κὐκεῖδ' ὑποχθονίων κοίρανος ἐσσὶ δόμων.
δοίη δ' αὖ πτέρυγάς μοι ἐὰς ἡ ἐκηβόλος ἠὼς,
καὶ ναίοιμ' ἀντὴν πυμνοτάτην τίν' ἁλός.
οὐχὶ κεν ἰθύνῃς κἀκεῖθι με χειρὶ τῇ ἔμπης;
οὐχὶ κρατήσῃ ὅμως δεξιῇ αὖ σῇ ἐμέ;
αὖ φῶ, κρύψει ἐμὲ ζοφερὸν σκότος ἠδὲ κελαινὸν,
ἀμφὶς ἔμ' ἡ δνοφερὴ νὺξ γίνετ' αἶψα φόως.
σῆο γὰρ ἔμπροσθεν καὶ τὸ σκότος οὐ σκότος ἐστὶ,
καὶ νὺξ αὐγαλέῳ ἤματ' ἔοικε θεός.
χ' ὡ ζόφος αἰγλήεις σελαγῶν γίνετ' ἔνθα καὶ ἔνθα,
ἦτ' ὀρφνὴ χώρην ἴσχει ἔτ' οὐδεμίην.
Τῶν ἐμῶν νεφρῶν κρατέεις μυχάτων περ ἐόντων,
κὰν βαρέῃ μητρὸς γαστέρι με κεῦσας ἐμῆς.
ἔη σοι μεγάλη χάρις ὦ πάτερ, ὅττι ποίησας
σῇ βίῃ ἔμψυχον θαυμασίως με βροτόν.
ἔργματ' ἀγητὰ πέλει, τὰ τεῶν πέλει ἔργματα χειρῶν,
καὶ τάδ' ἐμὸς περίφρων φράζεθ' ὁ θυμὸς ἐών.
ὀστῶν νῆϊς ἐμῶν οὐκ ἦς, ὅτε κρυπταδίως περ

ἐν τοῖς μητρῴοις πλάττετο κεῖνα μυχοῖς.
χ' ὥσπερ ὑποχθονίοις ὁπότ' ἐν σιῤῥοῖσι τυπεῦμην,
οὔπω γ' ἄνθρωπος, φύραμα δ' ὑγρὸν ἐόν.
τύνη ἔτι βροτέης ἔβλεπες χατέοντά με μορφῆς,
καὶ νόσφ' ἀνδρομέων σῶμά τι ὄντα μελῶν.
τουτάκις ἐν βίβλῳ σημειωθέντα σῇ ἔσχες,
ἐσσόμενα ζωῆς ἤματα πάντ' ἔτ' ἐμῆς.
καίπερ τῆς ζωῆς ἐλθόντος ἐμ' ἤματος οὔπω
οὐδενὸς, ἐν κλείθροις μητρὸς ἔθ' ἱζομένῳ.
ὡς περίτιμον ἐμοὶ τὰ σὰ μήδεα χρῆμα τέτυκται,
χ' ὡς μεγάλη πληθὺς τῶνδε φίλ' ἐστὶ θεός.
κὴν γὰρ μαστεύων πεμπάζεσθ' αὐτὰ δυναίμην,
εἴξειεν ψάμαθος σφὶν κεν ἡ εἰνάλιος.
ὅττι σὺ καὶ κνώσσοντα, καὶ ἐγρήσσοντά με τηρεῖς,
καὶ φρουρὸς παρ' ἐμοὶ παύεαι οὔποτ' ἐών.
εἴθ' ἄνδρας θεὸς δυσσεβίης ὀλέσειας ἀμοίρους,
εἴθ' ὠμηστάων στυγνά με φῦλα λίποι.
καὶ γὰρ ἀπηλεγέως σὲ κακηγορέουσι τόσον περ,
καὶ προῖχ' οἱ ἐχθροὶ δεινὰ μεμῶσι τεοί.
αὐτὰρ ἐγὼ στυγέω τοὺς σε στυγέοντας ἅπαντας,
ἀνθρώπους ὁσίης ἴδμονας οὐδεμιῆς.
καὶ τοὺς σοι μίξαι τολμῶντας φύλοπιν αἰνὴν,
οὐ δύναμ' εἰσορόων ὥς τι βδέλυγμα φέρειν.
ἦτ' ἀνυπερβλήτως μισῶ ὁλοθυμαδὸν αὐτοὺς,
τῷ καὶ ἀπὸ κραδίης ἦρξαν ἔμ' ἐχθρὰ φρονεῖν.
γνῶθι καὶ ἐξέτασον τὸν ἐμὸν θεὸς ἐν φρεσὶ θυμὸν,
ἐξέτασον κραδίης μῆτιν ἅπασαν ἐμῆς.

καὶ

καὶ βλέψον τρίβον εἰ ἄβατόν τινα πλάζομ' ἐσελθὼν,
εἴς τ' οὐ λήγουσαν κεῖθεν ἔμ' ἄξον ὁδόν.

## ΨΑΛΜΟΣ ΡΜ.

### Ὑπόθεσις.

Πολλάκις οἱ φαῦλοι τανύουσι λίν' ἀνδράσιν ἐσθλοῖς,
οἵ τ' ἀσεβεῖς τεύχουσ' εὐσεβέεσσι μόρον.
τοῦσδε κολασθῆναι λιτανεύει ὁ ταῦτα μελίσσας,
ἠδ' ἐργαζομένους δεινὰ τὰ δεινὰ παθεῖν.

Μή με βροτοῖσιν ἕλωρ τοῖς ὑβριστῆσι γενέσθαι,
μή με γενέσθ' ἔασον κύρμα κακοῖσι θεός.
αὐτὰρ ὑπερφιάλων ἀδίκων τέ με κύριε ἀνδρῶν
ῥῦσον, τῶν καὶ ἐμοὶ μητιόωσι φρένες.
τῶν φρένες οὐ λήγουσιν ἐμοί τινα μηδόμεν' οἶτον,
οὓς τ' ἔμεν ἡσυχίους οὐδεμί' ἦμαρ ὁρᾷ.
θήγουσιν δεινὸς σφετέρας ὄφις ἠΰτε γλώσσας,
ἀσπίσιν ἰοβόλοις σφῶν στόμ' ἔοικεν ὅλον.
τήρει ἔμ' ἀσκηθῆ καὶ ἀπήμον', ἀπόπροθι χειρὸς,
τῶν τε δίκης ἐχθρῶν, δυσσεβίης τε βροτῶν.
οἳ στυφελιζέμεναι μεμάασί με ποσσὶ τιθέντες
ἄρκυας, ἀπροόπτως ταῖς κεν ἁλῶσιν, ἐμοῖς.
δίκτυ' ἐμοὶ κρυφίως τανύουσ' ὑπερκύδεες ἄνδρες,
πάσαις εὐστρεφέες κεῖντ' ἐν ὁδοῖσι βρόχοι.
αὐτὰρ ἐγὼ πρὸς ἐμὸν τὸν κύριον ὄντα θεόν τε,
μυρομένης ἐνέπω ὦ 'γαθ' ἄκουσον ὀπῆς.
ὦ κράτος, ὦ φίλε κύρι' ἐμοὶ σωτήριον ἄλκαρ,
σὺ σκέπας εἶ κεφαλῆς ἐν πολέμοισιν ἐμῆς.

μὴ τυχέειν ὁσίην οὐκ ἀσκοῦντ' ἄνδρ' ἐῴης,
ἐν φρεσὶ τῶν αὐτὸς νωλεμὲς ἔλδεθ' ἑαῖς.
μὴ συγχωροίης ἐπὶ τὸ πλέον ἄττα μενοινᾷ
ἐλθέμεναι, μήπως τὰς ἔθ' ἀνέλκοι ὀφρῦς.
πῆμα τὸ ἄνδρες ἐμοὶ μορμηνείζουσιν οἱ ἐχθροί,
ταῖς ἰδίαις αὐτῶν ἐν κεφαλῇσι πέσοι.
ἄνθρακας οὐρανόθεν σφὶν ἐπὶ φλογόεντας ἰάλλοι,
βάλλοι σφᾶς θείῳ αἰθαλόεντι θεός.
ὄφρα χανοῦσ' αὐτοὺς ταχέως καθ' ἡ αἶα καλύψῃ,
ἧς ἄπ' ἐγείρεσθαι μή κε δύναιτο πάλιν.
ὅστις μαψίδιον καὶ γλῶσσαν ἐπεσβόλον ἴσχει,
πάσης εὐτυχίης ζήσετ' ἀπόπροθ' ἀνήρ.
καὶ ὧ κακὸς ἄτῃσιν τόφρα πείσετ' ἄτλητα παλαίων,
εἰσόκε κρημνωθεὶς πάμπαν ἔτ' οὐδὲν ἔῃ.
ἓν τῶν οὐκ ἀμφηρίστων τὸ πέλειν κέ τις εἴπῃ,
ὅττι κριτὴς ἔσεται τῶν ταλαύνων ὁ θεός.
καὶ ὅττι δίκην δικάσει τῶν οὔ τινα χρήματ' ἐχόντων,
ἀλλὰ τῇ ἀργαλέῃ τειρομένων πενίῃ.
οὐνόματος δὲ τεοῦ κήρυκες οἱ ἔνδικοι ἄνδρες
ἔσσοντ', ἐν γαίῃ ἱμερόφωνοι ὅλῃ.
καὶ οἷς φρένες ἰθεῖαι μὴ ἀγκυλομήτιδές εἰσι,
τοῖσδ' ἐξέσσετ' ἀεὶ ναιέμεν ἄντα σέθεν.

## ΨΑΛΜΟΣ ΡΜΑ.

### Ὑπόθεσις.

Τῆς ὑγιοῦς διδαχῆς κίβδηλον τ' οὐδὲν ἐχούσης
ἴδμεν ἐ, κἀν ζωῇ εὔχεθ' ἄμεμπτον ἔμεν.

κἀπεὶ

κἀπεὶ ὀϊζυρῶς ζῆν τοῖς ὁσίοισι προσῆπται,
 ἱκνεῖθ' οἱ χραισμεῖν δυσπαθέοντι θεόν.

ΑΓκαλέω σὲ θεὸς, σὺ δ' ἀγκαλέοντος ἐμεῖο
 πλησίον αἰνομόρου, μὴ χρονίσειας ἱμεν.
πεύθεο σοῖσιν ἐμὴν τῇ σοῦ δέομ' αἰλινὰ φωνὴν
 ὠσὶ, δυηπαθίας σοὶ ἐνέπουσαν ἐμάς.
ἀμβαίη τὰ προσευχόμενός σοι ῥήματα βάζω
 ἄγχι σέθ', ὡς λιβάνου καπνὸς ἀπ' αἰθομένου.
καὶ ἡ ἔπαρσις ἐμῶν γαίηθεν ἐς αἰθέρα χειρῶν,
 ὥς τι σοι ἑσπερινὸν θῦμα ἀπόδεκτον ἔοι.
ἔχεθ' ἐμῶν κλείσας μόχλῳ πάτερ ἕρκος ὀδόντων,
 γλῶσσαν δεσμοῖσιν δῆσ' ἀλύτοισιν ἐμήν.
μήτε φρένας πότ' ἐμὰς τῶν οὐ θέμις ἐστ' ἐπιθυμεῖν,
 μήτ' ἄνομ' ἔργα φιλοῦν κῆρ μ' ἐάσειας ἔχειν.
οὐκ εἴην ἕταρος τῶν σχέτλια μηχανοώντων,
 οὐ θοινηθείην ἀφροσύνας σφὶν ὁμῶς.
τύψοι ἐμὲ φρονέων ἐμοὶ οὐκ ἐχθρ' ἐμφ', ὁ δίκαιος,
 μέμψοιτο, κρατὶ χρῖσμα τόδ' ἔσσετ' ἐμῷ.
χρῖσμ' οὐκ ἀτηρὸν, περὶ δ' ὠφέλιμόν τε καὶ ἐσθλὸν,
 καὶ γὰρ ὅπως μηδείς με βλάβῃ, εὔχομ' ἀεί.
κρημνισθήτωσαν πετρῶν κατὰ παιπαλοεσσῶν,
 ἄγγελ' ὅσοι διδαχῆς οὐκ ἀγαθῆς σφὶν ἔσαν.
οὕτω γὰρ μύθους κεν ἐμοὺς ἀνέχοιντο πυθέσθαι,
 τοὺς τε εὐφροσύνης, μειλιχίης τε πλέους.
ὡς ἡ ἄρουρα βίῃ κρατερῇ πάσχουσα σιδήρου,
 ὡς αὖλαξ ἀρότρου κεῖθ' ὑποτεμνόμενος:
ὣς τὰ ἅπανθ' ἡμῶν κεκεασμένα ὀστέα κεῖται,

ἀγχόθ' ἀνοστήτων τοῦ ἀΐδαο μυχῶν.
ἠπειδὴ μοῦνόν σε ἐπ' ὀσσόμεθ' οὐδέ τιν' ἄλλον,
κοὐ κενέως ἐπειὴ λεύσσομεν εἰς σὲ θεός.
μὴ ἐάσειας ἐμὴν ψυχὴν φίλε πότμον ἐπισπεῖν
κύρι', ἐπεὶ λογίοις πᾶσα πέποιθε τεοῖς. (θροῖ,
δός μοι ἀλυσκάζειν βρόχον ὃν θέσαν ἄνδρες ἐμ' ἐχ-
μή με τὸ τῶν ἀλιτρῶν πλέγμα σαγήνη ἕλῃ.
ἐμπέσοι ἀμφιβλήστρῳ ἑῷ ὃ ἀτάσθαλα ῥέζων
πᾶσιν, ἐγὼ δὲ πρόσω ἐκτὸς ἴοιμι δύης.

## ΨΑΛΜΟΣ ΡΜΒ.

### Ὑπόθεσις.

Ψυδροπροφητάων, τῶν ἐξωλέστερον οὐδὲν
ἐστί, καθ' ἱκνεῖται τῇσδε λιτῇσι θεόν.
εἰ παραδείγματ' ἔχειν δῇς πλείονα, δέρκεο τὰ γαίης
φυόμεν' αἱρέσεων ἔνθα καὶ ἔνθα γένη.

Κλαίων καὶ στενάχων πρὸς κύριον αἴλινα κραυ-
αὐτιβολῶ φωνῇ κύριον αἶλιν' ἐμῇ. (ζω,
πᾶσαν ἐμὴν προχέω προπάροιθ' αὐτοῖο δέησιν,
πᾶσαν ἑοῖ ἄτην, πᾶσαν ὀϊζὺν ὁρῶ.
κὴν ἀμηχανέων θυμὸς κακότησί με λείπει,
τηνίκα μῆχος ἐμοὶ οὐρανόθεν σὺ φέρεις.
κὴν εἴωθα πατεῖν ταρσοῖσιν ἐμοῖσι κέλευθον,
τῇ δ' ἐνιθῆκαν, ἑλεῖν ἐλπόμενοί με, πέδας.
παπταίνω περὶ ὄμματ' ἄγων τὰ ἐμ' ἔνθα καὶ ἔνθα,
κοὐδεὶς γινώσκειν βουλόμενός με παρά.
πᾶσά μοι οὐκ ἐταίης ἐλπωρὴ ὄλωλεν ἀρωγῆς,

οὔτις

οὔτις ἐμῆς ψυχῆς ἐν φρεσὶ κήδεθ' ἑῇ.
πρὸς δέ σε λυσάμενος τῆς σιγῆς μακρὸν ἀΰτω,
καί σοι πεποίθησις φημί μου ἐσσὶ θεός.
αἶσά τ' ἐμή, καὶ κλῆρος ἐμὸς τριλλίστῳ ἐν αἴῃ,
ἣ τῶν ζωόντων πατρὶς ἄληκτα πέλει.
οἰκτρὰ κινυρομένῳ πρόσεχ' ὦ θεὸς ὦτα σέθ' οἴξας,
ὅττι τύχης μηδὲν κακώτερόν ἐστιν ἐμῆς.
τῶν τε διωκόντων στυγερῶν ἀπὸ ῥῦσον ἔμ' ἀνδρῶν,
τῶν σφετέρων γὰρ ἐμοῦ κρείττονές εἰσι κράτει.
ἐξάγαγ' αὐσταλέης ἐμὲ τὸν πεπεδημένον εἱρκτῆς,
ὄφρ' ὄνομ' ὑμνήσω, τιύδε λιπών, κε τεόν.
καὶ τόθ' ὁμηγερέες πρὸς ἐμὲ στείξουσι δίκαιοι,
ὅτταν ἔμ' σὺ ῥέξῃς, ταῦθ' ἃ πόθησα διδῶν.

## ΨΑΛΜΟΣ ΡΜΓ.

### Ὑπόθεσις.

Θυμὸς ἀλιτροσύναις τετιημένος ἤτορος ἔνδον,
καὶ τάσδ' ὀῤῥωδῶν τὸν στυγέοντα θεόν:
οὐ διὰ τλῆσι δίκης ἰέν' οἱ τόνδ', ἀλλ' ἱκετεύει,
τῶν τε ὑποσχέσεων ἀντέχετ' ἠγαθέων. (χύσης

Δέχνυσ' ἀπὸ κραδίης τάς σοι μεγάλ' ἄλγε' ἐσ-
εὐχὰς ἀνστενάχων κύριε πολλὰ φέρω.
λάμβανε σοῖσιν ἐμὸν γόον οὔασιν, οὕνεκα πιστός,
οὕνεκα μὴ ψευδὴς εἶς, ἀτρεκὴς ἦ θεός.
χ' ὅττι δικαιότερος μηδεὶς σέθεν ἄλλος ἂν εἴη,
τάς δ' ἄδικ' αἰτούσας οὔτιν' ἄκουε λιτάς.
μὴ θεράποντι τεῷ ξυνάμ' εἰς κρίσιν ὦ θεὸς ἔλθῃς,

μὴ πρὸς βῆμ' ἄξῃς τὸν μὴ ἀθῷον ἐμέ.
οὐ γὰρ παμπήδην ὁ λεὼς πάρος ἔνδικός ἐστι,
τῶν ζώντων γαίης ἔνθα καὶ ἔνθα βροτῶν.
πότμον ὁ ἐχθρὸς ἀνὴρ μάλ' ἐμοὶ δολόεντα φυτεύει,
κἀμὲ λαβεῖν μεμαὼς ἧς σφόδρ' ἐπείγεθ' ὁδοῦ.
κάββαλ' ἐμὴν χαμάδις ζωὴν, ἅτε μηδὲν ἔτ' οὖσαν,
εἰς σκιεροὺς γαίης νειόθ' ἔμ' εἷσε δόμους.
ὡς τοὺς θυμὸν ὁμῶς ὀλέσαντας αἰῶνά τε νεκροὺς,
τῶν ὁ καταχθόνιος τάρταρός ἐστιν ἕδος.
τεινόμενος φθινύθει μοι ὁ δύσταλας ἐν φρεσὶ θυμὸς,
ἀσχαλάα τοὐμὸν ταρβοσύνῃσι κέαρ.
ἀλλ' ἐγὼ ἡμερέων μιμνήσκομαι αὖτε παλαιῶν,
τῶν τε παρελθόντων φράζομ' ἕκαστον ἐτῶν.
τοὐμὸν ἀνὰ στόμ' ἔχων τὰ σὰ ἔργματ' ἀοίδιμα πάντῃ,
καὶ παλάμη κλείων ὅσ' ἐποίησε τεή.
λισσόμενος τείνω σὲ ἐς ἀγλαὸν αἰθέρα χεῖρας,
καὶ περὶ κῆρι ποθῶ, ὡς γῆ ἄνυδρος ὕδωρ.
μὴ χρονίσειας, ἀτὰρ ταχέως μοι ἐπίρροθος ἔλθοις,
ὅττ' ὀλιγηπελίη θυμὸν ἔδυσεν ἐμόν.
μὴ ἀποκρύψειας, μὲ δρακὼν, τὸ σὸν αὖτε πρόσωπον,
μὴ κατιοῦσ' ἴκελος τοῖς κεν ὑπὸ χθόν' ἔω.
σὴ δὲ φιλοφροσύνη κατάπυστος ἔμ' ἦρι γένοιτο,
οὕνεχ' ἡ ἐλπωρή σοι ἐνάρηρεν ἐμή.
γνώρισον οἶμον ἐμοὶ τῷ ἔνι χρὴ ἔμ' αἰὲν ὁδεύειν·
ἀσθμαίνει γὰρ ἐμὸν κῆρ βαρέως σὲ ποθοῦν.
ἔξελε δυσμενέων λοχοώντων κύρι' ἔμ' ἀνδρῶν·
σὺ γὰρ ἐμοὶ πύργος, κρησφύγετόν τε πέλῃ.

ἔννομα

οὔνομα, καὶ τὰ τεὴν πρόσδεκτα δίδασκέ με ῥέζειν,
 ὅττι παρὲξ ἄλλον σοῦ θεὸν οὐδέν' ἔχω.
εἴη ὁδηγὸς ἐμὸς τὸ τεὸν πνεῦμ' ἤπιον, ἐσθλόν,
 ἔν τε με ἰθυπόροις αἰὲν ὁδοῖσιν ἄγοι.
οὐνόματ' ἀμψύξαις με τεῷ κεχαρισμένος ἱρῷ,
 ἔκ τε, δίκαιος ἐών, τῆς κακότητος ἕλοις.
κ' ὡς ἐλεημοσύνης πλέος εἶ, τοὺς ἐχθρὰ φρονοῦντας
 οὐ φείδοιο, ἐμοὶ ἤματα πάντα, κακῶν.
ζωῆς ξύμπαντας τοὺς με θλίψαντας ἀμέροις,
 σὸς γὰρ ἐγὼ δοῦλος νωλεμὲς εὔχομ' ἔμεν.

## ΨΑΛΜΟΣ ΡΜΔ.

### Ὑπόθεσις.

Εἰρήνη, καὶ εὐνομίη, καὶ ἀρήϊα ἔργα
 ἐν παλάμῃσι μόνου εἰσὶν ἅπαντα θεοῦ.
οὗτος εὐφρονέων ὅσσ' οἴδαμεν ἄμμε διδάσκει,
 τοῦ δίχα πῶς κε βροτὸς κάρτος ἀφαυρὸς ἔχῃ;

Οὔτις εὐκλείην τῷ κυρίῳ ἰσοφαρίζοι,
 εἴη ἑοῖ κλειτὸς καὶ μέγας οὔτις ὁμῶς.
χερσὶν ἐγειρέμεναι ὅς ἔμ' ὀξὺν ἄρηα διδάσκει,
 εὐπολέμους παλάμας ὅς μοι ἔδωκεν ἔχειν.
οὗτος μείλιχ' ἐμοὶ φρονέει, ὅδε πύργος, ἰδ' ὅρμος,
 καὶ δὴ καὶ ῥύστης καρτερός ἐστιν ἐμός.
τῷ σάκει ὡς χαλκῷ καὶ θυσανόεντι πεποιθώς,
 τῷ γ' ὑπ' ἐμῇσιν ἐμὸν χερσὶ τιθέντι λεών.
τίφθ' ὁ χαμ' ἐρχόμενος πολυδάκρυτος ὠκύμορός τε,
 τίπτε βροτὸς μέλεται, κύριέ σοι τις ἀνήρ;

ἠὲ τί ἀνθρώπου θνητοῦ πατρὸς υἷα θνητὸν
καὶ αὐτόν, κῆδος σῆς φρενὸς ἔμμεν᾽ ἐᾷς;
εἰδομένου παντὸς τῷ μηδενὶ πηλογόνοιο
ὅντιν᾽ ἡ αἶα φορβεῖ, χ᾽ ὅντιν᾽ ἄρουρα τρέφει.
τῆς τ᾽ αὐτοῦ ζωῆς τιν᾽ ὁμῶς σκιῇ ἀλγινοέσσης
ὠκά τ᾽ ἀπερχομένης, ὠκά τ᾽ ἀποφθιμένης.
εἰς χθόν᾽ ἀπ᾽ οὐρανόθεν καταΐξας οὔρεα χερσὶ
μάσσω, καὶ καπνὸς σφῶν ἀπ᾽ ἐλεύσετ᾽ ἰών.
ἀστράψας διόθεν σφᾶς ἔνθα καὶ ἔνθα κέασσον,
χαλκοβαρεῖς ἰοὺς σφᾶς κατάπληξον ἱείς.
πέμψον ἀφ᾽ ὑψορόφου σὴν χεῖρ᾽ ἐπαρωγὸν ὀλύμπου,
ὄφρα με τοσσαύτης ἐκ κακότητος ἕλῃς.
αἶνυσ᾽ ὑποβρύχιον ῥοθίων με πάλ᾽ ἐκτροφεόντων,
ἀλλοτρίης ἀπ᾽ ἐμοὶ χειρὸς ἄλαλκε βίην.
λῦσον ἔμ᾽ ἀνθρώπων οἷς γλῶσσα κενηγόρος ἐστί,
χ᾽ οἷς ἀδίκως χρῆσθαι δεξιτερῆφι μέλει.
οὕτω καινὰ τεὶν παντοκρατὲς ᾄσματ᾽ ἀείσω,
οὕτω μουσίζων σοὶ θεὸς εὖχος ἀρῶ.
καὶ δεκάχορδον ὀχῶν ψαλτήριον εὐτροχάλοισι
χείρεσιν, ἡδυθρόως ψάλσω ἐν ὦπι σέθεν.
ὃς βασιλεῦσι βίην νικηφόρον ἐγγυαλίζεις,
Δαυίδην σώζων τὸν σὸν ἄτρωτον ἀεί.
σῶσον ἰδ᾽ ἀλλοτρίων ἐμὲ δεινῆς ὕβριος ἀνδρῶν
ἔξελε, τοῖς οὐδὲν σοῖο νόμοιο μέλει.
ὧν τε μάταια μόνον, καὶ ψευδέα γλῶσσα πιφαύσκει,
χ᾽ ὧν τεκταίνει ἀεὶ χεὶρ δολόεσσα φόνον.
τοῖά τιν᾽ εὐχομένων: ἡβῶσιν οἱ υἷες ἡμῶν,

εἰδόμε-

εἰδόμενοι σφετέρῃ ἐν νεότητι φυτοῖς.
εἴησαν κοῦραι περὶ ἡμέτερ' ἀγλαόμορφοι,
γλυπτῇ ἐν συξέστοις ἐξέδρῃ ὡς μεγάροις.
εἶεν πλεῖα πότων ξυνάπαντα ταμεῖα καὶ ὄψων,
ἄφθονον κυεκέως ἄμμι προχεῦντα βίον.
πλῆθος ἀμύθητον προβάτων τίκτοιεν αἱ οἶες,
τῶν κώμαις εἰσὶν σηκοὶ ἐν ἡμετέραις.
πίονα τοῖς βουσὶν ταλάεργά τε νῶτα γένοιτο,
οὐδέ μι' ἡμέτερον πλῶσις ἐς οἶκον ἴοι.
οὔτις ἐν ἡμετέραις κραυγὴν πεύθοιτο πλατείαις,
οὐδέ μι' ἄμμι' ἔνδον κτῆσις ὄλοιτο δόμων.
ὡς μάκαρ ἐστὶ λεώς, βάζουσιν, ὁ ταῦτα λελογχώς,
ὄλβιος ὡς πέλεται τόσσον ὁ ὄλβον ἔχων.
οὐ μὴν ἀλλὰ μάκαρ καὶ ὄλβιός ἐστιν ἐκεῖνος,
ᾧ τιν' ὁ φασκόμενος κύριός ἐστι θεός.

## ΨΑΛΜΟΣ ΡΜΕ.

### Ὑπόθεσις.

Φίλτατον αἰὲν ἔοντι θεῷ γέρας ἐστὶν ὁ αἶνος,
ὅν τις ἑοῖ πιστῆς φθέγγετ' ἀπὸ κραδίης.
τοῦτο δ᾽ χ᾽ ὁ δῖος ποιεῖ ἐνὶ τοῖσδε μελιστής,
τὴν αὐτοῖο χάριν τ', εὐμενίην τε κλέων.

ΤΗλεκλυτὸν καὶ ἔκδηλόν σε ἅπασιν ἐπαινῶν
ποιήσω, βασιλεῦ μειλιχόθυμε θεός.
σόν τε διαμπερέως σοῦ θέσκελον οὔνομ' ἐνίψω,
εἴς τε ἀπειρεσίου ἤματ' ἄληκτα χρόνου.
οὐδὲν σῆς δόξης ἐκχύσεται ἦμαρ ἄμοιρον,

οὔποτε σὴν ἀρετὴν ἀνστόμα παύσομ' ἔχων.
ὅττι μέγας, καὶ εὐκλείης σφόδρ' ἄξιος ἐσσὶ,
πάντα σῇ εὐθύνων ἡνιοχῶν τε βίῃ.
καὶ μεγαλοπρεπίης ἀῤῥήτῳ κύδεϊ γαίεις,
καὶ μηδὲν δύναμιν πεῖρας ἔχουσαν ἔχεις.
παίδων κλείουσιν τὰ σὰ θεσπέσι' ἔργματα παῖδες,
καὶ σὸν ἅπαντα κρατοῦν ἀγγελέουσι κράτος.
ἐκπρεπῆ ἐξερέω τὴν σὴν κ' ἐρικυδέα δόξαν,
κηρύξω παλαμῶν θαύματ' ἀγαστὰ τεῶν.
ὥστε τεὴν ἀρετὴν ῥέξασαν ἐκεῖνα, γενέσθαι,
τήν τε ἀριπρεπίην ἔνθα καὶ ἔνθα φατίν.
σῆς τ' εὐεργεσίης τὸ πλῆθος ἀτέρμονος οὔσης,
σῆς τε δικαιοσύνης εὐκλεὲς εὖχος ἔμεν.
μείλιχος, εὔσπλαγχνος, μακρόθυμος ὁ κύριός ἐστι,
τῆς τ' ἐλεημοσύνης κῦρ περίμετρον ἔχει.
καὶ φίλ' ἅπασι φρονῶν, μέγα κήδεται ἠδ' ἐλεαίρει
πάντα, τὰ θεσπεσίῃ αὐτὸς ἔτευξε βίῃ.
ἔργα χάριν σοι ἀνάπλοιντο ξυνάπαντα σέθ' αἰεί
κύριε, σοῖς κλείζειν τοῖς ἁγίοις σὲ μέλοι.
σῆς τε φατιζέμεναι τιμὴν πολυκυδέος ἀρχῆς,
σῆς τε δυναστείης γῇ πέρι φαῖναι ὅλῃ.
ὅππως ἀνθρώποις ἀνάπυστος ἄν ἤδε γένοιτο,
καὶ ἡ δόξ' ἀρχῆς τόσση ἐοῦσα τεῆς.
σὴ τέλεος παντὸς βασιλείη ἄμμορός ἐστι,
ἡ σὴ δεσποσύνη ἤμαθ' ἅπαντα μένει.
ἐμπεδόει πάντας τοὺς μὴ γόνατ' ἔμπεδ' ἔχοντας,
τούς τ' ἐριπόντας ἄνω κύριος αὖθις ἄγει.

παντ'

πάντ' εἰς σὲ σφετέρας ἀνατείνοντ' ἔλπετ' ὀπωπὰς,
οἷσιν ἐνὶ ζωοῖς ἐστὶν ἔτ' οὖσι πνοή.
καὶ σὺ πατὴρ φιλότεκνος ἐὼν, εὔκαιρον ἰάλλεις
βρῶσιν ἀπ' οὐρανόθεν σφῶν ἐν' ἑκάστῳ ἑλών.
οἴγεις σὴν ἀγαθῶν τὴν πάντων χεῖρα γέμουσαν,
καὶ σφετέρης πληροῖς παντόθι πάντα τροφῆς.
πᾶσι βόσιν ζωοῖσι διδοῖς πάσαν ἀθ' ὀρατεινὴν,
ἄμμιγά τ' οὐκ ὀλίγον βρώμασι γῆθος ἑλεῖν.
ἔνδικος ἐν πάσαις αἷς κύριός ἐστιν ἀταρποῖς,
πανθάγιός θ', ἔρδει ὅσ' ἅγι' ἐστὶν, ἐών.
ἔγγιστός τ' αὐτὸν τοῖς ἀγκαλέουσι, πάρεστι
πᾶσιν ἐν ἀτρεκίῃ γ' ἀγκαλέουσι βροτοῖς.
ποιεῖ ὅσ' αὐτὸν τοῖς αἰδομένοισιν ἀρέσκει,
εἰσαΐει, καὶ σφᾶς χειρὶ σαώζει ἑῇ.
παντός μιν φρουρὸς φιλέοντος ὁ κύριός ἐστι,
ποινήτωρ παντὸς δυσσεβέος τε πέλει.
αἴνεσιν ἀγγελέει ἡ ἐμὴ σὴν κύριε γλῶσσα
ὅττι καὶ ἔρδοι αἰεὶ ἔμμορ' ἅπαντα πνοῆς.

## ΨΑΛΜΟΣ ΡΜϚ.

### Ὑπόθεσις.

Μοῦνον πιστεύειν τῷ κυρίῳ ὅσσον ὄνειαρ,
πάντων τῶν ἀγαθῶν δώτορι ἐόντι, πέλει.
τόσσον πῆμα φορεῖ, πίσυνον τοῖς ἀνδράσιν εἶναι,
οὕνεκ' ἐφημέριοι πάντες ἔασι βροτοί.

Αἰνοῖμεν τὸν σὸν, θεόπλαστον ἄγαλμα, ποιητὴν,
ὦ θυμὲ, πραπίδων ἴζομεν ἔνδοθ' ἐμῶν.

αἰνήσω

αἰνήσω ψαλμοῖς, λιγυροῖς τε σὲ κύριε ὕμνοις,
    ἄχρις ζῶ, καὶ ἄχρις δέρκομ' ἐπὶ χθόν' ἐών.
μηδέποτ' εἰς τοὺς σκηπτροφόρους πιστεύετ' ἄνακτας,
    μὴ πίσυν' ἔστ' ἀρχοῖς χ' ἡγεμόνεσσι λεῶν.
εἰσὶ γὰρ ἄνθρωποι μινυώριοι ὠκύμοροί τε,
    ἴσχοντες μηδὲν σωζέμεν ὔμμε κράτος.
οὕνεχ' ὑπηνέμιον τὸ βρότειον ἀποίχετ' ἄημα,
    καὐτὸς τέφρα, χατῶν τοῦ γίνετ' αὖτε βροτός.
καὶ τότ' ἀπρήκτα πέλει τὰ ἑῷ πεπνυμένα θυμῷ
    μήσατ', ἀνελπίστῳ ὀλλύμεν' αἶψα μόρῳ.
ὄλβιος ᾧ θεὸς Ἰσακίδη σὸς ἐπίρροθός ἐστιν,
    ὅς τε τιθεῖ ψυχῆς κύριον ἐλπίδ' ἑῆς.
ὃς κτίσε τήν τ' αἶαν, τόν τ' αἰθέρα, τήν τε θάλασσαν,
    καὶ πάνθ' ὅσσα τριῶν ἔνδοθι τῶνδε πέλει.
οὗτος ἄρ' οὐ ψευστής ποτε τὶς γίνετ', ἠπεροπεὺς τε,
    αὐτὰρ ἐτητυμίης νωλεμές ἐστι φύλαξ.
τοῖς ὑβριζομένοις ᾧ κρείματι ὕβριν ἀλάλκων,
    τοῖς λιμῷ διδόων τηκομένοισι τροφήν.
δεσμὰ δεθεῖσι λύων, ἀλαοῖσι τὰ φάε ἀνοίγων,
    αἴρων γαῖηθεν τοὺς κατέβαλλε τύχη.
αὐτὸς ὅδ' ἀνθρώπους τηρεῖ τε φιλεῖ τε δικαίους,
    οὔτε φύλαξ λήγει τοῖσι προσήλυσ' ἐών.
ὀρφανὸν ὡς γενετὴρ, χήραν πόσις ἠύτε στέργει,
    ἄμμορα δ' δυσσεβίης φῦλα παλίντροπ' ἄγει.
κύριος αἰὲν ὁ ὤν, βασιλεὺς αἰώνιός ἐστι,
    σὸς τε Σιὼν ἑδρὴ ἤματα πάντα θεός.

ΨΑΛ-

## ΨΑΛΜΟΣ ΡΜΖ.

### Ὑπόθεσις.

Τὸν βόσκοντα βροτοὺς, καὶ κτήνεα καὶ τὰ πετεινὰ,
καὶ τοῦ ἕκητι πολὺν καρπὸν ἄρουρα φέρει:
τὸν τῆς τ' εἰρήνης ταμίην πολέμου τε, γεραίρειν
πᾶσι πρέπει, μούσαις καὶ χαρίτεσσι θεόν.

Κλείετε μειλιχίαις λιγυφώνοις κύριον οἴμαις,
καλὸν ὅθ' ἡμετέρῳ ψαλλέμεν ἐστὶ θεῷ.
καὶ τούτου μηδὲν γλυκερώτερον ἄλλο κεν ᾆσμα,
καὶ ταύτης μολπὴ φερτέρη οὔτις ἔῃ.
οἰκοδομεῖ Σολύμην ἱερὴν, πάλιν εἰς ἓν ἀγείρει
φῦλ' Ἰσραῆλος δηὸν κεκεασμέν' ὅλου.
ὁ ξυντριφθέντας σφέτερον πάλ' ἰώμενος ἦτορ,
καὶ τὰ λελυμέν' ἀφῇ μαλθακῇ εἰς ἓν ἄγων.
ἄστρα τ' ἀριθμείων τὰ ὁ οὐρανὸς ἐστεφάνωται,
ἠδ' ὀνομακλήδην αὐτά γ' ἕκαστα καλῶν.
παμμέγας ἡμέτερος κρατερός τε ὁ κύριός ἐστι
σφόδρα, καὶ ἐν βουλαῖς οὐχ ἑλετός τιν' ἑαῖς.
οὐτιδανοὺς βριάει, δυστλήμονας αὖθις ἀείρει,
γῆς ἢ κακοὺς βάλλει εἰς τὰ κατώταθ' ὅλης.
ᾄδετ' ἀμοιβαίας τῷ παμμεδέοντι ἀοιδὰς,
χόρδας σύμφθογγων κρούετε χερσὶ λυρῶν.
ὑδατόεντι νεφῶν ὃς φαρέϊ αἰθέρα κεύθει,
ὄμβρους τ' ἀζαλέῃ γαίῃ ἄνωθεν ἵει.
καὶ τοῖς ἠλιβάτοις προάγει πὲρ ἐν οὔρεσι χόρτον,
κἀν κνημοῖς ποίην παιπαλόεσσι φύει.

καὶ

καὶ σφετέρην βρῶσιν τοῖς κτηνέεσι, τοῖς τε νεοσσοῖς
τῶν κοράκων κινυρῶς μιν καλέουσι δίδωσι.
οὐ σθένος οὐδ' ἄρ' ἑοὶ βριαύχενος ἄτρομον ἵππου,
οὐκ εὔκνημος ἀνὴρ οἵ τις ἀρέσκει ἐόν.
ἀλλ' οἱ ὀπιζόμενοι αὐτὸν καταθύμιοι, αὐτῷ
εἰσὶ, καὶ οἱ αὐτοῦ πειθόμεν' εὐμενίῃ.
αἴνει ὦ Σολύμων κλεινὴ πόλι κύριον ἱρῶν,
πότνια κλεῖε Σιὼν σὸν μελέεσσι θεόν.
ἀρρήκτους ἐπεὶ μόχλους τῶν σεῖο πυλάων
ποιεῖ, καὶ τέκνοις ὄλβια σοῖσι δίδωσι.
εἰρήνην μεδέειν ὁρίοισι τεοῖσι κελεύει,
καὶ φαγέειν πορέει ἄλφιτ' ἀρίστου τείρ.
πᾶσαν ἐπ' αἶαν ἑῆς πέμπει τὰ θεοπρόπι' ὀμφῆς,
χ' ὦ πλοδρόεις αὐτοῦ ποτάετ' ὦκα λόγος.
λευκὸν καὶ μαλακὸν νιφετὸν, τί ἅτ' εἴριον ἵει,
εἰδομένην πάχνην πάσσει ἄνωθε τέφρῃ.
χ' ὡς ψωμοὺς διόθεν ῥιπτεῖ πάγον, ἠδὲ χάλαζαν,
τίς κε τόσον ψῦχος τοῦδε δύναιτο φέρειν;
καὖτις ἔπος τι ἰάλλει ὅρων, καὶ τήκεθ' ἅπαντα,
κέκλετ' ἄημ' ἐλθεῖν, καὶ ῥέει εὐθὺς ὕδωρ.
σοὶ δὲ σαφηνίζει Ἰάκωβ' ἑὰ τέθμια, τῷ τε
Ἰσραὴλ νόμους πάντας ἔθ', ἠδὲ κρίσεις.
ὣς δ' οὔτως πάντων ἐχαρίσατο μηδενὶ ἐθνῶν,
οὔτε θέμιστας ἑοὺς αὐτὸς ἐγνώρισ' ἑάς.

ΨΑΛ-

## ΨΑΛΜΟΣ ΡΜΗ.

### Ὑπόθεσις.

Ἔργματα πάντα λέγει θεοῦ ἔμμεναι, αἰθέρα, γαῖαν,
οἶδμ' ἁλός, ἐμψύχων παντόθι πάντα γένη.
καὶ σφέτερον πᾶσι κελήϊζειν κτίστορ' ἀνώγει
οὐρανίοις χθονίοις κτίσμασι, κἠναλίοις.

Ψυχαὶ ἐπουράνιαι τὰ ὑπέρτατα ναιετάωσαι
δώματα, τηλεφανεῖ λαμπετόωντα φάει,
κλάζετε τὸν πάντων κρέοντά μιν ἀμφιπολοῦσαι,
κλάζετ' ἐν ὑψίστοις ἑδριόωντα θεόν.
αἰνεῖτ' ἀγγελικαὶ φύσιες δυνάμεις τε ἅπασαι,
αἰνεῖθ' ὑμέτερον κύριον αὐτὸν ἀεί.
ἥλιε πασιφανές, σύ τε νυκτὸς ἄγαλμα σελήνη,
κλέιετε τὸν σφῶϊν κοιρανέοντα θεόν.
τοῦτο δ' αὐτὸ δράειν τείρεσιν ἅπασιν ἀνώγω,
τοῖσιν οἱ οὐράνιοι παμφανόωσι δόμοι.
ταῖς τε κυλινδομέναις τοῦ αἰθέρος ἁψῖσιν αἰεί,
ἠμὲν πρὸς δυσμὴν ἠδὲ πρὸς ἀντολίην.
ὕδατα τὰ κρέμαται μετέωρα ἐν ἠέρι δίῳ,
αἰνείτω σφετέρου τοὔνομα καὐτὰ θεοῦ.
αὐτοῦ γὰρ στόματός τιν' ἑοῖο ἀπ' ὄσσαν ἰέντος,
κτισθέντ' ἐξαπίνης παντόθι πάντα πάρεχ.
αὐτὸς δ' στηρίξει ὅπως αἰώνια μίμνῃ,
καὶ σφετέρας προλιπεῖν κωλύει αὐτὰ ὁδούς.
καὶ ὑμεῖς κατὰ γαῖαν τὰ ἐπιπνείειν τε καὶ ἕρπειν
ζῶα πεφύκαθ', ὁμοῦ κλέιεθ' ἅπαντα θεόν.

ὅσσα τ'

ὅσσα τ' ἐν οἴδμασιν ἅλος νήχεσθε ἀθέσφατα κήτη,
ὅσσα τε βένθος ἅπαν τἆλλα πέλωρα τρέφει.
πῦρ τὸ ἅπαντα τεφροῦν, δεινὸν σμαραγοῦσα χάλαζα,
ἥτ' ἐπικιδναμένη τὴν χθόν' ἄνωθε νιφάς.
ἀτμίς τ' αἰθαλόεσσα, βίη τ' ὀρίπνευστος ἀελλῶν,
οἷσιν ἅπαντα τελεῖν ὅσσ' ἐκέλευσε μέλει.
οὔρεα καὶ βουνοὶ χθαμαλῆς ὑψώματα γαίης,
δένδρεα τὰ καρποφορεῖ, δένδρεα μακεδνὰ κέδροι.
κνώδαλα φωλεύοντ', ἢ ἀεὶ πλανοώμεν' ἀν' ὕλας,
θρέμματα τοῖς φορβὴν χόρτον ἄρουρα φύει.
πᾶν τῶν ἑρπόντων, πᾶν τῶν πτερὰ φῦλον ἐχόντων,
τῶν μὲν ἐπιχθονίων, τῶν δὲ ἐπουρανίων.
οἱ τῆς γῆς βασιλεῖς, οἱ λαοὶ ὑπήκοοι αὐτοῖς,
οἵ θ' ἡγητῆρες φασκόμενοι, οἵ τε κριταί.
πρωθῆβοι παῖδες, καὶ ἄπειροι παρθένοι ἀνδρῶν,
ἠΐθεοι, καὶ πᾶς γήραϊ κυφὸς ἀνήρ.
τοῦδ' ἄρα κυριακῷ τιν' ὁμόθροον οὔνομαθ' ὕμνον,
δεῖ πάντας γλώσσαις εὐκελάδοισι φέρειν.
οὔνομα κυδάλιμον γὰρ μοῦνος ὁ κύριος ἴσχει,
καὶ τὸ ὑπερβαῖνον γῆν τε καὶ ἄστρα κλέος.
καὐτὸς ἀερτάζει τοῦ ἑοῦ κέρας ὑψόσε λαοῦ,
τῷ ὁσίοις σὺν μιν πᾶσιν ἔοικε λέγειν.
τοῖς Ἰσραῆλος τέκνοις, τά μιν ἀμφιπολοῦντα
θρησκεύουσι, φίλος μοῦνά θ' οἱ εἰσὶ λεώς.

ΨΑΛ.

## Ψ Α Λ Μ Ο Σ ΡΜΘ.

### Υπόθεσις.

Κόσμῳ ὃ οὐχ ὁσίῳ συγγνώμην προὔκα παρέσχων,
μυσάων καινῶν ἄξιός ἐστι θεός.
ἄξιος ἀμφήκες τοῖς εὐσεβέσ' ἐγγυαλίζων
φάσγανον, ὧν πραπίδων ἐγγεγάωτα λόγον.

Ὑμνεῖτ' ᾄδοντες καινὴν, τὸν κύριον, ᾠδήν,
κλειέτω συναγέων αὐτὸν ἄθροισμα βροτῶν.
Ἰσραηλίδης μέγ' ἑῷ τερφθείη κτίστορι θυμὸν,
στόργοι ἀγαλλομένη ὃν βασιλῆα Σιών.
ἐν χορῷ ὑμνῳδῷ κλείοιτο τὸ οὔνομα κείνου,
μουσικὰ κρουέσθω ὄργαν' οἱ, ὅσσα πέλει.
καὶ γὰρ ᾧ εὐδοκίην ἐνὶ λαῷ ὁ κύριος ἴσχει,
τοῖς τ' ἐλεοῖς σωτὴρ, κῦδος ἀνάπτει, ἑῶν.
γηθόσυνοι οἱ ὅσιοι καὶ ὑμνητῆρες ἔσοιντο,
καὶ λιγυρὰ ᾄσοιεν κὰμ λεχέεσι μέλη.
καὶ σφετέροις μεγαλύνειαν θεὸν ἔξοχα λαιμοῖς,
χειρί ἔθ' ἕκαστος ἑῇ δίστομον ἄορ ἔχοι,
ὄππως οὐχ ὁσίοις ἐνὶ ἔθνεσιν ἔκδικοι ὦσιν,
ὄφρα κολάζωσιν δύσθεα φῦλα λεώς.
σφῶν τε προσάπτωσιν τοῖς ποιμέσι δεσμὰ σιδηρᾶ,
ἀρραγέας τε γένει τοῖς προέχουσι πέδας.
κρίματ' ἐν αὐτοῖσιν τὸ γεγραμμένον ἐξανύωσι,
τοῦτ', ἀλέγων, κῦδος πᾶς θεοῦ ἕξετ' ἀνήρ.

## ΨΑΛΜΟΣ ΡΝ.

### Ὑπόθεσις.

Παντὶ γεραιρέμεναι ψυχὴν τῷ ἔχοντι κελεύει
οὐρανοῦ ὑψίθρονον τὸν ναετῆρα θεόν.
τύμπανα δὲ χρῆσθαι τοῖς κέκλεται, ἠδὲ τὰ ναῦλα,
ἄμμι κεν ἡ σὺν χῇ, καὶ ἡ ἀοιδὴ ἔῃ. (τες

Θυμὸν ἰαινόμενοι, καὶ ἀγαλλόμεν' ἔξοχα πάν
ᾄδετε τῷ μούνῳ ᾄσματ' ἅπαντα θεῷ.
κὰμ ἁγίοις μὶν ἑοῖς μεγάροισι γεραίρετ' ἀοιδαῖς,
τῆς τ' ἀρετῆς μεγάλης κλείετε, τῆς τε βίης.
αἰνίζεσθ' ἔργων ῥεκτῆρά μιν ὄντα μεγίστων,
καὶ πάντ' ἄρρητον κῦδος ὅτ' ἤματ' ἔχει.
κλείετε κώδωνας μὶν ἐπιπνείοντες ἰδ' αὐλούς,
τῶν λιγὺς ἀμφοτέρων ἔσθ' ὁ ἀπ' ἦχος ἰών.
κρούετ' εὐφθόγγοις ψαλτῆρι ἀρηρότα χορδαῖς,
κρούετε τὰς κιθάρας, ἦρα φέροντες ἑοί.
οἱ χοροὶ ὑμνοῖεν σφὶ σύνηορα τύμπανά τ' αὐτόν,
αἰνοίη χορδαῖς πᾶσά μιν ἥσι λύρη.
τἄλλα τ' ἀοιδοσύνης πάντ' ὄργανα ποικιλοτραύλου,
ἅττα κε ταῖς μούσαις, καὶ χαρίτεσσιν ἅδῃ.
πρὸς τούτοις λιγυρὰς μιμούμενα κύμβαλα φωνάς,
κύμβαλά τ' οὗ κρέκτος τοῖς ἀλαλαγμὸς ἐνί.
ὡς δὲ λόγῳ ξυνελεῖν ἐνὶ, πνεύματος ἔμμορ' ὅσ' ἐστὶ,
κύριον ὑμνοίη πάντ', ἐνὶ παντὶ τόπῳ.

# ΟΤΙ ΛΥΣΙΤΕΛΗΣ Η ΤΩΝ ΨΑΛΜΩΝ ἀνάγνωσις ἐκ τῶν τοῦ Ἐοβανοῦ.

Ὅστις τηκεδανοῖς σμύχεις σὸν κήδεσι θυμὸν,
καὶ τρωθεὶς ζητεῖς τραύμασι σοῖσιν ἄκος:
οὔτε τινὶ βροτέῃ δύνασ' ἰηθῆναι ἀρωγῇ,
ἐν ᾗ θεῷ μόνῳ ἐλπίδα πᾶσαν ἔχεις:
εἰς τὰ ψαλμογράφου ποιήματα μάντιος ἄθρει,
ἤπιον εὑρήσων ταῖς σέθ' ἄκημα νόσοις.
εἴτε λεηλατέων σε ἀνὴρ κατατρύχει ὁ ἐχθρὸς,
οὐκ ἄλλῃ κε τράπῃς μιν φύγαδ' αἶψα βίῃ.
εἴς τε σε τῶν κτεάνων ἀπάμερσαν οἱ ἡμερόκοιτοι,
ἔνθεν ἐσαῦθι κιχεῖν, ὅσ' ἀπόλεσας, ἔχεις.
ἐντυνέουσι λόγους σοὶ οἱ ἄγχιστ' ἐκγεγαῶτες,
τὸν θεὸν ὡς ὦ 'ναξ ἵκεο, σῶος ἔσῃ.
πατρίδα γῆν προλιπὼν, ὑποχείριος ἐστὶ τυράννοις,
ἐνθάδε κεν τέτμῃς σῷ παραμύθι' ἄχει.
τέκνων χηρωθεὶς πλέος ἐστὶ σὸς οἶκος ὀδυρμῶν,
φάρμακον ἄλλο γόων οὐδὲν ἄμεινον ἔφυ.
τείρῃ ἀχρημοσύνῃ, κατατήκεαι αἴθοπι λιμῷ,
τόνδε πρόσελθε, μέγας χρήμασιν ἔσσῃ ἀνήρ.
ἢ μελέων σε νόσος καὶ θυμοῦ δάπτει ἀνιᾷ,
τῷδ' Ἀσκληπιάδῃ χρῆσ', ἄνοσος πάλ' ἔσῃ,
ὕψοθε καββληθεὶς, νχίων τὰ κατωτάτα μύρῃ,
τῷδ' ἐφέπου, βήσεις αὖτε κάτωθεν ἄνω.
πολλοὶ ἀτίζουσιν, πολλοὶ στυγέουσί σε ἄνδρες,
τῷδε πέποιθ', ἀλκῆς τεύξεαι, ἠδὲ κλέους.
πυρφόρον ἀκτῖσιν ξηραίνει ὁ ἥλιος αἶαν,

τόνδ' αἴτιζε τεοῖς ὥριον ὄμβρον ἀγροῖς.
λάβρα κατακλύζει διόθεν βαθὺ ὕδατ' ἄρουραν,
ἤματα τόνδ' αἴτει σὺ δὶ ἐσαῦθι δόμεν.
δαιμόνιοι, οἳ φράζονται τἄστρ' οὐρανόπηκτα,
κεινὰς ἐκ τούτων ἐλπίδας αἰνύμενοι.
ὅσα γὰρ ἀνθρώπους λωβευέμεν, ὅσα τ' ἀνιᾶν,
ὅσα τ' ἔφυ βροτέῳ πῆμα φορεῖν τὶ βίῳ·
ἡ τοῦ ψαλμῳδοῦ θεόσσυτος μοῦσα διδάσκει,
ξύμπαντ' εὐθαρσῶς, καὶ κρατερῶς σὲ φορεῖν.
οὐ δὲ φορεῖν μόνον, ἀλλ' ἀπαλαλκέμεν, αἴκεν ἀείδῃς
ταῦθ' οἷον κεῖνος, θυμὸν ἔχεσκεν, ἔχων.
οὐ δὲ τύχης ἀλιτῆρα μόνον κεν ἀεικέος εὕρῃς
τῇδ', αὐτὰρ ψυχῆς τὴν βιότητα τεῆς.
μηδεὶς κἂν κακὸς ᾖ κακὰ τόσα συνοιδέν οἱ ἀνήρ,
ὥστε μὴ ἐκ τούτων μιν παραμύθι' ἑλεῖν.
οὐδέν τ' ἀνδρομέην ἄχθος φρένα τόσα βαρύνει,
ὥστε μὴ ἐκ τούτων κουφοτέρως νιν ἔχειν.
ἔρχεο νῦν, καὶ παρβάλλων τὰ βρότεια θεείοις,
ἐν βίβλοις δειλῶν δίφαε ταῦτα βροτῶν.
εἴκελος ἐλπωρῆς ἐψευσμένος ἔσσῃ, ἐν ὕπνοις
εὑρόντι χρυσοῦν ἀνδρί ποτ' ἰχθὺν ἑοῖς.
ἔρχεο, καὶ ζήτει δασπλῆτι Μαχάονα νούσῳ,
κἄλλοθεν, ὅ, τι θεοῦ ἐστὶ δόμ', ἔσσυσ' ἑλεῖν.
ὄφρα δὲ μὴ ποιῶν περὶ τὸν θεὸν ὡς ἀσεβήσῃς,
τόνδ' ἐσθλὰ ψάλτην πούθου ὀρθοῦντα τεῖν.

DE